This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

Gd 39.21 KC15779

Harvard College Library

BEQUEST OF

HENRY WILLIAMSON HAYNES

(Class of 1851)

OF BOSTON

October 22, 1912

Digitized by Google

Digitized by Google

Digitized by Google

Henry H. Haynes

1862.

Digitized by Google

Digitized by Google

DIONYSII
HALICARNASSENSIS
OPERA OMNIA

QUIBUS
ETIAM ACCEDUNT FRAGMENTA
AB
ANGELO MAIO
NUPER REPERTA.

AD
OPTIMORUM LIBRORUM FIDEM
ACCURATE EDITA.

EDITIO STEREOTYPA.

TOMUS V.

LIPSIAE
SUMTIBUS ET TYPIS CAROLI TAUCHNITII.
1829.

Ladenpreis 7 Groschen.

Digitized by Google

Gd 39.21

HARVARD COLLEGE LIBRARY
FROM THE LIBRARY OF
HENRY WILLIAMSON HAYNES
JUNE 13, 1927

Digitized by Google

ΔΙΟΝΤΣΙΟΥ ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ

ΠΕΡΙ

ΣΥΝΘΕΣΕΩΣ

ΟΝΟΜΑΤΩΝ.

Quibus usui erit hic libellus.

Δῶρόν τοι ἐγὼ, τέκνον φίλε, ταῦτο δίδωμι· καθάπερ ἡ παρ' Ὁμήρῳ φησὶν Ἑλένη ξενίζουσα τὸν Τηλέμαχον πρώτην ἡμέραν ἄγοντι ταυτηνὶ γενέθλιον, ἀφ' οὗ παραγέγονας εἰς ἀνδρὸς ἡλικίαν, ἡδίστην καὶ τιμιωτάτην ἑορτῶν ἐμοί. πλὴν οὔτε χειρῶν δημιούργημα πέμπω σοι τῶν ἐμῶν, ὡς ἐκείνη ἔφη διδοῦσα τῷ μειρακίῳ τὸν πέπλον· οὔτ' εἰς γάμου μέλλων ὥραν, καὶ γαμετῆς χάριν οὔθετον· ἀλλὰ ποίημα μὲν καὶ γέννημα παιδείας καὶ ψυχῆς τῆς ἐμῆς, κτῆμα δέ σοι τὸ αὐτὸ καὶ χρῆμα πρὸς ἅπάσας τὰς ἐν τῷ βίῳ χρείας, ὁπόσαι γίνονται διὰ λόγων, ὠφέλιμον, ἀναγκαιότατον ἁπάντων χρημάτων, εἴ τι δὴ κἀγὼ τυγχάνω τῶν δεόντων φρονῶν, ἅπασι μὲν ὁμοίως τοῖς ἀσκοῦσι τοὺς πολιτικοὺς λόγους, ἐν ᾗ

Digitized by Google

ποτ' ἂν ἡλικίᾳ τε καὶ ἕξει τυγχάνωσιν ὄντες· μάλιστα δὲ τοῖς μειρακίοις τε καὶ νεωστὶ τοῦ μαθήματος ἁπτομένοις ὑμῖν,, ὦ Ῥοῦφε Μελίτιε, πατρὸς ἀγαθοῦ, καὶ μοὶ τιμιωτάτου φίλων.

Διττῆς γὰρ οὔσης ἁυκήσεως περὶ πάντας, ὧν εἰπεῖν, τοὺς λόγους, τῆς περὶ τὰ νοήματα, καὶ τῆς περὶ τὰ ὀνόματα· ὧν ἡ μὲν τοῦ πραγματικοῦ τόπου μᾶλλον ἐφάπτεσθαι δόξειεν ἄν, ἡ δὲ τοῦ λεκτικοῦ καὶ πάντων, ὅσοι τοῦ λέγειν εὖ στοχάζονται, περὶ ἀμφοτέρας τὰς θεωρίας τοῦ λόγου ταύτας σπουδαζόντων ἐξ ἴσου· ἡ μὲν ἐπὶ τὰ πράγματα καὶ τὴν ἐν τούτοις φρόνησιν ἄγουσα ἡμᾶς ἐπιστήμη βραδεῖα ἐστι καὶ χαλεπὴ νέοις, μᾶλλον δὲ ἀδύνατος εἰς ἀγενείων καὶ μειρακίων πεσεῖν ἡλικίαν. ἀκμαζούσης γὰρ ἤδη συνέσεώς ἐστι, καὶ πολιαῖς κατηρτυμένης ἡλικίας ἡ τούτων γνῶσίς ἐστιν οἰκειοτέρα· πολλῇ μὲν ἱστορίᾳ λόγων τε καὶ ἔργων, πολλῇ δὲ πείρᾳ καὶ συμφορᾷ παθῶν οἰκείων τε καὶ ἀλλοτρίων συναυξανομένη, τὸ δὲ περὶ τὰς λέξεις φιλότιμον καὶ φιλόκαλον καὶ ταῖς νεαραῖς πέφυκε συναυθεῖν οὐχ ἧττον ἡλικίαις. ἐπτόηται γὰρ ἅπασα νέου ψυχὴ περὶ τὸν τῆς ἑρμηνείας ὡραϊσμὸν, ἀλόγους τινὰς καὶ ὥσπερ ἐνθουσιώδεις ἐπὶ τοῦτον λαμβάνουσα ὁρμάς· οἷς πολλῆς πάνυ καὶ ἔμφρονος δεῖ τῆς πρώτης ἐπιστασίας τε καὶ ἀγωγῆς, εἰ μέλλουσι μὴ πᾶν, ὅ τί κεν ἐπ' ἀκαιρίμαν γλῶσσαν ἔπος ἔλθῃ, λέγειν, μηδ' εἰκῇ συνθήσειν τὰ προστυχόντα ἀλλήλοις, ἀλλ' ἐκλογῇ τε χρήσεσθαι καθαρῶν ἅμα καὶ γενναίων ὀνομάτων, καὶ συνθέσει ταῦτα κοσμήσειν· μεμιγμένον ἔχουσι

Digitized by Google

τῷ σεμνῷ τὸ ἡδύ. εἰς δὴ τοῦτο τὸ μέρος, ὃ δεῖ πρῶτον νέοις ἀσκεῖσθαι, συμβάλλομαί σοι μέρος εἰς τὸν ἔρωτα, τὸ περὶ συνθέσεως τῶν ὀνομάτων, πραγματείαν οὐκ ὀλίγοις μὲν ἐπὶ νοῦν ἐλθοῦσαν, ὅσοι τῶν ἀρχαίων ῥητορικὰς, ἢ καὶ διαλεκτικὰς συνέγραψαν τέχνας, οὐδενὶ δ' ἀκριβῶς, οὐδ' ἀποχρώντως μέχρι τοῦ παρόντος ἐξειργασμένην, ὡς ἐγὼ πείθομαι. ἐὰν δ' ἐγγένηταί μοι σχολὴ, καὶ περὶ τῆς ἐκλογῆς τῶν ὀνομάτων ἑτέραν ἐξοίσω σοι γραφὴν, ἵνα τὸν λεκτικὸν τόπον τελείως ἐξειργασμένον ἔχῃς. ἐκείνην μὲν οὖν τὴν πραγματείαν εἰς νέωτα, πάλιν ὥραις ταῖς αὐταῖς, προσδέχου, θεῶν ἡμᾶς φυλαττόντων ἀσινεῖς τε καὶ ἀνόσους, εἰ δή ποτε ἡμῖν ἄρα τούτου πέπρωται βεβαίως τυχεῖν. νυνὶ δ' ἣν τὸ δαιμόνιον ἐπὶ νοῦν ἤγαγέ μοι πραγματείαν προσδέχου.

Huius libelli capita.

Κεφάλαια δ' αὐτῆς ἐστιν, ἃ πρόκειταί μοι δεῖξαι, ταῦτα· „Τίς τ' ἐστὶν ἡ τῆς συνθέσεως φύσις, „καὶ τίνα ἰσχὺν ἔχει, καὶ τίνων στοχάζεται, καὶ πῶς „αὐτῶν τυγχάνει, καὶ τίνες αἱ γενικώταται αὐτῆς „εἰσὶ διαφοραὶ, καὶ τίς ἑκάστης χαρακτὴρ, καὶ ποί„αν κρατίστην αὐτῶν πείθομαι· καὶ ἔτι πρὸς τού„τοις, τί ποτ' ἐστὶ τὸ ποιητικὸν ἐκεῖνο, καὶ εὔγλωσ„σον καὶ μελιχρὸν ἐν ταῖς ἀκοαῖς, ὃ πέφυκε τῇ συν„θέσει τῆς πεζῆς λέξεως παρακολουθεῖν; ποιητικῆς „τε κατασκευῆς τὸν ἀποίητον ἐκμιμουμένης λόγον, „καὶ σφόδρα ἐν τῇ μιμήσει κατορθούσης αὐτῷ τὸ „πρέπον· καὶ διὰ ποίας ἂν ἐπιτηδεύσεως γένοιτο

Digitized by Google

„ἕκάτερον αὐτῶν.“ τοιαυτὶ μὲν δή τινά ἐστιν, ὡς τύπῳ περιλαβεῖν, ὑπὲρ ὧν μέλλω λέγειν.

Compositionis definitio et partes.

II. Ἡ σύνθεσίς ἐστιν, ὥσπερ καὶ αὐτὸ δηλοῖ τοὔνομα, ποιά τις θέσις παρ' ἄλληλα τῶν τοῦ λόγου μορίων· ἃ δὴ καὶ στοιχεῖά τινες τῆς λέξεως καλοῦσι. ταῦτα δὲ Θεοδέκτης μὲν καὶ Ἀριστοτέλης, καὶ οἱ κατ' ἐκείνους φιλοσοφήσαντες τοὺς χρόνους, ἄχρι τριῶν προήγαγον, ὀνόματα καὶ ῥήματα καὶ συνδέσμους πρῶτα μέρη τῆς λέξεως ποιοῦντες. οἱ δὲ μετ' αὐτοὺς γενόμενοι, καὶ μάλιστα οἱ τῆς Στωϊκῆς αἱρέσεως ἡγεμόνες, ἕως τεττάρων προὐβίβασαν, χωρίσαντες ἀπὸ τῶν συνδέσμων τὰ ἄρθρα. εἶθ' οἱ μεταγενέστεροι τὰ προσηγορικὰ διελόντες ἀπὸ τῶν ὀνοματικῶν, πέντε ἀπεφήναντο τὰ πρῶτα μέρη. ἕτεροι δὲ καὶ τὰς ἀντωνυμίας ἀποζεύξαντες ἀπὸ τῶν ὀνομάτων, ἕκτον στοιχεῖον τοῦτο ἐποίησαν. οἱ δὲ καὶ τὰ ἐπιῤῥήματα διεῖλον ἀπὸ τῶν ῥημάτων, καὶ τὰς προθέσεις ἀπὸ τῶν συνδέσμων, καὶ τὰς μετοχὰς ἀπὸ τῶν προσηγορικῶν. οἱ δὲ καὶ ἄλλας τινὰς εἰσάγοντες τομάς, πολλὰ τὰ πρῶτα μόρια τῆς λέξεως ἐποίησαν· ὑπὲρ ὧν οὐ μικρὸς ἂν εἴη λόγος. πλὴν ἥ γε τῶν πρώτων, εἴτε τῶν τριῶν, ἢ τεττάρων, εἶθ' ὅσων δή ποτὲ ὄντων μερῶν πλοκὴ καὶ παράθεσις, τὰ λεγόμενα ποιεῖ κῶλα. ἔπειθ' ἡ τούτων ἁρμονία τὰς καλουμένας συμπληροῖ περιόδους· αὗται δὲ τὸν σύμπαντα τελειοῦσι λόγον

Digitized by Google

Compositionis opus et officium.

Ἔστι δὴ τῆς συνθέσεως ἔργα, οἰκείως θεῖναι τά τ' ὀνόματα παρ' ἄλληλα, καὶ τοῖς κώλοις ἀποδοῦναι τὴν προσήκουσαν ἁρμονίαν, καὶ ταῖς περιόδοις διαλαβεῖν αὐτὸν ὅλον τὸν λόγον. δευτέρα δ' οὖσα μοῖρα, τῶν περὶ τὸν λεκτικὸν τόπον θεωρημάτων κατά γοῦν τὴν τάξιν· ἡγεῖται γὰρ ἡ τῶν ὀνομάτων ἐκλογή, καὶ προϋφίσταται ταύτης κατὰ φύσιν· ἡδονὴν καὶ πειθὼ καὶ κράτος ἐν λόγοις οὐκ ὀλίγῳ κρείττω ἐκείνης ἔχει. καὶ μηδεὶς ἡγήσηται παράδοξον, εἰ, πολλῶν καὶ μεγάλων ὄντων θεωρημάτων περὶ τὴν ἐκλογήν, ὑπὲρ ὧν πολὺς ἐγένετο φιλοσόφοις τε καὶ ῥητορικοῖς ἀνδράσι λόγος, ἡ σύνθεσις δευτέραν ἔχουσα χώραν τῇ τάξει, καὶ λόγων οὐδὲ πολλοῦ δεῖ τῶν ἴσων ἐκείνῃ τυχοῦσα, τοσαύτην ἰσχὺν ἔχει καὶ δύναμιν, ὥστε περιεῖναι πάντων τῶν ἐκείνης ἔργων καὶ κρατεῖν· ἐνθυμούμενος, ὅτι καὶ αἱ περὶ τῶν ἄλλων τεχνῶν, ὅσαι διαφόρους ὕλας λαμβάνουσαι, συμφορητὸν ἐκ τούτων ποιοῦσι τὸ τέλος, ὡς οἰκοδομικὴ τε καὶ τεκτονικὴ, καὶ ποικιλτικὴ, καὶ ὅσαι ταῖς τοιαύταις εἰσὶν ὁμογενεῖς, αἱ συνθετικαὶ δυνάμεις, τῇ μὲν τάξει δεύτεραι τῶν ἐκλεκτικῶν εἰσι, τῇ δὲ δυνάμει πρότεραι. ὥστ', εἰ καὶ τῷ λόγῳ τὸ αὐτὸ συμβέβηκεν, οὐκ ἄτοπον ἡγητέον. οὐδὲν δὲ κωλύει καὶ πίστεις παρασχεῖν τοῦ προκειμένου, μή τι δέξωμεν ἐξ ἑτοίμου λαμβάνειν τῶν ἀμφισβήτησιν ἐχόντων λόγων.

Digitized by Google

Dictionis genera, et quae compositionis potestas.

III. Ἔστι τοίνυν πᾶσα λέξις, ἣ σημαίνομεν τὰ νοήσεις, ἡ μὲν ἔμμετρος, ἡ δ' ἄμετρος· ὧν ἑκατέρα καλῆς μὲν ἁρμονίας τυχοῦσα, καλὸν οἷα τ' ἐστὶ ποιεῖν τὸ μέτρον καὶ τὸν λόγον· ἀνεπιστάτους δὲ καὶ ὡς ἔτυχε ῥιπτομένη, πρασαπόλλυσι καὶ τὸ ἐν τῇ διανοίᾳ χρήσιμον. πολλοὶ γοῦν ποιηταὶ καὶ συγγραφεῖς, φιλόσοφοί τε καὶ ῥήτορες, λέξεις πάνυ καλὰς καὶ πρεπούσας τοῖς ὑποκειμένοις ἐκλεξάντες ἐπιμελῶς, ἁρμονίαν δ' αὐταῖς περιθέντες εἰκαίαν τινὰ καὶ ἄμουσον, οὐδὲν χρηστὸν ἀπέλαυσαν ἐκείνου τοῦ πόνου. ἕτεροι δὲ, εὐκαταφρόνητα καὶ ταπεινὰ λαβόντες ὀνόματα, συνθέντες δ' αὐτὰ ἡδέως καὶ περιττῶς, πολλὴν τὴν ἀφροδίτην τῷ λόγῳ περιέθηκαν, καὶ σχεδὸν ἀνάλογόν τι πεπονθέναι δόξειεν ἂν ἡ σύνθεσις πρὸς τὴν ἐκλογὴν, ὃ πάσχει τὰ ὀνόματα πρὸς τὰ νοήματα. ὥσπερ γὰρ οὐδὲν ὄφελος διανοίας ἐστὶ χρηστῆς, εἰ μή τις αὐτῇ κόσμον ἀποδώσει καλῆς ὀνομασίας, οὕτω κἀνταῦθα οὐδέν ἐστι πρόὔργου λέξιν εὑρεῖν καθαρὰν καὶ καλλιῤῥήμονα, εἰ μὴ καὶ κόσμον αὐτῇ τις ἁρμονίας τὸν προσήκοντα περιθήσει.

Ἵνα δὲ μὴ δόξω, φασὶν, ἀναπόδεικτα λέγειν, ἐξ ὧν ἐπείσθην κρεῖττον εἶναι καὶ τελειότερον ἄσκημα τῆς ἐκλογῆς τὴν σύνθεσιν, ἔρχομαι πειράσομαι δεικνύναι, ἐμμέτρων τε καὶ πεζῶν λόγων ἀπαρχὰς ὀλίγας προχειρισάμενος· λαμβανέσθω δὲ ποιητῶν μὲν Ὅμηρος, συγγραφέων δὲ Ἡρόδοτος· ἀπόχρη γὰρ ἐκ τού-

Digitized by Google

των καὶ περὶ τῶν ἄλλων εἰκάσαι. ἔστι δὴ παρ' Ὁμήρῳ μὲν ὁ παρὰ τῷ συβώτῃ καταγόμενος Ὀδυσσεὺς περὶ τὴν ἑωθινὴν ὥραν ἀκροτίζεσθαι μέλλων, ὡς τοῖς παλαιοῖς ἔθος ἦν· ἔπειτα ὁ Τηλέμαχος αὐτοῖς ἐπιφαινόμενος ἐκ τῆς εἰς Πελοπόννησον ἀποδημίας. πραγμάτια λιτὰ καὶ βιωτικὰ ἡρμηνευμένα ὑπέρευ. ποῦ δέ ἐστιν ἡ τῆς ἑρμηνείας ἀρετὴ, τὰ ποιήματα δηλώσει παρατεθέντα αὐτά·

Τὼ δ' αὖτ' ἐν κλισίῃς, Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
Ἐντύνοντο ἄριστον, ἅμ' ἠοῖ κειαμένω πῦρ,
Ἐκπεμψάν τε νομῆας ἅμ' ἀγροβίνοισι σύεσσι.
Τηλέμαχον δὲ περίσαινον κύνες ὑλακόμωροι,
Οὐδ' ὕλαον προσιόντα. νόησε δὲ δῖος Ὀδυσσεὺς
Σαίνοντάς τε κύνας, ὑπὸ δὲ κτύπος ἦλθε ποδοῖιν.
Αἶψα δ' ἄρ' Εὔμαιον προσεφώνεεν ἐγγὺς ἐόντα.
Εὔμαι', ἦ μάλα τίς τοι ἐλεύσεται ἐνθάδ' ἑταῖρος,
Ἢ καὶ γνώριμος ἄλλος, ἐπεὶ κύνες οὐχ ὑλάουσιν,
Ἀλλὰ περισαίνουσι· ποδῶν δ' ὑπὸ δοῦπον ἀκούω.
Οὔπω πᾶν εἴρητο ἔπος, ὅτε οἱ φίλος υἱὸς
Ἔστη ἐνὶ προθύροισι. ταφὼν δ' ἀνόρουσε συβώτης·
Ἐκ δ' ἄρα οἱ χειρῶν πέσεν ἄγγεα, τοῖς ἐπονεῖτο
Κιρνὰς αἴθοπα οἶνον. ὁ δ' ἀντίος ἦλθεν ἄνακτος·
Κύσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλὰ,
Χεῖράς τ' ἀμφοτέρας· θαλερὸν δέ οἱ ἔκπεσε δάκρυ.

Ταῦθ' ὅτι μὲν ἐπάγεται καὶ κηλεῖ τὰς ἀκοὰς, ποιημάτων τε καὶ τῶν πάνυ ἡδίστων οὐδενὸς ἧττω μοῖραν ἔχει, πάντες ἂν οἶδ' ὅτι μαρτυρήσειαν. ποῦ δὴ

Digitized by Google

αὐτῶν ἐστιν ἡ πειθώ, καὶ διὰ τί τοιαῦτά ἐστι; π
τερον διὰ τὴν ἐκλογὴν τῶν ὀνομάτων, ἢ διὰ τ
σύνθεσιν; οὐδεὶς ἂν εἴποι διὰ τὴν ἐκλογήν, ὡς ἐ
πείθομαι. διὰ γὰρ τῶν εὐτελεστάτων τε καὶ ταπε
νοτάτων ὀνομάτων πέπλεκται πᾶσα ἡ λέξις, οἷς
καὶ γεωργὸς, καὶ θαλαττουργὸς, καὶ χειροτέχνη
καὶ πᾶς ὁ μηδεμίαν ὥραν τοῦ λέγειν εὖ ποιούμενο
ἐξ ἑτοίμου λαβὼν ἐχρήσατο. λυθέντος γοῦν τοῦ μ
τρου, φαῦλα φανήσεται τὰ αὐτὰ ταῦτα καὶ ἄζηλ
οὔτε γὰρ μεταφοραί τινες ἐν αὐτοῖς εὐγενεῖς ἔνεισι
οὔτε ὑπαλλαγαὶ, οὔτε καταχρήσεις, οὔτ' ἄλλη τρο
πικὴ διάλεκτος οὐδεμία, οὔτε δὴ γλῶτται πολλαί τι
νες, οὔτε ξένα, ἢ πεποιημένα ὀνόματα. τί οὖν λειπε
ται μὴ οὐχὶ τὴν σύνθεσιν τοῦ κάλλους τῆς ἑρμη
νείας αἰτιᾶσθαι; τοιαῦτ' ἐστὶ παρὰ τῷ ποιητῇ μυ
ρία, ὡς εὖ οἶδ' ὅτι πάντες ἴσασιν· ἐμοὶ δ' ὑπο
μνήσεως ἕνεκα λέγοντι ἀρκεῖ ταῦτα μόνα εἰρῆσθαι

Φέρε δὴ μεταβῶμεν καὶ ἐπὶ τὴν πεζὴν διάλε
κτον, καὶ σκοπῶμεν, εἰ κἀκείνῃ τὸ αὐτὸ συμβέβηκ
πάθος, ὥστε περὶ μικρὰ καὶ φαῦλα πράγματά τ
καὶ ὀνόματα συνταχθέντα καλῶς, μεγάλας γίνεσθα
τὰς χάριτας. ἔστι δὴ παρὰ τῷ Ἡροδότῳ βασιλεύ
τις Λυδῶν, ὃν ἐκεῖνος Κανδαύλην [καλεῖ, Μυρσί-
λον δὲ καλεῖσθαι] φησὶν ὑφ' Ἑλλήνων, τῆς ἑαυτοῦ
γυναικὸς ἐρῶν, ἔπειτα ἀξιῶν τινα τῶν ἑταίρων αὐ-
τοῦ γυμνὴν τὴν ἄνθρωπον ἰδεῖν. ὁ δὲ, ἀπομαχόμε-
νος μὴ ἀναγκασθῆναι· ὡς δὲ οὐκ ἔπειθεν, ὑπομέ-
νων τε καὶ θεώμενος αὐτὴν Γύγης ἦν. τὸ δὲ πρᾶγμα
οὐχ ὅτι σεμνὸν, ἢ καλλιλογεῖσθαι ἐπιτήδειον, ἀλλὰ

Digitized by Google

καὶ ταπεινὸν καὶ ἐπικίνδυνον, καὶ τοῦ αἰσχροῦ μᾶλλον, ἢ τοῦ καλοῦ, ἐγγυτέρω· ἀλλ' εἴρηται σφόδρα δεξιῶς, καὶ κρεῖττον γέγονεν ἀκουσθῆναι λεγόμενον, ἢ ὀφθῆναι γινόμενον. ἵνα δὲ μή τις ὑπολάβῃ, τὴν διάλεκτον εἶναι τῆς ἡδονῆς αἰτίαν τῇ λέξει, μεταθεὶς αὐτῆς τὸν χαρακτῆρα εἰς τὴν Ἀττίδα γλῶτταν, καὶ οὐδὲν ἄλλο περιεργασάμενος, οὕτως ἐξοίσω τὸν διάλογον· „Γύγη, οὐ γάρ σε δοκῶ πείθεσθαί μοι „λέγοντι τὰ περὶ τοῦ εἴδους τῆς γυναικός· ὅτα γὰρ „τυγχάνει ἀνθρώποις ὄντα ἀπιστότερα ὀφθαλμῶν „ποίει, ὅπως ἐκείνην θεάσῃ γυμνήν. Ὁ δὲ, μέγα „ἀναβοήσας εἶπεν· δέσποτα, τίνα λέγεις λόγον οὐχ „ὑγιᾶ, κελεύων με δέσποιναν τὴν ἐμὴν θεάσασθαι „γυμνήν; ἅμα δὲ χιτῶνι ἐκδυομένῳ συνεκδύεται „καὶ τὴν αἰδῶ γυνή. πάλαι δὲ τὰ καλὰ ἀνθρώποις „ἐξεύρηται, ἐξ ὧν μανθάνειν δεῖ· ἐν οἷς ἓν τόδ' „ἐστὶν, ὁρᾷν τινα τὰ ἑαυτοῦ. ἐγὼ δὲ πείθομαι, ἐκεί„νην πασῶν γυναικῶν εἶναι καλλίστην, καὶ σοῦ δέο„μαι μὴ χρῆζειν ἀνόμων. ὁ μὲν δὴ λέγων ταῦτα „ἀπεμάχετο, ὁ δ' ἠμείβετο τοῖσδε· Θάρσει, Γύγη, „καὶ μὴ φοβοῦ μήτ' ἐμὲ, ὡς πειρώμενός σου λόγον „λέγω τόνδε· μήτε γυναῖκα τὴν ἐμὴν, μή τι σοι ἐξ „αὐτῆς γένηται βλάβος. ἀρχὴν γὰρ ἐγὼ μηχανήσο„μαι οὕτως, ὥστε μηδὲ μαθεῖν αὐτὴν ὀφθεῖσαν „ὑπό σου. ἄγαγὼν γάρ σε εἰς τὸ οἴκημα, ἔν ᾧ κοι„μώμεθα, ὄπισθεν τῆς ἀνοιγομένης θύρας στήσω· „μετὰ δ' ἐμὲ εἰσελθόντα παρέσται καὶ ἡ γυνὴ ἡ „ἐμὴ ἐς κοίτην. κεῖται δὲ ἐγγὺς τῆς εἰσόδου θρόνος· „ἐπὶ τοῦτον τῶν ἱματίων καθ' ἓν ἕκαστον ἐκδῦσα

Digitized by Google

„θήσει. καὶ καθ' ἡσυχίαν πολλὴν παρέσται σοι
„θεάσασθαι. ὅταν δὲ ἀπὸ τοῦ θρόνου πορεύηται
„ἐπὶ τὴν εὐνήν, κατὰ νώτου τ' αὐτῆς γένῃ, σοι με-
„λέτω τὸ ἐντεῦθεν, ὅπως μή σε ὄψεται ἀπιόντα δι
„θυρῶν. ὁ μὲν δή, ὡς οὐκ ἠδύνατο διαφυγεῖν, ἕτοι
„μος ἦν ποιεῖν ταῦτα. Οὐκ ἂν ἔχοι τις οὐδ' ἐν-
„ταῦθα εἰπεῖν, ὅτι τὸ ἄξίωμα καὶ ἡ σεμνότης τῶ
„ὀνομάτων εὔμορφον πεποίηκε τὴν φράσιν. ἀνεπι-
„τήδευτα γάρ ἐστι καὶ ἀνέκλεκτα, οἷα φύσις τέθεικ
„σύμβολα τοῖς πράγμασιν· οὐδὲ γὰρ ἦρμοττεν ἴσω
„κρείττοσι χρήσασθαι ἑτέροις. ἀνάγκη δή που, ὅτα
„τοῖς κυριωτάτοις τε καὶ προσεχεστάτοις ὀνόμασι
„ἐκφέρηται τὰ νοήματα, μηδὲν σεμνότερον εἶναι, ἢ
„οἷά ἐστιν. ὅτι δ' οὐδὲν ἐν αὐτοῖς ἐστι σεμνόν,
„οὐδὲ περιττόν, ὃ βουλόμενος εἴσεται, μεταθεὶς
„οὐδέν, ὅτι μὴ τὴν ἁρμονίαν. πολλὰ δὲ καὶ παρ
„τούτῳ τῷ ἀνδρὶ τοιαῦτά ἐστιν, ἐξ ὧν ἄν τις τεκμή-
„ραιτο, ὅτι οὐκ ἐν τῷ κάλλει τῶν ὀνομάτων ἡ πειθ
„τῆς ἑρμηνείας ἦν, ἀλλ' ἐν τῇ συζυγίᾳ ἦν. καὶ περ
„μὲν τούτων ἱκανὰ ταῦτα."

Soluta compositione, solvi orationis vim et pulchritudinem.

IV. Ἵνα δὲ πολὺ μᾶλλον αἴσθηται, ὅσην ἔχε
ῥώμην ἡ συνθετικὴ δύναμις ἔν τε ποιήμασι καὶ λό
γοις, λήψομαί τινας εὖ ἔχειν δοκούσας λέξεις, ὧ
τὰς ἁρμονίας μεταθείς, ἀλλοῖα φαίνεσθαι ποιήσ
καὶ τὰ μέτρα καὶ τοὺς λόγους. λαμβανέσθω δὲ πρῶ
τον ἐκ τῶν Ὁμηρικῶν ταῦτί·

Digitized by Google

Ἀλλ' ἔχον ὥστε τάλαντα γυνὴ χερνῆτις ἀληθὴς,
Ἥ τε σταθμὸν ἔχουσα, καὶ εἰρίον ἀμφὶς ἀνέλκει,
Ἰσάζουσ', ἵνα παισὶν ἀεικέα μισθὸν ἄρηται.

τοῦτο τὸ μέτρον ἡρωϊκόν ἐστιν, ἑξάπουν, τέλειον, κατὰ πόδα δάκτυλον βαινόμενον. ἐγὼ δὴ τῶν αὐτῶν ὀνομάτων τούτων μετακινήσας τὴν σύνθεσιν, τοὺς αὐτοὺς στίχους ἀντὶ μὲν ἑξαμέτρων ποιήσω τετραμέτρους, ἀντὶ δὲ ἡρωϊκῶν προσῳδικούς, τὸν τρόπον τοῦτον·

Ἀλλ' ἔχον ὥστε γυνὴ χερνῆτις τάλαντα ἀληθὴς,
Ἥ τ' εἰρίον ἀμφὶς καὶ σταθμὸν ἔχουσ' ἀνέλκει
Ἰσάζουσ', ἵν' ἀεικέα παισὶν ἄροιτο μισθόν.

τοιαῦτά ἐστι τὰ πριάπεια, ὑπό τινων δὲ ἰθυφάλλια λεγόμενα, ταυτί·

Οὐ βέβηλος, ὡς λέγεται, τοῦ νέου Διονύσου,
Κἀγὼ δ' ἐξ ἐργασίης ὠργιασμένος ἦκω.

ἄλλους πάλιν λαβὼν στίχους Ὁμηρικοὺς, οὔτε προσθεὶς οὐδὲν αὐτοῖς, οὔτ' ἀφελών, τὴν δὲ σύνθεσιν ἀλλάξας μόνον, ἕτερον ἀποδώσω μέλος τετράμετρον, τὸ καλούμενον Ἰωνικόν·

Ὡς ὁ πρόσθ' ἵππων καὶ δίφρου κεῖτο τανυσθείς,
Βεβρυχὼς, κόνιος δεδραγμένος αἱματοέσσης.
Ὡς ὁ πρόσθ' ἵππων καὶ δίφρου κεῖτο τανυσθείς,
Αἱματοέσσης κόνιος δεδραγμένος, βεβρυχώς.

τοιαῦτά ἐστι τὰ Σωτάδια ταυτί·

Ἔνθ' οἱ μὲν ἐπ' ἄκραις πυραῖς νέκυες ἔκειντο
Γῆς ἐπὶ ξένης, ὀρφανὰ τείχεα προλιπόντες
Ἑλλάδος ἱερῆς, καὶ μυχὸν ἑστίης πατρῴης,
Ἥβην τ' ἐρατεινὴν, καὶ καλὸν ἠλίου πρόσωπον.

Digitized by Google

Δυναίμην δ' ἂν ἔτι πολλὰς ἰδέας μέτρων καὶ διαφόρους εἰς τὸν ἡρωϊκὸν ἐμπιπτούσας στίχον ἐπιδεικνύναι, τὸ δ' αὐτὸ κἂν τοῖς ἄλλοις ὀλίγου δεῖν πᾶσι συμβεβηκὸς μέτροις τε καὶ ῥυθμοῖς ἀποφαίνειν, ὥστε τῆς μὲν ἐκλογῆς τῶν ὀνομάτων τῆς αὐτῆς μενούσης, τῆς δὲ συνθέσεως μόνης μάλιστα πεσούσης, τά τε μέτρα μεταῤῥυθμίζεσθαι, καὶ συμμεταπίπτειν τούτοις τὰ σχήματα, τὰ χρώματα, τὰ ἤθη, τὰ πάθη, τὴν ὅλην τῶν ποιημάτων ἀξίωσιν· ἀλλ' ἀναγκασθήσομαι πλειόνων ἅψασθαι θεωρημάτων, ὧν ἔνια ὀλίγοις πάνυ ἐστὶ γνώριμα, ἐπὶ πολλῶν δ' ἴσως, καὶ οὐχ ἥκιστα ἐπὶ τῶν τοιούτων, καλῶς ἂν ἔχοι τὰ Εὐριπίδεια ταῦτα ἐπενεγκεῖν·

Μή μοι
Λεπτῶν θίγγανε μύθων, ψυχή·
Τί περισσὰ φρονεῖς; εἰ μὴ μέλλεις
Σεμνύνεσθαι παρ' ὁμοίοις.

ταῦτά μὲν οὖν ἐάσειν μοι δοκῶ κατὰ τὸ παρόν. ὅτι δὲ καὶ ἡ πεζὴ λέξις τὸ αὐτὸ δύναται παθεῖν τῇ ἐμμέτρῳ, μενόντων μὲν τῶν ὀνομάτων, ἀλλασσομένης δὲ τῆς συνθέσεως, πάρεστι τῷ βουλομένῳ σκοπεῖν. λήψομαι δ' ἐκ τῆς Ἡροδότου λέξεως τὴν ἀρχὴν τῆς ἱστορίας, ἐπεὶ καὶ γνώριμός ἐστι τοῖς πολλοῖς, μεταθεὶς τὸν χαρακτῆρα τῆς διαλέκτου μόνον. „Κροῖσος ἦν Λυδὸς μὲν γένος, παῖς δὲ Ἀλυάττου, τύραννος δὲ ἐθνῶν τῶν ἐντὸς Ἅλυος ποταμοῦ· ὃς ῥέων ἀπὸ μεσημβρίας μεταξὺ Σύρων τε καὶ Παφλαγόνων, ἐξίησι πρὸς βορέην ἄνεμον εἰς τὸν Εὔξεινον καλούμενον πόντον." Μετατίθημι τῇ

Digitized by Google

λέξεως ταύτης τὴν ἁρμονίαν, καὶ γενήσεταί μοι οὐκέτι ἐπαγωγικὸν τὸ πλάσμα, οὐδ' ἱστορικὸν, ἀλλ' ὀρθὸν μᾶλλον καὶ ἐναγώνιον· „Κροῖσος ἦν υἱὸς „μὲν Ἀλυάττου, γένος δὲ Λυδὸς, τύραννος δὲ τῶν „ἐντὸς Ἅλυος ποταμοῦ ἐθνῶν· ὃς, ἀπὸ μεσημβρίας „ῥέων μεταξὺ Σύρων καὶ Παφλαγόνων, εἰς τὸν „Εὔξεινον καλούμενον πόντον ἐκδίδωσι πρὸς βο„ρέαν ἄνεμον.“ Οὗτος ὁ χαρακτὴρ οὐ πολὺ ἀπέχειν ἂν δόξειεν τῶν Θουκυδίδου τούτων· „Ἐπίδαμνός „ἐστι πόλις ἐν δεξιᾷ εἰσπλέοντι τὸν Ἰόνιον κόλπον· „προσοικοῦσι δ' αὐτὴν Ταυλάντιοι βάρβαροι, Ἰλ„λυρικὸν ἔθνος“ πάλιν διαλλάξας τὴν αὐτὴν λέξιν, ἑτέραν αὐτῇ μορφὴν ἀποδώσω, τὸν τρόπον τοῦτον· „Ἀλυάττου μὲν υἱὸς ἦν Κροῖσος, γένος δὲ Λυδὸς, „τῶν ἐντὸς Ἅλυος ποταμοῦ τύραννος ἐθνῶν· ὃς, „ἀπὸ μεσημβρίας ῥέων Σύρων τε καὶ Παφλαγόνων „μεταξὺ, πρὸς βορέαν ἕξεσιν ἄνεμον εἰς τὸν καλού„μενον πόντον Εὔξεινον.“ Ἡγησιακὸν τὸ σχῆμα τοῦτο τῆς συνθέσεως, μικρόκομψον, ἀγενὲς, μαλθακόν. τούτων γὰρ τῶν λήρων ἱερεὺς ἐκεῖνος ἀνὴρ, τοιαῦτα γράφων· „Ἐξ ἀγαθῆς ἑορτῆς ἀγαθὴν ἄγο„μεν ἄλλην. — Ἀπὸ Μαγνησίας εἰμὶ τῆς μεγάλης „Σιπυλεύς. — Οὐ γὰρ μικρὰν εἰς Θηβαίων ὕδωρ „ἔπτυσεν ὁ Διάνυσος· ἡδὺς μὲν γάρ ἐστι, ποιεῖ δὲ „μαίνεσθαι.“

Compositio verborum habet vim maiorem delectu.

Ἄλις ἔστω τῶν παραδειγμάτων. ἱκανῶς γὰρ οἶομαι πεποιηκέναι φανερὸν, ὃ προὔκειτό μοι, ὅτι μεί-

Digitized by Google

ζονα ἰσχὺν ἔχει τῆς ἐκλογῆς ἡ σύνθεσις. καί μοι δο
κεῖ τις οὐκ ἂν ἁμαρτάνειν εἰκάσας αὐτὴν τῇ Ὁμη
ρικῇ Ἀθηνᾷ. ἐκείνη τε γὰρ τὸν Ὀδυσσέα τὸν αὐτὸ
ὄντα ἄλλοτε ἀλλοῖον ἐποίει φαίνεσθαι, τοτὲ μὲν ῥι
σὸν, καὶ μικρὸν, καὶ αἰσχρὸν,

Πτωχῷ λευγαλέῳ ἐναλίγκιον, ἠδὲ γέροντι.

τοτὲ δὲ τῇ αὐτῇ ῥάβδῳ πάλιν ἐφαψαμένη,

Μείζονά τ' εἰσιδέειν, καὶ πάσσονα θῆκεν ἰδέσθα

— — καὶδὲ κάρητος

Θύλας ἦκε κόμας ὑακινθίνῳ ἄνθει ὁμοίας.

αὐτή τε, τὰ αὐτὰ λαμβάνουσα ὀνόματα, τοτὲ μὲ
ἄμορφα καὶ πτωχὰ καὶ ταπεινὰ ποιεῖ φαίνεσθαι τ
νρήματα, τοτὲ δὲ ὑψηλὰ καὶ πλούσια καὶ ἀδρὰ κα
καλά. καὶ τούτῳ μάλιστα διαλλάττει ποιητὴς τ
ποιητοῦ, καὶ ῥήτωρ ῥήτορος, τῷ συντιθέναι δεξιῶ
τὰ ὀνόματα. τοῖς μὲν οὖν ἀρχαίοις ὀλίγου δεῖν πᾶσ
πολλὴ ἐπίδοσις ἦν αὐτοῦ. παρ' ὃ καὶ καλά ἐστι
αὐτῶν τὰ μέτρα, καὶ τὰ μέλη, καὶ οἱ λόγοι· τοῖς δ
μεταγενεστέροις οὐκέτι, πλὴν ὀλίγων· χρόνῳ δ
ὕστερον παντάπασιν ἠμελήθη· καὶ οὐδεὶς ᾤετο δεῖ
ἀναγκαῖον αὐτὸ εἶναι, οὐδὲ συμβάλλεσθαί τι τ
κάλλει τῶν λόγων. τοιγάρτοι τοιαύτας συντάξει
καταλιπον, οἵας οὐδεὶς ὑπομένει μέχρι κορωνίδο
διελθεῖν· Φύλαρχον λέγω, καὶ Δοῦριν, καὶ Πολύ
βιον, καὶ Ψάωνα, καὶ τὸν Καλαντιανὸν Δημήτριο
Ἱερώνυμόν τε καὶ Ἀντίλοχον, καὶ Ἡρακλείδην, κα
Ἡγησίαν Μάγνητα, καὶ ἄλλους μυρίους· ὧν ἅπάν
των τὰ ὀνόματα εἰ βουλοίμην λέγειν, ἐπιλείψει με
τῆς ἡμέρας χρόνος. καὶ τί δεῖ τούτους θαυμάζει

Digitized by Google

ὅπου γε καὶ οἱ τὴν φιλοσοφίαν ἐπαγγελλόμενοι, καὶ τὰς διαλεκτικὰς ἐκφέροντες τέχνας, οὕτως εἰσὶν ἄθλιοι περὶ τὴν σύνθεσιν τῶν ὀνομάτων, ὥστ' αἰδεῖσθαι καὶ λέγειν; ἀπόχρη δὲ τεκμηρίῳ χρήσασθαι τῷ λόγῳ Χρυσίππου τοῦ Στωϊκοῦ· περαιτέρω γὰρ οὐκ ἂν προβαίην. τούτου γὰρ οὔτ' ἄμεινον οὐδεὶς τὰς διαλεκτικὰς τέχνας ἠκρίβωσεν, οὔτε χείρονι ἁρμονίᾳ συνταχθέντας ἐξήνεγκε λόγους τῶν ὀνόματος καὶ δόξης ἀξιωθέντων. καίτοι σπουδάζειν γέ τινες προσεποιήθησαν αὐτῶν καὶ περὶ τοῦτο τὸ μέρος, ὡς ἀναγκαῖον ὂν τῷ λόγῳ, καὶ τέχνας τινὰς ἐπέγραψαν ὑπὲρ τῆς συντάξεως τῶν τοῦ λόγου μορίων. ἀλλὰ πολλοὶ, ἢ μᾶλλον πάντες, ἀπὸ τῆς ἀληθείας ἀπεπλανήθησαν, καὶ οὐδ' ὄναρ εἶδον, τί ποτ' ἐστὶ τὸ ποιοῦν ἡδεῖαν καὶ καλὴν τὴν σύνθεσιν.

Ἔγωγ' οὖν, ὅτε διέγνων συντάττεσθαι ταύτην τὴν ὑπόθεσιν, ἐζήτουν, εἴ τι τοῖς πρότερον εἴρηται περὶ αὐτῆς, καὶ μάλιστα τοῖς ἀπὸ τῆς Στοᾶς φιλοσόφοις, εἰδὼς τοὺς ἄνδρας οὐ μικρὰν φροντίδα τοῦ λεκτικοῦ τόπου πεποιημένους· δεῖ γὰρ αὐτοῖς τἀληθῆ μαρτυρεῖν. οὐδαμῇ δ' οὐδὲν ὑπ' οὐδενὸς εὑρὼν τῶν ὀνόματος ἠξιωμένων οὔτε μεῖζον, οὔτ' ἔλαττον συναχθὲν εἰς ἣν ἐγὼ προῄρημαι πραγματείαν· ἃς δὲ Χρύσιππος καταλέλοιπε συντάξεις διττὰς, ἐπιγραφὴν ἐχούσας· Περὶ τῆς συντάξεως τῶν τοῦ λόγου μερῶν· οὐ ῥητορικὴν θεωρίαν ἐχούσας, ἀλλὰ διαλεκτικὴν, ὡς ἴσασιν οἱ τὰς βίβλους ἀνεγνωκότες, ὑπὲρ ἀξιωμάτων συντάξεως, ἀληθῶν τε καὶ ψευδῶν, καὶ δυνατῶν καὶ ἀδυνάτων, ἐνδεχομένων τε

Digitized by Google

ζονα ἰσχὺν ἔχει τῆς ἐκλογῆς ἡ σύνθεσις. καί μοι δοκεῖ τις οὐκ ἂν ἁμαρτάνειν εἰκάσας αὐτὴν τῇ Ὁμηρικῇ Ἀθηνᾷ. ἐκείνη τε γὰρ τὸν Ὀδυσσέα τὸν αὐτὸν ὄντα ἄλλοτε ἀλλοῖον ἐποίει φαίνεσθαι, τοτὲ μὲν ῥυσὸν, καὶ μικρὸν, καὶ αἰσχρὸν,

Πτωχῷ λευγαλέῳ ἐναλίγκιον, ἠδὲ γέροντι.

τοτὲ δὲ τῇ αὐτῇ ῥάβδῳ πάλιν ἐφαψαμένη,

Μείζονά τ' εἰσιδέειν, καὶ πάσσονα θῆκεν ἰδέσθαι·

— — καδδὲ κάρητος

Θύλας ἦκε κόμας ὑακινθίνῳ ἄνθει ὁμοίας.

αὕτη τε, τὰ αὐτὰ λαμβάνουσα ὀνόματα, τοτὲ μὲν ἄμορφα καὶ πτωχὰ καὶ ταπεινὰ ποιεῖ φαίνεσθαι τὰ ῥήματα, τοτὲ δὲ ὑψηλὰ καὶ πλούσια καὶ ἁδρὰ καὶ καλά. καὶ τούτῳ μάλιστα διαλλάττει ποιητής τε ποιητοῦ, καὶ ῥήτωρ ῥήτορος, τῷ συντιθέναι δεξιῶς τὰ ὀνόματα. τοῖς μὲν οὖν ἀρχαίοις ὀλίγου δεῖν πᾶσι πολλὴ ἐπίδοσις ἦν αὐτοῦ. παρ' ὃ καὶ καλά ἐστιν αὐτῶν τὰ μέτρα, καὶ τὰ μέλη, καὶ οἱ λόγοι· τοῖς δὲ μεταγενεστέροις οὐκέτι, πλὴν ὀλίγων· χρόνῳ δ' ὕστερον παντάπασιν ἠμελήθη· καὶ οὐδεὶς ᾤετο δεῖν ἀναγκαῖον αὐτὸ εἶναι, οὐδὲ συμβάλλεσθαί τι τῷ κάλλει τῶν λόγων. τοιγάρτοι τοιαύτας συντάξεις κατέλιπον, οἵας οὐδεὶς ὑπομένει μέχρι κορωνίδος διελθεῖν· Φύλαρχον λέγω, καὶ Δοῦριν, καὶ Πολύβιον, καὶ Ψάωνα, καὶ τὸν Καλαντιανὸν Δημήτριον, Ἱερώνυμόν τε καὶ Ἀντίλοχον, καὶ Ἡρακλείδην, καὶ Ἡγησίαν Μάγνητα, καὶ ἄλλους μυρίους· ὧν ἁπάντων τὰ ὀνόματα εἰ βουλοίμην λέγειν, ἐπιλείψει με ὁ τῆς ἡμέρας χρόνος. καὶ τί δεῖ τούτους θαυμάζειν,

Digitized by Google

ὅπου γε καὶ οἱ τὴν φιλοσοφίαν ἐπαγγελλόμενοι, καὶ τὰς διαλεκτικὰς ἐκφέροντες τέχνας, οὕτως εἰσὶν ἄθλιοι περὶ τὴν σύνθεσιν τῶν ὀνομάτων, ὥστ' αἰδεῖσθαι καὶ λέγειν; ἀπόχρη δὲ τεκμηρίῳ χρήσασθαι τῷ λόγῳ Χρυσίππου τοῦ Στωϊκοῦ· περαιτέρω γὰρ οὐκ ἂν προβαίην. τούτου γὰρ οὔτ' ἄμεινον οὐδεὶς τὰς διαλεκτικὰς τέχνας ἠκρίβωσεν, οὔτε χείρονι ἁρμονίᾳ συνταχθέντας ἐξήνεγκε λόγους τῶν ὀνόματος καὶ δόξης ἀξιωθέντων. καίτοι σπουδάζειν γέ τινες προσεποιήθησαν αὐτῶν καὶ περὶ τοῦτο τὸ μέρος, ὡς ἀναγκαῖον ὂν τῷ λόγῳ, καὶ τέχνας τινὰς ἐπέγραψαν ὑπὲρ τῆς συντάξεως τῶν τοῦ λόγου μορίων. ἀλλὰ πολλοὶ, ἢ μᾶλλον πάντες, ἀπὸ τῆς ἀληθείας ἀπεπλανήθησαν, καὶ οὐδ' ὄναρ εἶδον, τί ποτ' ἐστὶ τὸ ποιοῦν ἡδεῖαν καὶ καλὴν τὴν σύνθεσιν.

Ἔγωγ' οὖν, ὅτε διέγνων συντάττεσθαι ταύτην τὴν ὑπόθεσιν, ἐζήτουν, εἴ τι τοῖς πρότερον εἰρηται περὶ αὐτῆς, καὶ μάλιστα τοῖς ἀπὸ τῆς Στοᾶς φιλοσόφοις, εἰδὼς τοὺς ἄνδρας οὐ μικρὰν φροντίδα τοῦ λεκτικοῦ τόπου πεποιημένους· δεῖ γὰρ αὐτοῖς τἀληθῆ μαρτυρεῖν. οὐδαμῇ δ' οὐδὲν ὑπ' οὐδενὸς εὑρὼν τῶν ὀνόματος ἠξιωμένων οὔτε μεῖζον, οὔτ' ἔλαττον συναχθὲν εἰς ἣν ἐγὼ προήρημαι πραγματείαν· ἃς δὲ Χρύσιππος καταλέλοιπε συντάξεις διττὰς, ἐπιγραφὴν ἐχούσας· Περὶ τῆς συντάξεως τῶν τοῦ λόγου μερῶν· οὐ ῥητορικὴν θεωρίαν ἐχούσας, ἀλλὰ διαλεκτικὴν, ὡς ἴσασιν οἱ τὰς βίβλους ἀνεγνωκότες, ὑπὲρ ἀξιωμάτων συντάξεως, ἀληθῶν τε καὶ ψευδῶν, καὶ δυνατῶν καὶ ἀδυνάτων, ἐνδεχομένων τε

Digitized by Google

ζονα ἰσχὺν ἔχει τῆς ἐκλογῆς ἡ σύνθεσις. καί μοι δοκεῖ τις οὐκ ἂν ἁμαρτάνειν εἰκάσας αὐτὴν τῇ Ὁμηρικῇ Ἀθηνᾷ. ἐκείνη τε γὰρ τὸν Ὀδυσσέα τὸν αὐτὸν ὄντα ἄλλοτε ἄλλοῖον ἐποίει φαίνεσθαι, τοτὲ μὲν ῥυσὸν, καὶ μικρὸν, καὶ αἰσχρὸν,

Πτωχῷ λευγαλέῳ ἐναλίγκιον, ἠδὲ γέροντι.

τοτὲ δὲ τῇ αὐτῇ ῥάβδῳ πάλιν ἐφαψαμένη,

Μείζονά τ' εἰσιδέειν, καὶ πάσσονα θῆκεν ἰδέσθαι·

— — καδδὲ κάρητος

Θύλας ἦκε κόμας ὑακινθίνῳ ἄνθει ὁμοίας.

αὕτη τε, τὰ αὐτὰ λαμβάνουσα ὀνόματα, τοτὲ μὲν ἄμορφα καὶ πτωχὰ καὶ ταπεινὰ ποιεῖ φαίνεσθαι τὰ ῥήματα, τοτὲ δὲ ὑμηλὰ καὶ πλούσια καὶ ἁδρὰ καὶ καλά. καὶ τούτῳ μάλιστα διαλλάττει ποιητής τε ποιητοῦ, καὶ ῥήτωρ ῥήτορος, τῷ συντιθέναι δεξιῶς τὰ ὀνόματα. τοῖς μὲν οὖν ἀρχαίοις ὀλίγου δεῖν πᾶσι πολλὴ ἐπίδοσις ἦν αὐτοῦ. παρ' ὃ καὶ καλά ἐστιν αὐτῶν τὰ μέτρα, καὶ τὰ μέλη, καὶ οἱ λόγοι· τοῖς δὲ μεταγενεστέροις οὐκέτι, πλὴν ὀλίγων· χρόνῳ δ' ὕστερον παντάπασιν ἠμελήθη· καὶ οὐδεὶς ᾤετο δεῖν ἀναγκαῖον αὐτὸ εἶναι, οὐδὲ συμβάλλεσθαί τι τῷ κάλλει τῶν λόγων. τοιγάρτοι τοιαύτας συντάξεις κατέλιπον, οἵας οὐδεὶς ὑπομένει μέχρι κορωνίδος διελθεῖν· Φύλαρχον λέγω, καὶ Δοῦριν, καὶ Πολύβιον, καὶ Ψάωνα, καὶ τὸν Καλαντιανὸν Δημήτριον, Ἱερώνυμόν τε καὶ Ἀντίλοχον, καὶ Ἡρακλείδην, καὶ Ἡγησίαν Μάγνητα, καὶ ἄλλους μυρίους· ὧν ἅπάντων τὰ ὀνόματα εἰ βουλοίμην λέγειν, ἐπιλείψει με ὁ τῆς ἡμέρας χρόνος. καὶ τί δεῖ τούτους θαυμάζειν,

Digitized by Google

ὅπου γε καὶ οἱ τὴν φιλοσοφίαν ἐπαγγελλόμενοι, καὶ τὰς διαλεκτικὰς ἐκφέροντες τέχνας, οὕτως εἰσὶν ἄθλιοι περὶ τὴν σύνθεσιν τῶν ὀνομάτων, ὥστ' αἰδεῖσθαι καὶ λέγειν; ἀπόχρη δὲ τεκμηρίῳ χρήσασθαι τῷ λόγῳ Χρυσίππου τοῦ Στωϊκοῦ· περαιτέρω γὰρ οὐκ ἂν προβαίην. τούτου γὰρ οὔτ' ἄμεινον οὐδεὶς τὰς διαλεκτικὰς τέχνας ἠκρίβωσεν, οὔτε χείρονι ἁρμονίᾳ συνταχθέντας ἐξήνεγκε λόγους τῶν ὀνόματος καὶ δόξης ἀξιωθέντων. καίτοι σπουδάζειν γέ τινες προσεποιήθησαν αὐτῶν καὶ περὶ τοῦτο τὸ μέρος, ὡς ἀναγκαῖον ὂν τῷ λόγῳ, καὶ τέχνας τινὰς ἐπέγραψαν ὑπὲρ τῆς συντάξεως τῶν τοῦ λόγου μορίων. ἀλλὰ πολλοὶ, ἢ μᾶλλον πάντες, ἀπὸ τῆς ἀληθείας ἀπεπλανήθησαν, καὶ οὐδ' ὄναρ εἶδον, τί ποτ' ἐστὶ τὸ ποιοῦν ἡδεῖαν καὶ καλὴν τὴν σύνθεσιν.

Ἐγωγ' οὖν, ὅτε διέγνων συντάττεσθαι ταύτην τὴν ὑπόθεσιν, ἐζήτουν, εἴ τι τοῖς πρότερον εἴρηται περὶ αὐτῆς, καὶ μάλιστα τοῖς ἀπὸ τῆς Στοᾶς φιλοσόφοις, εἰδὼς τοὺς ἄνδρας οὐ μικρὰν φροντίδα τοῦ λεκτικοῦ τόπου πεποιημένους· δεῖ γὰρ αὐτοῖς τἀληθῆ μαρτυρεῖν. οὐδαμῇ δ' οὐδὲν ὑπ' οὐδενὸς εὑρὼν τῶν ὀνόματος ἠξιωμένων οὔτε μεῖζον, οὔτ' ἔλαττον συναχθὲν εἰς ἣν ἐγὼ προῄρημαι πραγματείαν· ἃς δὲ Χρύσιππος καταλέλοιπε συντάξεις διττὰς, ἐπιγραφὴν ἐχούσας· Περὶ τῆς συντάξεως τῶν τοῦ λόγου μερῶν· οὐ ῥητορικὴν θεωρίαν ἐχούσας, ἀλλὰ διαλεκτικὴν, ὡς ἴασιν οἱ τὰς βίβλους ἀνεγνωκότες, ὑπὲρ ἀξιωμάτων συντάξεως, ἀληθῶν τε καὶ ψευδῶν, καὶ δυνατῶν καὶ ἀδυνάτων, ἐνδεχομένων τε

Digitized by Google

καὶ μεταπιπτόντων, καὶ ἀμφιβόλων, καὶ ἄλλων τινῶν τοιουτοτρόπων, οὐδεμίαν οὔτε χρείαν, οὔτ' ὠφέλειαν, τοῖς πολιτικοῖς λόγοις συμβαλλομένων, εἰς γοῦν ἡδονὴν, ἢ κάλλος ἑρμηνείας, ὧν δεῖ στοχάζεσθαι τὴν σύνθεσιν· ταύτης μὲν τῆς πραγματείας ἀπέστην. ἐσκόπουν δ' αὐτὸς ἐπ' ἐμαυτοῦ γενόμενος, εἴ τινα δυναίμην εὑρεῖν φυσικὴν ἀφορμὴν, ἐπειδὴ παντὸς πράγματος καὶ πάσης ζητήσεως αὕτη δοκεῖ κρατίστη εἶναι καὶ ἀρχή. ἁψάμενος δέ τινων θεωρημάτων, καὶ δόξας ὁδῷ τινι τὸ πρᾶγμα χωρεῖν, ὡς ἔμαθον ἑτέρωσέ πῃ ταύτην ἄγουσαν ἐμὲ τὴν ὁδὸν, οὐχ ὅποι προὐθέμην καὶ ἀναγκαῖον ἦν ἐλθεῖν, ἀπέστην. κωλύει δ' οὐδὲν ἴσως κἀκείνης ἅψασθαι τῆς θεωρίας, καὶ τὰς αἰτίας εἰπεῖν, δι' ἃς ἐξέλιπον αὐτὴν, ἵνα μή με δόξῃ τις ἀγνοίᾳ παρελθεῖν αὐτὴν, ἀλλὰ μὴ προαιρέσει.

Quo modo construendae sint partes orationis.

V. Ἐδόκει δή μοι τῇ φύσει μάλιστα ἡμᾶς ἑπομένους οὕτω δεῖν ἁρμόττειν τὰ μόρια τοῦ λόγου, ὡς ἐκείνη βούλεται. αὐτίκα τὰ ὀνόματα ἡγούμην τάττειν πρὸ τῶν ῥημάτων· τὰ μὲν γὰρ τὴν οὐσίαν δηλοῦν, τὰ δὲ τὸ συμβεβηκός· προτέραν δ' εἶναι τῇ φύσει τὴν οὐσίαν τῶν συμβεβηκότων· ὡς τὰ Ὁμηρικὰ ἔχει· „Ἄνδρα μοι ἔννεπε, Μοῦσα, πολύτροπον.“ — καὶ· „Μῆνιν ἄειδε, θεά. — καὶ· Ἠέλιος δ' ἀνόρουσε λιπών.“ — καὶ τὰ παραπλήσια τούτοις. ἡγεῖται μὲν γὰρ ἐν τούτοις τὰ ὀνόματα, ἕπεται δὲ τὰ ῥήματα. πιθανὸς ὁ λόγος, ἀλλ' οὐκ

Digitized by Google

ἀληθὴς ἔδοξεν εἶναί μοι. ἕτερα γοῦν παράσχοιτ' ἄν τις παραδείγματα παρὰ τῷ αὐτῷ ποιητῇ κείμενα ἐναντίως συντεταγμένα, ἢ ταῦτα συντέτακται, καλά τε οὐχ ἧττον καὶ πιθανά. τίνα οὖν ἐστι ταῦτα;

Κλῦθί μευ, αἰγιόχοιο Διὸς τέκος, Ἀτρυτώνη. καὶ·

Ἕσπετε νῦν μοι, Μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι. καὶ·

Μνῆσαι πατρὸς σεῖο, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ.

ἐν γὰρ τούτοις ἡγεῖται μὲν ῥήματα, ὑποτέτακται δὲ τὰ ὀνόματα· καὶ οὐδεὶς ἂν αἰτιάσαιτο τὴν σύνταξιν αὐτῶν ὡς ἀηδῆ. ἔτι δὲ πρὸς τούτοις ἄμεινον ἐδόκουν εἶναι τὰ ῥήματα πρότερα τάττειν τῶν ἐπιῤῥημάτων· ἐπειδὴ πρότερόν ἐστι τῇ φύσει τὸ ποιοῦν, ἢ πάσχον, τῶν συνεδρευόντων αὐτοῖς, τρόπου λέγω, καὶ τόπου, καὶ χρόνου, καὶ τῶν παραπλησίων, ἃ δὴ καὶ καλοῦμεν ἐπιῤῥήματα· παραδείγμασι χρώμενος τούτοις·

Τύπτε δ' ἐπιστροφάδην τῶν δὲ στόνος ὄρνυτ' ἀείκης.

Ἤριπε δ' ἐξοπίσω, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσεν.

Ἐκλίνθη δ' ἐτέρωσε, δέπας δέ οἱ ἔκπεσε χειρός.

ἐν ἅπασι γὰρ τούτοις ὕστερα τέτακται τῶν ῥημάτων τὰ ἐπιῤῥήματα. καὶ τοῦτο πιθανὸν μὲν ὡς τὸ πρῶτον, οὐκ ἀληθὲς δέ, ὡς οὐδ' ἐκεῖνο. καὶ γὰρ δὴ καὶ ταῦτα παρὰ τῷ ποιητῇ ἐναντίως, ἢ ἐκεῖνα, εἴρηται·

Βοτρυδὸν δὲ πέτονται ἐπ' ἄνθεσιν εἰαρινοῖσι.

Σήμερον ἄνδρα φάοσδε μογοστόκος Εἰλείθυια

Ἐκφανεῖ. —

Digitized by Google

ἆρ' οὖν χείρω τι γέγονε τὰ ποιήματα, ὑποταχθέντων ἐνταῦθα τοῖς ἐπιῤῥήμασι τῶν ῥημάτων; ἔτι καὶ τάδε ᾠόμην δεῖν μὴ παρέργως φυλάττειν, ὅπως τὰ πρότερα τοῖς χρόνοις καὶ τῇ τάξει πρότερα λαμβάνηται· οἷά ἐστι ταυτί.

Αὖ ἔρυσαν μὲν πρῶτα, καὶ ἔσφαξαν, καὶ ἔδειραν. καὶ·

Λίγξε βιός, νευρὴ δὲ μέγ' ἴαχεν, ἆλτο δ' ὀϊστός. καὶ·

Σφαῖραν ἔπειτ' ἔῤῥιψε μετ' ἀμφίπολον βασιλεία,
Ἀμφιπόλου μὲν ἄμαρτε, βαθείῃ δ' ἔμβαλε δίνῃ.

νὴ Δία, φαίη τις ἄν. ἔστι δὲ καὶ ἄλλα πολλὰ οὐχ οὕτω συντεταγμένα ποιήματα, οὐδὲν ἧττον, ἢ ταῦτα, καλά·

Πλῆξεν ἀνασχόμενος σχίζῃ δρυός, ἣν λίπε κείων.

πρότερον γὰρ δήπου τὸ ἐπαναπεῖνασθαί ἐστι τοῦ πλῆξαι. καὶ ἔτι·

Ἧλασεν ἄγχι σταὰς, πέλεκυς δ' ἀπέκοψε τένοντας Αὐχενίους.

πρῶτον γὰρ δή που προσῆκε τῷ μέλλοντι τὸν πέλεκυν ἐμβάλλειν εἰς τοὺς τένοντας ταῦ ταύρου, τὸ σπῆναι αὐτοῦ πλησίον. ἔτι πρὸς τούτοις καὶ ἠξίουν τὰ μὲν ὀνοματικὰ προτάττειν τῶν ἐπιθέτων· τὰ δὲ προσηγορικὰ, τῶν ὀνοματικῶν· τὰς δὲ ἀντωνυμίας, τῶν προσηγορικῶν· ἔν τε τοῖς ῥήμασι φυλάττειν, ἵνα τὰ ὀρθὰ τῶν ἐγκεκλιμένων ἡγῆται, καὶ τὰ παρεμφατικὰ τῶν ἀπαρεμφάτων, καὶ ἄλλα τοιαῦτα πολλά· πάντα δὲ ταῦτα διεσάλευσεν ἡ πεῖρα, καὶ τοῦ μηδενὸς ἄξια ἀπέφηνε. τοτὲ μὲν γὰρ ἐκ τούτων

Digitized by Google

ἐγίνετο καὶ τῶν ὁμοίων αὐτοῖς ἡδεῖα ἡ σύνθεσις καὶ καλή, τοτὲ δ' ἐκ τῶν μὴ τοιούτων, ἀλλ' ἐναντίων. διὰ ταῦτας μὲν δὴ τὰς αἰτίας τῆς θεωρίας ἀπέστην. ἐμνήσθην δ' αὐτῶν καὶ νῦν, οὐχ ὡς σπουδῆς ἀξίων· καὶ τὰς διαλεκτικὰς παρεθέμην τέχνας, οὐχ ὡς ἀναγκαίας, ἀλλ' ἵνα μηδεὶς δοκῶν ἔχειν τι αὐτὰς χρήσιμον εἰς τὴν παροῦσαν θεωρίαν, περὶ πολλοῦ ποιῆται εἰδέναι, θηρευθεὶς ταῖς ἐπιγραφαῖς τῶν πραγματειῶν ὁμοιότητά τινα ἐχούσαις, καὶ τῇ δόξῃ τῶν συνταξαμένων αὐτάς.

Antiqui magnam structurae orationis curam habuerunt.

Ἐπάνειμι δ' ἐπὶ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν, ἀφ' ἧς εἰς ταῦτα ἐξέβην· ὅτι πολλὴ πρόνοια τοῖς ἀρχαίοις ἦν, καὶ ποιηταῖς καὶ συγγραφεῦσι, φιλοσόφοις τε καὶ ῥήτορσι, τῆς ἰδέας ταύτης· καὶ οὔτε τὰ ὀνόματα τοῖς ὀνόμασιν, οὔτε τὰ κῶλα τοῖς κώλοις, οὔτε τὰς περιόδους ἀλλήλαις εἰκῇ συνάπτειν ᾤοντο δεῖν· τέχνη δέ τις ἦν παρ' αὐτοῖς καὶ θεωρήματα, οἷς χρώμενοι συνετίθεσαν εὖ. τίνα δ' ἦν τὰ θεωρήματα ταῦτα, πειράσομαι διδάσκειν, ὡς ἂν οἷός τ' ὦ, ὅσα μοι δύναμις ἐγένετο συνεξευρεῖν· οὐχ ἅπαντα λέγω, ἀλλ' αὐτὰ τὰ ἀναγκαιότατα.

Tria esse, quae ad facultatem struendae orationis potissimum spectant. Vocum qualis connexio.

VI. Δοκεῖ μοι τῆς συνθετικῆς ἐπιστήμης τρία ἔργα εἶναι· ἓν μέν, ἰδεῖν, τί μετὰ τίνος ἁρμοττόμε-

Digitized by Google

χον πέφυκε καλὴν καὶ ἡδεῖαν λήψεσθαι συζυγίαν· ἕτερον δὲ, γνῶναι τῶν ἁρμόττεσθαι μελλόντων πρὸς ἄλληλα, πῶς ἂν ἕκαστον σχηματισθὲν κρείττονα φαίνεσθαι ποιήσειε τὴν ἁρμονίαν· τρίτον δ', εἴ τι δεῖται μετασκευῆς τῶν λαμβανομένων, ἀφαιρέσεως λέγω καὶ προσθήκης καὶ ἀλλοιώσεως, γνῶναί τέ πως καὶ πρὸς τὴν μέλλουσαν χρείαν οἰκείως ἐξεργάσασθαι. τί δὲ τούτων ἕκαστον δύναται, σαφέστερον ἐρῶ, χρησάμενος εἰκόσι τῶν δημιουργικῶν τε τεχνῶν τισιν, ἃς ἅπαντες ἴσασιν· οἰκοδομικῇ λέγω καὶ ναυπηγικῇ, καὶ ταῖς παραπλησίαις. ὅ τε γὰρ οἰκοδόμος ὅταν πορίσηται τὴν ὕλην, ἐξ ἧς μέλλει κατασκευάζειν τὴν οἰκίαν, λίθους, καὶ ξύλα, καὶ κέραμον, καὶ τἄλλα πάντα, συντίθησιν ἐκ τούτων ἤδη τὸ ἔργον, τρία ταῦτα πραγματευόμενος, ποίῳ δεῖ λίθῳ τε καὶ ξύλῳ καὶ πλίνθῳ ποῖον ἁρμόσαι λίθον, ἢ ξύλον, ἢ πλίνθον· ἔπειτα, πῶς τῶν ἁρμοζομένων ἕκαστον καὶ ἐπὶ ποίας πλευρᾶς ἑδρᾶσαι· καὶ τρίτον, εἴ τι δύσεδρόν ἐστιν, ἀποκροῦσαι καὶ περικόψαι, καὶ αὐτὸ τοῦτο εὔεδρον ποιῆσαι. ὅ τε ναυπηγὸς τὰ αὐτὰ ταῦτα πραγματεύεται δή. παραπλήσιά φημι δεῖν ποιεῖν καὶ τοὺς μέλλοντας εὖ συνθήσειν τὰ τοῦ λόγου μόρια. πρῶτον μὲν σκοπεῖν, ποῖον ὄνομα, ἢ ῥῆμα, ἢ τῶν ἄλλων τι μορίων, ποίῳ συνταχθὲν ἐπιτηδείως ἔσται κείμενον, καὶ πῶς οὐκ ἄμεινον· οὐ γὰρ δὴ πάντα γε μετὰ πάντων τιθέμενα ὁμοίως πέφυκεν διατιθέναι τὰς ἀκοάς· ἔπειτα διακρίνειν, πῶς σχηματισθὲν τοὔνομα, ἢ τὸ ῥῆμα, ἢ τῶν ἄλλων ἑκαστοῦ, χαριέστερον ἁρμοσθήσεται· καὶ πρὸς τὰ

Digitized by Google

ὑποκείμενα πρεπωδέστερον. λέγω δ' ἐπὶ μὲν τῶν ὀνομάτων, πότερον ἐνικῶς, ἢ πληθυντικῶς, λαμβανόμενα κρείττω λήψεται συζυγίαν· καὶ πότερον κατὰ τὴν ὀρθὴν ἐκφερόμενα πτῶσιν, ἢ κατὰ τῶν πλαγίων τινά· καὶ εἴ τινα πέφυκεν ἐξ ἀρσενικῶν γίνεσθαι θηλυκά, ἢ ἐκ θηλυκῶν ἀρσενικά, ἢ οὐδέτερα, ἐκ τούτων πῶς ἂν ἄμεινον σχηματισθείη, καὶ πάντα τὰ τοιαῦτα. ἐπὶ δὲ τῶν ῥημάτων, πότερα κρείττονα ἔσται λαμβανόμενα, τὰ ὀρθά, ἢ τὰ ὕπτια· καὶ κατὰ ποίας ἐγκλίσεις ἐκφερόμενα, ἃς δή τινες πτώσεις ῥηματικὰς καλοῦσι, κρατίστην ἕδραν λήψεται· καὶ ποίας παρεμφαίνοντα διαφορὰς χρόνων, καὶ εἴ τινα τοῖς ῥήμασιν ἄλλα παρακολουθεῖν πέφυκε. τὰ δ' αὐτὰ ταῦτα καὶ ἐπὶ τῶν ἄλλων τοῦ λόγου μερῶν φυλακτέον, ἵνα μὴ καθ' ἓν ἕκαστον λέγω. ἐπὶ δὲ τούτοις τὰ ληφθέντα διακρίνειν, εἴ τι δεῖ μεταskευῆς ὄνομα, ἢ ῥῆμα, ὡς ἂν ἐναρμονιώτερον τε καὶ εὐεδρότερον γένοιτο. τοῦτο τὸ στοιχεῖον ἐν μὲν ποιητικῇ θαψιλέστερόν ἐστιν, ἐν δὲ λόγοις πεζοῖς σπανιώτερον γίνεταί τε, καὶ ἐν τούτοις, ἐφ' ὁπόσον ἂν ἐγχωρῇ. ὅ τε γὰρ λέγων· „Εἰς τουτονὶ τὸν ἀγῶ„να·" προστέθεικέ τι τῇ ἀντωνυμίᾳ γράμμα, τῆς συνθέσεως στοχαζόμενος. ἄρτιον γὰρ ἦν· „Εἰς „τοῦτον τὸν ἀγῶνα·" εἰπεῖν. καὶ πάλιν ὁ λέγων· „Κατιδὼν Νεοπτόλεμον τὸν ὑποκριτήν·" τῇ προθέσει παρηύξησε τοὔνομα· τὸ γὰρ Ἰδὼν ἀπέχρη. ὅ τε γράφων· „Μήτ' ἰδίας ἔχθρας μηδεμιᾶς ἕνεκ' „ἦκειν·" ταῖς συναλοιφαῖς ἠλάττωκε μόρια τοῦ λόγου. καὶ παρακέκραυκέ τινα τῶν γραμμάτων, καὶ

Digitized by Google

τὸ Ἐποίησεν ἀντὶ τοῦ Ἐποίησε λέγων χαρὶς τοῦ ν· καὶ Ἔγραψε ἀντὶ τοῦ Ἔγραψεν λέγων· καὶ Ἀφαιρήσομαι ἀντὶ τοῦ Ἀφαιρεθήσομαι, καὶ πάντα τὰ τοιαῦτα· ὅ τε Χωροφιλῆσαι λέγων τὸ Φιλοχωρῆσαι, καὶ Λελύσεται λέγων τὸ Λυθήσεται, καὶ τὰ τοιουτότροπα, μετασκευάζει τὰς λέξεις, ἵν' αὐτῷ γένοιντο ἁρμοσθεῖσαι καλλίους καὶ ἐπιτηδειότεραι.

Membrorum quae sit structura.

VII. Μία μὲν δὴ θεωρία τῆς συνθετικῆς ἐπιστήμης ἡ περὶ αὐτὰ τὰ πρῶτα μόρια καὶ στοιχεῖα τῆς λέξεως· ἑτέρα δὲ, ὥσπερ καὶ κατ' ἀρχὰς ἔφαμεν, ἡ περὶ τὰ καλούμενα κῶλα, ποικιλοτέρας τε δεομένη πραγματείας καὶ μείζονος· ὑπὲρ ἧς αὐτίκα δὴ πειράσομαι λέγειν ὡς ἔχω γνώμης. καὶ γὰρ ταῦτα ἁρμόσαι πρὸς ἄλληλα δεῖ, ὡς οἰκεῖα φαίνεσθαι, καὶ φίλα· καὶ σχηματίσαι ὡς ἂν ἐνδέχηται κράτιστα, προσκατασκευάσαι τ', εἴ που τι δέοι, μειώσει καὶ πλεονασμῷ, καὶ εἰ δή τιν' ἄλλην κατασκευὴν δέχεται τὰ κῶλα. τούτων δὲ ἕκαστον ἡ πεῖρα αὐτὴ διδάσκει. πολλάκις γὰρ τουτὶ μὲν τὸ κῶλον τούτου προιεθὲν, ἢ ἐπὶ τούτῳ τεθὲν, εὐστομίαν τινὰ ἐμφαίνει καὶ σεμνότητα· ἑτέραν δέ τινα συζυγίαν λαβὸν, ἄχαρι φαίνεται καὶ ἄσεμνον· ὃ δὲ λέγω, σαφέστερον ἔσται, εἴ τις αὐτὸ ἐπὶ παραδείγματος ἴδοι. ἔστι δή τις παρὰ τῷ Θουκυδίδῃ λέξις ἐν τῇ Πλαταιέων δημηγορίᾳ πάνυ χαριέντως συγκειμένη καὶ μεστὴ πάθους, ἥδε· „Ὑμεῖς τ', ὦ Λακεδαιμόνιοι, „ἡ μόνη ἐλπὶς, δέδιμεν, μὴ οὐ βέβαιοι ἦτε." φέρε

Digitized by Google

δή τις λύσας τὴν συζυγίαν ταύτην, μεθαρμοσάτω τὰ κῶλα οὕτως· „Ὑμεῖς τε, ὦ Λακεδαιμόνιοι, δέ„διμεν, μὴ οὐ βέβαιοι ἦτε, ἡ μόνη ἐλπίς.“ ἆρ' ἔτι μένει, τοῦτον τὸν τρόπον ἡρμοσμένων τῶν κώλων, ἡ αὐτὴ χάρις, ἢ τὸ αὐτὸ πάθος; οὐδεὶς ἂν εἴποι. τί δαὶ εἰ τὴν Δημοσθένους λέξιν ταύτην; „Τὸ λαβεῖν οὖν τὰ διδόμενα ὁμολογῶν ἔννομον „εἶναι, τὸ τούτων χάριν ἀποδοῦναι, παρανόμων „γράφῃ;“ εἰ λύσας τις, καὶ μεταθεὶς τὰ κῶλα, τοῦτον τὸν τρόπον ἐξενέγκαι· „Ὁμολογῶν οὖν ἔν„νομον εἶναι τὸ λαβεῖν τὰ διδόμενα, παρανόμων „γράφῃ τὸ τούτων χάριν ἀποδοῦναι.“ ἆρ' ὁμοίως ἔσται δικανικὴ καὶ στρογγύλη; ἐγὼ μὲν οὐκ οἶμαι.

Membrorum ac dictionis conformatio.

VIII. Ἡ μὲν δὴ περὶ τὴν ἁρμογὴν τῶν κώλων θεωρία τοιαύτη· ἡ δὲ περὶ τὸν σχηματισμὸν ποταπή; οὐκ ἔστιν εἷς τρόπος τῆς ἐκφορᾶς τῶν νοημάτων, ἀλλὰ τὰ μὲν ὡς ἀποφαινόμενοι λέγομεν, τὰ δὲ ὡς διαποροῦντες, τὰ δὲ ὡς πυνθανόμενοι, τὰ δὲ ὡς εὐχόμενοι, τὰ δὲ ὡς ἐπιτάττοντες, τὰ δὲ ὡς ὑποτιθέμενοι, τὰ δ' ἄλλως πως σχηματίζοντες· οἷς ἀκολούθως καὶ τὴν λέξιν πειρώμεθα σχηματίζειν. πολλοὶ δὲ δή που σχηματισμοὶ καὶ τῆς λέξεώς εἰσιν, ὥσπερ καὶ τῆς διανοίας· οὓς οὐχ οἷόν τε κεφαλαιωδῶς περιλαβεῖν· ἴσως δὲ καὶ ἄπειροι, περὶ ὧν πολὺς ὁ λόγος, καὶ βαθεῖα ἡ θεωρία. οὐ δὴ τὸ αὐτὸ δύναται ποιεῖν τὸ αὐτὸ κῶλον οὕτω σχηματισθέν,

Digitized by Google

ἢ οὕτως. ἐρῶ δ' ἐπὶ παραδείγματος. εἰ τοῦτον ἐξήνεγκε τὸν τρόπον ὁ Δημοσθένης τὴν λέξιν ταύτην· „Ταῦτα εἰπὼν ἔγραψα, γράψας δ' ἐπρέσβευσα, „πρεσβεύσας δ' ἔπεισα Θηβαίους." ἆρ' οὕτως ἂν συνέκειτο χαριέντως, ὡς νῦν σύγκειται; „Καὶ οὐκ „εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ· οὐδ' ἔγραψα „μὲν, οὐκ ἐπρέσβευσα δέ· οὐδ' ἐπρέσβευσα μέν, „οὐκ ἔπεισα δὲ Θηβαίους." πολὺς ἂν εἴη μοι λόγος, εἰ περὶ πάντων βουλοίμην λέγειν τῶν σχηματισμῶν, ὅσους τὰ κῶλα ἐπιδέχεται. ἀπόχρη δ' εἰσαγωγῆς ἕνεκα τοσαῦτα εἰρῆσθαι.

Membrorum ornatus.

IX. Ἀλλὰ μὴν ὅτι γε καὶ μετασκευὰς δέχεται τῶν κώλων ἔνια, τοτὲ μὲν προσθήκας λαμβάνοντα οὐκ ἀναγκαίας ὡς πρὸς τὸν νοῦν, τοτὲ δ' ἀφαιρέσεις ἀτελῆ ποιούσας τὴν διάνοιαν· ἃς οὐκ ἄλλου τινὸς ἕνεκα ποιοῦσι ποιηταί τε καὶ συγγραφεῖς, ἢ τῆς ἁρμονίας, ἵν' ἡδεῖα καὶ καλὴ γένοιτο· πάνυ ὀλίγου δεῖν οἶομαι λόγου. τίς γὰρ οὐκ ἂν ὁμολογήσαι, τήνδε τὴν λέξιν, ἣν ὁ Δημοσθένης εἴρηκε, προσθήκῃ πλεονάζειν οὐκ ἀναγκαίᾳ τῆς ἁρμονίας ἕνεκα; „Ὃ γὰρ οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα πράττων καὶ „κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μή- „πω βάλλῃ, μηδὲ τοξεύῃ." βραχύτερον τοῦ δέοντος ὂν καὶ οὐχ ἡδὺ ἀκουσθῆναι, τῇ προσθήκῃ ταύτῃ γεγένηται χαριέστερον. καὶ ἔτι τὴν Πλατωνικὴν ἐκείνην περίοδον, ἣν ἐν τῷ ἐπιταφίῳ ὁ ἀνὴρ γράφει, τίς οὐκ ἂν φαίη παραπληρώματι λέ-

Digitized by Google

ξεως οὐκ ἀναγκαίῳ προσηρανίσθαι; „Ἔργων γὰρ „εὖ πραχθέντων λόγῳ καλῶς ῥηθέντι μνήμη καὶ „κόσμος γίνεται τοῖς πράξασι παρὰ τῶν ἀκουσάν„των.“ πρὸς οὐδὲν ἀναγκαῖον λέγεται, ἀλλ' ἵνα τὸ τελευταῖον κῶλον τῷ· Τοῖς πράξασι· πάρισόν τε καὶ ἐφάμιλλον τοῖς πρὸ αὐτοῦ γένηται. τί δὲ δὴ τὸ παρ' Αἰσχίνῃ λεγόμενον τουτί; „Ἐπὶ σαυτὸν „καλεῖς; ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ τὴν δημοκρα„τίαν καλεῖς.“ τρίκωλον ἐν τοῖς πάνυ ἐπαινουμένον, οὐχὶ τῆς αὐτῆς ἰδέας ἔχεται; ὃ γὰρ οἷόν τ' ἦν ἑνὶ κώλῳ περιληφθῆναι τόνδε τὸν τρόπον· „Ἐπὶ „σεαυτὸν καὶ τοὺς νόμους καὶ τὴν δημοκρατίαν „καλεῖς·“ τοῦτο εἰς τρία διῄρηται, τῆς αὐτῆς λέξεως, οὐ τοῦ ἀναγκαίου ἕνεκα, τοῦ δὲ ἡδίω ποιῆσαι τὴν ἁρμονίαν, πολλάκις τεθείσης, καὶ πρόσεστι πάθος τῷ λόγῳ. τῆς μὲν δὴ προσθέσεως, ἣ γίνεται τοῖς κώλοις, οὗτος ὁ τρόπος· τῆς δ' ἀφαιρέσεως τίς; ὅταν τῶν ἀναγκαίων τι λέγεσθαι λυπεῖν μέλλῃ καὶ διοχλεῖν τὴν ἀκρόασιν, ἀφαιρεθὲν δὲ χαριεστέραν ποιεῖν τὴν ἑρμηνείαν· οἷάπερ ἐστὶν ἐν τοῖς μέτροις τὰ Σοφόκλεια ταυτί·

Μύω τε καὶ δέδορκα, κἀξανίσταμαι,
Πλεῖον φυλάσσων αὐτός, ἢ φυλάσσομαι.

ἐνταῦθα γὰρ ὁ δεύτερος στίχος ἐκ δυοῖν σύγκειται κώλων. τελεία γὰρ ἂν ἡ λέξις ἦν οὕτως ἐξενεχθεῖσα· „Πλέον φυλάσσων αὐτὸς ἑτέρους, ἢ φυλασσόμενος „ὑφ' ἑτέρων·“ τὸ δὲ μέτρον ἠδίκητο, καὶ οὐκ ἂν ἔσχεν ἦν νυνὶ χάριν ἔχει. ἐν δὲ τοῖς πεζοῖς λόγοις τὰ τοιαῦτα· „Ἐγὼ δ' ὅτι μέν τινων κατηγοροῦντα,

Digitized by Google

„πάντας ἀφαιρεῖσθαι τὴν ἀτέλειαν, τῶν ἀδίκων „ἐστὶν, ἑάσω.“ μεμείωται γὰρ καὶ ταῦθα τῶν δυοῖν κώλων ἑκάτερον· αὐτοτελὴ δ' ἂν ἦν, εἰ ταῦτα οὕτως ἐξήνεγκεν· „Ἐγὼ δ' ὅτι μέν τινων κατηγο„ροῦντα, ὡς οὐκ ἐπιτηδείων ἔχειν τὴν ἀτέλειαν, „πάντας ἀφαιρεῖσθαι καὶ τοὺς δικαίως αὐτῆς τυ„χόντας, τῶν ἀδίκων ἐστὶν, ἑάσω.“ ἀλλ' οὐκ ἐδόκει τῷ Δημοσθένει πλείονα ποιεῖσθαι λόγον τῆς ἀκριβείας τῶν κώλων, ἢ τῆς εὐρυθμίας.

Ταῦτα δ' εἰρήσθω μοι περὶ τῶν καλουμένων περιόδων· καὶ γὰρ ταύταις χρὴ ταῖς τε προηγουμέναις καὶ ταῖς ταύταις ἑπομέναις οἰκείως συναρμόττειν, ὅταν ἐν ταῖς περιόδοις προσήκῃ τὸν λόγον ἐκφέρειν. οὐ γὰρ πανταχῇ γε τὸ ἐμπερίοδον χρήσιμον. καὶ αὐτὸ δὲ τοῦτο τὸ θεώρημα τῆς συνθετικῆς ἐπιστήμης ἴδιον, πότε δεῖ χρῆσθαι περιόδοις, καὶ μέχρι πόσου, καὶ πότε μή.

Quae in compositione praecipue spectanda sint.

X. Διωρισμένων δή μοι τούτων, ἀκόλουθον ἂν εἴη τὸ λέγειν, τίνα ἐστὶν, ὧν δεῖ στοχάζεσθαι τὸν βουλόμενον συντιθέναι τὴν λέξιν εὖ, καὶ διὰ τίνων θεωρημάτων τυγχάνοι τις ἄν, ὧν βούλεται. δοκεῖ δέ μοι δύο ταῦτα εἶναι τελικώτατα, ὧν ἐφίεσθαι δεῖ τοὺς συντιθέντας εὖ μέτρα τε καὶ λόγους, ἥ τε ἡδονὴ καὶ τὸ καλόν. ἀμφότερα γὰρ ἐπιζητεῖ ταῦτα ἡ ἀκοὴ, ὅμοιόν τι πάσχουσα τῇ ὁράσει· καὶ γὰρ ἐκείνη πλάσματα, καὶ γραφὰς, καὶ γλυφὰς, καὶ ὅσα δημιουργήματα χειρῶν ἀνθρωπίνων ὁρῶσα,

Digitized by Google

ὅταν εὑρίσκῃ τὸ θ' ἡδὺ ἐνὸν αὐτοῖς καὶ τὸ καλὸν, ἀρκεῖται, καὶ οὐδὲν ἔτι ποθεῖ. καὶ μὴ παράδοξον ἡγήσηταί τις, εἰ δύο ποιῶ τέλη, καὶ χωρίζω τὸ καλὸν ἀπὸ τῆς ἡδονῆς· μηδὲ ἄτοπον εἶναι νομίσῃ, εἴ τινα ἡγοῦμαι λέξιν ἡδέως μὲν συγκεῖσθαι, μὴ καλῶς δὲ· ἢ καλῶς μὲν, οὐ μὴν καὶ ἡδέως· φέρει γὰρ ἡ ἀλήθεια τὸ τοιοῦτο, καὶ οὐδὲν ἀξιῶ καινόν. ἡ δέ τοι Θουκυδίδου λέξις, καὶ ἡ Ἀντιφῶντος τοῦ Ῥαμνουσίου, καλῶς μὲν σύγκειται, νὴ Δία, εἴπερ τινὲς καὶ ἄλλαι, οὐ μὴν ἡδέως γε πάνυ· ἡ δέ γε τοῦ Κνιδίου συγγραφέως Κτησίου, καὶ ἡ τοῦ Σωκρατικοῦ Ξενοφῶντος, ἡδέως μὲν, ὡς ἔνι μάλιστα, οὐ μὴν καλῶς γε, ἐφ' ὅσον ἔδει. λέγω δὲ κοινότερον, ἀλλ' οὐχὶ καθάπαξ· ἐπεὶ καὶ παρ' ἐκείναις ἥρμοσταί τινα ἡδέως, καὶ παρὰ τούτοις καλῶς. ἡ δὲ Ἡροδότου σύνθεσις ἀμφότερα ταῦτα ἔχει· καὶ γὰρ ἡδεῖά ἐστι καὶ καλή.

Quae suavem et pulchram orationem constituant.

XI. Ἐξ ὧν δὲ οἶομαι γενήσεσθαι λέξιν ἡδεῖαν καὶ καλὴν, τέτταρά ἐστι τὰ κυριώτατα καὶ κράτιστα, μέλος, καὶ ῥυθμὸς, καὶ μεταβολὴ, καὶ τὸ παρακολουθοῦν τοῖς τρισὶ τούτοις πρέπον. τάττω δὲ ὑπὸ μὲν τὴν ἡδονὴν, τὴν ὥραν, καὶ τὴν χάριν, καὶ τὴν εὐστομίαν, καὶ τὴν γλυκύτητα, καὶ τὸ πιθανὸν, καὶ πάντα τὰ τοιαῦτα· ὑπὸ δὲ τὸ καλὸν, τὴν μεγαλοπρέπειαν, καὶ τὸ βάρος, καὶ τὴν σεμνολογίαν, καὶ τὸ ἀξίωμα, καὶ τὸ πιθανὸν, καὶ τὰ τούτοις ὅμοια. ταυτὶ γάρ μοι δο-

Digitized by Google

κεῖ κυριώτατα εἶναι, καὶ ὥσπερεὶ κεφάλαια τῶν ἄλλων ἐν ἑκατέρῳ. ὧν μὲν οὖν στοχάζονται πάντες οἱ σπουδῇ γράφοντες μέτρον, ἢ μέλος, ἢ τὴν λεγομένην πεζὴν λέξιν, ταῦτ' ἐστί· καὶ οὐκ οἶδα, εἴ τι παρὰ ταῦθ' ἕτερον· οἱ δὲ πρωτεύσαντες ἐν ἑκατέρῳ τε καὶ ἐν ἀμφοτέροις, πολλοί τε καὶ ἀγαθοὶ ἄνδρες. παραδείγματα δ' ἀμφοῖν καθ' ἕκαστον φέρειν ἐν τῷ παράντι οὐκ ἐγχωρεῖ, ἵνα μὴ περὶ ταῦτα κατατρίψω τὸν λόγον· καὶ ἅμα εἴ τι λεχθῆναι περὶ τινος αὐτῶν καθήκει, καὶ δεήσει που μαρτυριῶν, ἕτερος αὐτοῖς ἔσται καιρὸς ἐπιτηδειότερος, ὅταν τοὺς χαρακτῆρας τῶν ἁρμονιῶν ὑπογράφω. νῦν δὲ ταῦτα εἰρῆσθαι περὶ αὐτῶν ἀπόχρη. ἐπάνειμι δὲ πάλιν ἐπὶ τὰς διαιρέσεις, ἃς ἐποιησάμην τῆς θ' ἡδείας συνθέσεως καὶ τῆς καλῆς, ἵνα μοι καθ' ὁδόν, ὡς φασι, χωρῇ ὁ λόγος.

Ἔφην δὲ, τὴν ἀκοὴν ἥδεσθαι πρώτοις μὲν τοῖς μέλεσιν, ἔπειτα τοῖς ῥυθμοῖς, τρίτον ταῖς μεταβολαῖς· ἐπὶ δὲ τούτοις ἅπασι τῷ πρέποντι. ὅτι δ' ἀληθῆ λέγω, τὴν πεῖραν αὐτὴν παρέξομαι μάρτυρα, ἣν οὐχ οἷόν τε διαβάλλειν τοῖς κοινοῖς πάθεσιν ὁμολογουμένην. τίς γάρ ἐστιν, ὃς οὐχ ὑπὸ μὲν ταύτης τῆς μελῳδίας ἄγεται καὶ γοητεύεται, ὑφ' ἑτέρας δέ τινος οὐδὲν πάσχει τοιοῦτον; καὶ ὑπὸ μὲν τούτων τῶν ῥυθμῶν οἰκειοῦται, ὑπὸ δὲ τούτων διοχλεῖται; ἤδη δ' ἔγωγε καὶ ἐν τοῖς πολυανθρωποτάτοις θεάτροις, ἃ συμπληροῖ παντοδαπὸς καὶ ἄμουσος ὄχλος, ἔδοξα καταμαθεῖν, ὡς φυσική τις ἐστὶν ἁπάντων ἡμῶν οἰκειότης πρὸς εὐμέλειάν τε

Digitized by Google

καὶ εὐρυθμίαν, κιθαριστήν τ' ἀγαθὸν, σφόδρα εὐδοκιμοῦντα, ἰδὼν θορυβηθέντα ὑπὸ τοῦ πλήθους, ὅτι μίαν χορδὴν ἀσύμφωνον ἔκρουσε, καὶ ἔφθειρε τὸ μέλος· καὶ αὐλητὴν, μετὰ τῆς ἄκρας ἐξίως χρώμενον τοῖς ὀργάνοις, καὶ αὐτὸ τοῦτο παθόντας, ὅτι ἀσύμφωνον ἐμπνεύσας, ἢ μὴ πιέσας τὸ στόμα, θρυλίγμὸν, ἢ τὴν καλουμένην ἐκμέλειαν, ηὔλησε. καίτοι εἴ τις κελεύσειε τὸν ἰδιώτην τούτων τι, ὧν ἐνεκάλει τοῖς τεχνίταις ὡς ἡμαρτημένων, αὐτὸν ποιῆσαι λαβόντα τὰ ὄργανα, οὐκ ἂν δύναιτο. τί δή ποτε; ὅτι τοῦτο μὲν ἐπιστήμης ἐστὶν, ἧς οὐ πάντες μετειλήφαμεν· ἐκεῖνο δὲ πάθους, ὃ πᾶσιν ἀπέδωκεν ἡ φύσις.

Τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν ῥυθμῶν γινόμενον ἐθεασάμην, ἅμα πάντας ἀγανακτοῦντας καὶ δυσαρεστουμένους, ὅτε τις ἢ κροῦσιν, ἢ κίνησιν, ἢ φωνὴν, ἐν ἀσυμμέτροις ποιήσαιτο χρόνοις, καὶ τοὺς ῥυθμοὺς ἀφανίσειεν. καὶ οὐχὶ τὰ μὲν εὐμελῆ καὶ εὔρυθμα ἡδονῆς μεστά ἐστι, καὶ πάντες ὑπ' αὐτῶν κηλούμεθα· αἱ μεταβολαὶ δὲ καὶ τὸ πρέπον οὐκ ἔχουσι τὴν αὐτὴν ὥραν καὶ χάριν, οὐδ' ὑπὸ πάντων ὁμοίως διακούονται. ἀλλὰ κἀκεῖνα πάνυ κηλεῖ πάντας ἡμᾶς κατορθούμενα, καὶ εἰς πολλὴν ὄχλησιν ἄγει ἁμαρτανόμενα· τίς γὰρ οὐκ ἂν ὁμολογήσειε; τεκμαίρομαι δὲ, ὅτι καὶ τῆς ὀργανικῆς μούσης, καὶ τῆς ἐν ᾠδαῖς γοητείας, καὶ τῆς ἐν ὀρχήσει χάριτος ἐν ἅπασι διεστοχούσης, μεταβολὰς δὲ μὴ ποιησαμένης εὐκαίρους, ἢ τοῦ πρέποντος ἀποπλαγηθείσης, βαρὺς μὲν ὁ κόρος, ἀηδὲς δὲ τὸ μὴ

Digitized by Google

τοῖς ὑποκειμένοις ἁρμόττον ἐφάνη. καὶ οὕτω ἀλλοτρίᾳ κέχρημαι τοῦ πράγματος εἰκόνι. μουσικὴ γάρ τις ἦν καὶ ἡ τῶν πολιτικῶν λόγων ἐπιστήμη, τῷ ποσῷ διαλλάττουσα τῆς ἐν ᾠδαῖς καὶ ὀργάνοις, οὐχὶ τῷ ποιῷ. καὶ γὰρ ἐν ταύτῃ καὶ μέλος ἔχουσιν αἱ λέξεις, καὶ ῥυθμόν, καὶ μεταβολὴν, καὶ πρέπον· ὥστε καὶ ἐπὶ ταύτης ἡ ἀκοὴ τέρπεται μὲν τοῖς μέλεσιν, ἄγεται δὲ τοῖς ῥυθμοῖς, ἀσπάζεται δὲ τὰς μεταβολάς, ποθεῖ δ' ἐπὶ πάντων τὸ οἰκεῖον· ἡ δὲ διαλλαγὴ κατὰ τὸ μᾶλλον καὶ ἧττον.

Διαλέκτου μὲν οὖν μέλος ἐνὶ μετρεῖται διαστήματι τῷ λεγομένῳ Διὰ πέντε, ὡς ἔγγιστα· καὶ οὔτε ἐπιτείνεται πέρα τῶν τριῶν τόνων καὶ ἡμιτονίου ἐπὶ τὸ ὀξύ, οὔτε ἀνίεται τοῦ χωρίου τούτου πλεῖον ἐπὶ τὸ βαρύ. οὐ μὴν ἅπασά γε ἡ λέξις ἡ καθ' ἓν μόριον λόγου τασσομένη τῆς αὐτῆς λέγεται τάσεως· ἀλλ' ἡ μὲν ἐπὶ τῆς ὀξείας, ἡ δ' ἐπὶ τῆς βαρείας, ἡ δ' ἐπ' ἀμφοῖν. τῶν δ' ἀμφοτέρας τὰς τάσεις ἐχουσῶν αἱ μὲν κατὰ μίαν συλλαβὴν συνεφθαρμένον ἔχουσι τῷ ὀξεῖ τὸ βαρύ, ἃς δὴ περισπωμένας καλοῦμεν· αἱ δὲ ἐν ἑτέρᾳ τε καὶ ἑτέρᾳ χωρὶς ἑκάτερον ἐφ' ἑαυτοῦ τὴν οἰκείαν φυλάττον φύσιν. καὶ ταῖς μὲν δισυλλάβοις οὐδὲν τὸ διὰ μέσου χωρίον βαρύτητος καὶ ὀξύτητος· ταῖς δὲ πολυσυλλάβοις, οἵαι ποτ' ἂν ὦσιν, ἢ τὸν ὀξὺν τόνον ἔχουσα μία ἐν πολλαῖς βαρείαις ἔνεστιν. ἡ δ' ὀργανική τε καὶ ᾠδικὴ μοῦσα διαστήμασί τε χρῆται πλείοσιν, οὐ τῷ διὰ πέντε μόνον, ἀλλ' ἀπὸ τοῦ διὰ πασῶν ἀρξαμένη, καὶ τὸ διὰ πέντε μελῳδεῖ, καὶ τὸ διὰ τεσσάρων,

Digitized by Google

καὶ τὸ διάτονον, καὶ τὸ ἡμιτόνιον, ὃς δέ τινες οἴονται, καὶ τὴν δίεσιν αἰσθητῶς. τάς τε λέξεις τοῖς μέλεσιν ὑποτάττειν ἀξιοῖ, καὶ οὐ τὰ μέλη ταῖς λέξεσιν, ὡς ἐξ ἄλλων τε πολλῶν δῆλον, καὶ μάλιστα τῶν Εὐριπίδου μελῶν, ἃ πεποίηκε τὴν Ἠλέκτραν λέγουσαν ἐν Ὀρέστῃ πρὸς τὸν χορόν·

Σίγα, σίγα, λευκὸν ἴχνος ἀρβύλης
Τιθεῖτε, μὴ κτυπεῖτε. —
Ἀποπρόβατ' ἐκεῖσ' ἀπόπροθι κοίτας.

ἐν γὰρ δὴ τούτοις τὸ „Σίγα, σίγα, λευκὸν“ ἐφ' ἑνὸς φθόγγου μελῳδεῖται, καίτοι τῶν τριῶν λέξεων ἑκάστη βαρείας τε τάσεις ἔχει καὶ ὀξείας. καὶ τὸ „Ἀρβύλης“ ἐπὶ μέσῃ συλλαβῇ τὴν τρίτην ὁμότονον ἔχει, ἀμηχάνου ὄντος ἓν ὄνομα δύο λαβεῖν ὀξείας. καὶ τοῦ „Τιθεῖτε“ βαρυτέρα μὲν ἡ πρώτη γίνεται, δύο δὲ μετ' αὐτὴν ὀξύτονοί τε καὶ ὁμόφωνοι. τοῦ „Κτυπεῖτε“ ὁ περισπασμὸς ἠφάνισται· μιᾷ γὰρ αἱ δύο συλλαβαὶ λέγονται τάσει. καὶ τὸ „Ἀποπρόβατ'“ οὐ λαμβάνει τὴν τῆς μέσης συλλαβῆς προσῳδίαν ὀξεῖαν, ἀλλ' ἐπὶ τὴν τετάρτην συλλαβὴν καταβέβηκεν ἡ τάσις τῆς τρίτης. τὸ δ' αὐτὸ γίνεται καὶ περὶ τοὺς ῥυθμούς. ἡ μὲν γὰρ πεζὴ λέξις οὐδενὸς οὔτ' ὀνόματος, οὔτε ῥήματος, βιάζεται τοὺς χρόνους, οὐδὲ μετατίθησιν· ἀλλ' οἵας παρείληφε τῇ φύσει τὰς συλλαβὰς τάς τε μακρὰς καὶ τὰς βραχείας, τοιαύτας φυλάττει. ἡ δὲ ῥυθμικὴ καὶ μουσικὴ μεταβάλλουσιν αὐτὰς μειοῦσαι καὶ αὔξουσαι, ὥστε πολλάκις εἰς τἀναντία μεταχωρεῖν· οὐ γὰρ ταῖς συλλαβαῖς ἀπευθύνουσι τοὺς χρόνους, ἀλλὰ τοῖς χρόνοις τὰς συλλαβάς.

Digitized by Google

δεδειγμένης δὴ τῆς διαφορᾶς, ἣ διαφέρει μουσικὴ λογικῆς, λοιπὸν ἂν εἴη κἀκεῖνα λέγειν, ὅτι τὸ μὲν τῆς φωνῆς μέλος, λέγω δ' οὐ τῆς ᾠδικῆς, ἀλλὰ τῆς ψιλῆς, κἂν ἡδέως διατιθῇ τὴν ἀκοήν, εὐμελὲς λέγοιτ' ἄν, ἀλλ' οὐκ ἔμμελές· ἡ δ' ἐν τοῖς χρόνοις τῶν μορίων συμμετριάζουσα τὸ μελικὸν σχῆμα, εὔρυθμος, ἀλλ' οὐκ ἔνρυθμος. πῇ δὲ διαφέρουσιν ἀλλήλων, ταῦτα κατὰ τὸν οἰκεῖον καιρὸν ἐρῶ· νυνὶ δὲ τὰ ἀκόλουθα ἀποδοῦναι πειράσομαι, πῶς ἂν γένοιτο λέξις πολιτικὴ παρὰ τὴν σύνθεσιν, ἡδύνουσα τὴν ἀκρόασιν, κατά τε τὰ μέλη τῶν φθόγγων, καὶ κατὰ τὰς συμμετρίας τῶν ῥυθμῶν, καὶ κατὰ τὰς ποικιλίας τῶν μεταβολῶν, καὶ κατὰ τὸ πρέπον τοῖς ὑποκειμένοις· ἐπειδὴ ταῦτα ὑπεθέμην τὰ κεφάλαια.

Qua compositione oratio civilis audientibus grata sit et iucunda.

XII. Οὐχ ἅπαντα πέφυκε τὰ μέρη τῆς λέξεως ὁμοίως διατιθέναι τὴν ἀκοήν, ὥσπερ οὐδὲ τὴν ὁρατικὴν αἴσθησιν τὰ ὁρατὰ πάντα, οὐδὲ τὴν γευστικὴν τὰ γευστά, οὐδὲ τὰς ἄλλας αἰσθήσεις τὰ κινοῦντα ἑκάστην· ἀλλὰ καὶ γλυκαίνουσί τινες αὐτὴν ἦχοι καὶ πικραίνουσι, καὶ τραχύνουσι καὶ λεαίνουσι, καὶ πολλὰ ἄλλα πάθη ποιοῦσι περὶ αὐτήν. αἰτία δὲ ἥ τε τῶν γραμμάτων φύσις, ἐξ ὧν ἡ φωνὴ συνέστηκε, πολλὰς καὶ διαφόρους ἔχουσα δυνάμεις, καὶ ἡ τῶν συλλαβῶν πλοκὴ παντοδαπῶς σχηματιζομένη. τοιαύτην δὴ δύναμιν ἐχόντων τῶν τῆς λέξεως μο-

Digitized by Google

ρίων, ἐπειδὴ μεταθεῖναι τὴν ἑκάστου φύσιν οὐχ οἷόν τε, λείπεται τῇ μίξει καὶ κράσει καὶ παραθέσει συγκρύψαι τὴν παρακολουθοῦσαν αὐτῶν τισιν ἀτοπίαν, τραχέσι λεῖα μίσγοντα, καὶ σκληροῖς μαλακά, καὶ κακοφώνοις εὔφωνα, καὶ δυσεκφόροις εὐπρόφορα, καὶ βραχέσι μακρά, καὶ τἆλλα τὸν αὐτὸν τρόπον εὐκαίρως συντιθέντα, καὶ μήτ' ὀλιγοσύλλαβα πολλὰ ἐξῆς λαμβάνοντα· κόπτεται γὰρ ἡ ἀκρόασις· μήτε πολυσύλλαβα πλείω τῶν ἑκανῶν, μηδὲ δὴ ὁμοιότονα παρ' ὁμοιοτόνοις, μηδ' ὁμοίχρονα παρ' ὁμοιοχρόνοις. χρὴ δὲ καὶ τὰς πτώσεις τῶν ὀνομάτων ταχὺ μεταλαμβάνειν· μιμνυόμεναι γὰρ ἔξω τοῦ μετρίου πάνυ προσίστανται ταῖς ἀκοαῖς· καὶ τὴν ὁμοιότητα διαλύειν συνεχῶς, ἀκουσάτων τινῶν ἐξῆς τιθεμένων πολλῶν ῥημάτων, καὶ τῶν ἄλλων μερῶν, τὸν κόρον φυλαττόμενον· σχήμασί τε μὴ τοῖς αὐτοῖς διαμένειν, ἀλλὰ θαμινὰ μεταβάλλειν· καὶ τρόπους μὴ τοὺς αὐτοὺς ἐπεισφέρειν, ἄλλα ποικίλλειν· μηδὲ δὴ ἄρχεσθαι πολλάκις ἀπὸ τῶν αὐτῶν, μηδὲ λήγειν εἰς τὰ αὐτὰ, ὑπερτείνοντα τὸν ἐπαΐοντος καιρόν.

Καὶ μηθεὶς οἰηθῇ με καθάπαξ ταῦτα παραγγέλλειν, ἐξ ἡδονῆς αἴτια διὰ παντὸς ἐσόμενα, ἢ τοὐναντίον ὀχλήσεως· οὐχ οὕτως ἀνόητός εἰμι· οἶδα γὰρ ἐξ ἀμφοῖν γινομένην πολλάκις ἡδονὴν, τοτὲ μὲν ἐκ τῶν ἀνομοίων, τοτὲ δ' ἐκ τῶν ὁμογενῶν· ἀλλ' ἐπὶ πάντων οἶμαι δεῖν τὸν καιρὸν ὁρᾶν· οὗτος γὰρ ἡδονῆς καὶ ἀηδίας κράτιστον μέτρον. καιροῦ δ' οὔτε ῥήτωρ οὐδεὶς, οὔτε φιλόσοφος, εἰς τόδε χρόνου τέχνην ἤρτηται· οὐδ', ὅσπερ πρῶτος ἐπεχείρησε περὶ

Digitized by Google

δεδειγμένης δὴ τῆς διαφορᾶς, ἣ διαφέρει μουσικὴ λογικῆς, λοιπὸν ἂν εἴη καὶκεῖνα λέγειν, ὅτι τὸ μὲν τῆς φωνῆς μέλος, λέγω δ' οὐ τῆς ᾠδικῆς, ἀλλὰ τῆς ψιλῆς, κἂν ἡδέως διατιθῇ τὴν ἀκοὴν, εὐμελὲς λέγοιτ' ἄν, ἀλλ' οὐκ ἔμμελές· ἡ δ' ἐν τοῖς χρόνοις τῶν μορίων συμμετριάζουσα τὸ μελικὸν σχῆμα, εὔρυθμος, ἀλλ' οὐκ ἔνρυθμος· πῇ δὲ διαφέρουσιν ἀλλήλων, ταῦτα κατὰ τὸν οἰκεῖον καιρὸν ἐρῶ· νυνὶ δὲ τὰ ἀκόλουθα ἀποδοῦναι πειράσομαι, πῶς ἂν γένοιτο λέξις πολιτικὴ παρὰ τὴν σύνθεσιν, ἡδύνουσα τὴν ἀκρόασιν, κατά τε τὰ μέλη τῶν φθόγγων, καὶ κατὰ τὰς συμμετρίας τῶν ῥυθμῶν, καὶ κατὰ τὰς ποικιλίας τῶν μεταβολῶν, καὶ κατὰ τὸ πρέπον τοῖς ὑποκειμένοις· ἐπειδὴ ταῦτα ὑπεθέμην τὰ κεφάλαια.

Qua compositione oratio civilis audientibus grata sit et iucunda.

XII. Οὐχ ἅπαντα πέφυκε τὰ μέρη τῆς λέξεως ὁμοίως διατιθέναι τὴν ἀκοὴν, ὥσπερ οὐδὲ τὴν ὁρατικὴν αἴσθησιν τὰ ὁρατὰ πάντα, οὐδὲ τὴν γευστικὴν τὰ γευστὰ, οὐδὲ τὰς ἄλλας αἰσθήσεις τὰ κινοῦντα ἑκάστην· ἀλλὰ καὶ γλυκαίνουσί τινες αὐτὴν ἦχοι καὶ πικραίνουσι, καὶ τραχύνουσι καὶ λειαίνουσι, καὶ πολλὰ ἄλλα πάθη ποιοῦσι περὶ αὐτήν. αἰτία δὲ ἡ τε τῶν γραμμάτων φύσις, ἐξ ὧν ἡ φωνὴ συνέστηκε, πολλὰς καὶ διαφόρους ἔχουσα δυνάμεις, καὶ ἡ τῶν συλλαβῶν πλοκὴ παντοδαπῶς σχηματιζομένη. τοιαύτην δὴ δύναμιν ἐχόντων τῶν τῆς λέξεως μο-

Digitized by Google

ρίων, ἐπειδὴ μεταθεῖναι τὴν ἑκάστου φύσιν οὐχ οἷόν τε, λείπεται τῇ μίξει καὶ κράσει καὶ παραθέσει συγκρύψαι τὴν παρακολουθοῦσαν αὐτῶν τισιν ἀτοπίαν, τραχέσι λεῖα μίσγοντα, καὶ σκληροῖς μαλακά, καὶ κακοφώνοις εὔφωνα, καὶ δυσεκφόροις εὐπρόφορα, καὶ βραχέσι μακρά, καὶ τἆλλα τὸν αὐτὸν τρόπον εὐκαίρως συντιθέντα, καὶ μήτ' ὀλιγοσύλλαβα πολλὰ ἑξῆς λαμβάνοντα· κόπτεται γὰρ ἡ ἀκρόασις· μήτε πολυσύλλαβα πλείω τῶν ἱκανῶν, μηδὲ δὴ ὁμοιότονα παρ' ὁμοιοτόνοις, μηδ' ὁμοιόχρονα παρ' ὁμοιοχρόνοις. χρὴ δὲ καὶ τὰς πτώσεις τῶν ὀνομάτων ταχὺ μεταλαμβάνειν· μιμνυόμεναι γὰρ ἔξω τοῦ μετρίου πάνυ προσίστανται τοῖς ἀκοαῖς· καὶ τὴν ὁμοιότητα διαλύειν συνεχῶς, ὀνομάτων τινῶν ἑξῆς τιθεμένων πολλῶν ῥημάτων, καὶ τῶν ἄλλων μερῶν, τὸν κόρον φυλαττόμενον· σχήμασί τε μὴ τοῖς αὐτοῖς διαμένειν, ἀλλὰ θαμινὰ μεταβάλλειν· καὶ τρόπους μὴ τοὺς αὐτοὺς ἐπεισφέρειν, ἄλλα ποικίλλειν· μηδὲ δὴ ἄρχεσθαι πολλάκις ἀπὸ τῶν αὐτῶν, μηδὲ λήγειν εἰς τὰ αὐτά, ὑπερτείνοντα τὸν ἁπαξίρου καιρόν.

Καὶ μηθεὶς οἰηθῇ με καθάπαξ ταῦτα παραγγέλλειν, ὡς ἡδονῆς αἴτια διὰ παντὸς ἐσόμενα, ἢ τοὐναντίον ὀχλήσεως· οὐχ οὕτως ἀνόητός εἰμι· οἶδα γὰρ ἐξ ἀμφοῖν γινομένην πολλάκις ἡδονήν, τοτὲ μὲν ἐκ τῶν ἀνομοίων, τοτὲ δ' ἐκ τῶν ὁμογενῶν· ἀλλ' ἐπὶ πάντων οἶμαι δεῖν τὸν καιρὸν ὁρᾶν· οὗτος γὰρ ἡδονῆς καὶ ἀηδίας κράτιστον μέτρον. καιροῦ δ' οὔτε ῥήτωρ οὐδείς, οὔτε φιλόσοφος, εἰς τόδε χρόνου τέχνην ὥρισεν· οὐδ' ὅσπερ πρῶτος ἐπεχείρησε περὶ

Digitized by Google

αὐτοῦ γράφειν Γοργίας ὁ Λεοντῖνος, οὐδ' ὅ τι λόγου ἄξιον ἔγραψεν· οὐδ' ἔχει φύσιν τὸ πρᾶγμα εἰς καθολικὴν καὶ ἔντεχνόν τινα παρίληψιν πεσεῖν· οὐδ' ὅλως ἐπιστήμη θηρατός ἐστιν ὁ καιρός, ἀλλὰ δόξῃ. ταύτην δ' οἱ μὲν ἐπὶ πολλῶν καὶ πολλάκις γυμνάσαντες, ἄμεινον τῶν ἄλλων εὑρίσκουσιν· οἱ δὲ ἀνάσκητον ἀφέντες, σπανιώτερον καὶ ὥσπερ ἐπὸ τύχης.

Ἵνα δὲ καὶ περὶ τῶν ἄλλων εἴπω, ταῦτ' οἶμαι χρῆναι φυλάττειν ἐν τῇ συνθέσει τὸν μέλλοντα διατίθεσειν τὴν ἀκοὴν ἡδέως· τὰ εὐμελῆ καὶ εὔρυθμα καὶ εὔφωνα ὀνόματα, ὑφ' ὧν γλυκαίνεταί τε καὶ μαλάττεται, καὶ τὸ ὅλον οἰκείως διατίθεται ἡ αἴσθησις, ταῦτ' ἀλλήλοις συναρμόττειν, ἢ τὰ μὴ τοιαύτην ἔχοντα φύσιν ἐγκαταπλέκειν τε καὶ συνυφαίνειν τοῖς δυναμένοις αὐτὴν γοητεύειν, ὥστε ὑπὸ τῆς ἐκείνων χάριτος ἐπισκοτεῖσθαι τὴν τούτων ἀηδίαν· οἷόν τι ποιοῦσιν οἱ φρόνιμοι στρατηλάται κατὰ τὰς τάξεις τῶν στρατευμάτων. καὶ γὰρ ἐκεῖνοι συγκρύπτουσι τοῖς ἰσχυροῖς τὰ ἄσθενῆ, καὶ γίνεται αὐτοῖς οὐδὲν τῆς δυνάμεως μέρος ἄχρηστον. διαναπαύειν τε καὶ τὴν ταχυτήτα φημι δεῖν, μεταβολὰς εὐκαίρους εἰσφέροντα· καὶ γὰρ ἡ μεταβολὴ παντὸς ἔργου χρῆμα ἡδύ. τελευταῖον δὲ, ὃ δὴ καὶ πάντων ἐστι κράτιστον, οἰκείαν ἀποδιδόναι τοῖς ὑποκειμένοις καὶ πρέπουσαν ἁρμονίαν. δυσωπεῖσθαι δ' οὐδὲν οἶμαι δεῖν, οὔτ' ὄνομα, οὔτε ῥῆμα, ὅ γ' ἐπιτέτραπται μὴ σὺν αἰσχύνῃ λέγεσθαι. οὐδὲν γὰρ οὕτω ταπεινὸν, ἢ ῥυπαρὸν, ἢ μιαρὸν, ἢ ἄλλην τινὰ δυσχέρειαν ἔχον ἔστεσθαί φημι λόγου μόριον, ᾧ ση-

Digitized by Google

μαίνεταί τι σῶμα, ἢ πρᾶγμα, ὃ μηδεμίαν ἕξει χώραν ἐπιτηδείαν ἐν λόγοις.

Παρακελεύομαι δ' ἐν τῇ συνθέσει πιστεύοντας ἀνδρείως πάνυ καὶ τεθαρρηκότως αὐτὰ ἐκφέρειν, Ὁμήρῳ τε παραδείγματι χρωμένους, παρ' ᾧ καὶ τὰ εὐτελέστατα κεῖται τῶν ὀνομάτων· καὶ Δημοσθένει, καὶ Ἡροδότῳ, καὶ τοῖς ἄλλοις, ὧν ὀλίγον ὕστερον μνησθήσομαι, καθ' ὅ τι ἂν ἁρμόττῃ περὶ ἑκάστου. ταῦτά μοι περὶ τῆς ἡδείας εἰρήσθω συνθέσεως, ὀλίγα μὲν ἀπὸ πολλῶν θεωρημάτων, ἱκανὰ δὲ, ὡς κεφάλαια εἶναι.

Quomodo pulchra efficiatur orationis membrorumque structura.

XIII. Καλὴ δὲ ἁρμονία πῶς γένοιτ' ἂν, εἴ τις ἔροιτο, ἢ ἐκ ποίων θεωρημάτων, οὐκ ἄλλως πως μὰ Δία φαίην ἄν, οὐδ' ἐξ ἄλλων τινῶν, ἢ ἐξ ὧνπερ ἡδεῖα. τὰ γὰρ αὐτὰ ποιητικὰ ἀμφοῖν, μέλος εὐγενές, ῥυθμὸς ἀξιωματικός, μεταβολὴ μεγαλοπρεπής, τὸ πᾶσι τούτοις παρακολουθοῦν πρέπον. ὥσπερ γὰρ ἡδεῖά τις γίνεται λέξις, οὕτω καὶ γενναία τις ἑτέρα· καὶ ῥυθμὸς ὥσπερ γλαφυρός τις, οὕτω καὶ σεμνὸς ἕτερος· καὶ τὸ μεταβάλλειν ὥσπερ χάριν ἔχει τινά, οὕτω καὶ πιθανόν. τὸ δὲ δὴ πρέπον εἰ μὴ τοῦ καλοῦ πλεῖστον ἕξει μέρος, σχολῇ γ' ἂν ἄλλου τινός. ἐξ ἁπάντων δὴ φημι τούτων ἐπιτηδεύεσθαι δεῖν τὸ καλὸν ἐν ἁρμονίᾳ λέξεως, ἐξ ὧνπερ καὶ τὸ ἡδύ. αἰτίαι δὲ κἀνταῦθα ἥ τε τῶν γραμμάτων φύσις, καὶ ἡ τῶν συλλαβῶν δύναμις, ἐξ ὧν πλέκεται τὰ ὀνόματα. ταῦτα ὑπὲρ ὧν καιρὸς ἂν εἴη λέγειν, ὥσπερ ὑπισχόμην.

Digitized by Google

Vocis elementa literae. Literarum natura et differentiae.

XIV. Ἀρχαὶ μὲν οὖν εἰσι τῆς ἀνθρωπίνης καὶ ἐναρθρου φωνῆς, αἱ μηκέτι διχόμεναι διαιρεσιν, ἃς καλοῦμεν στοιχεῖα καὶ γράμματα· γράμματα μέν, ὅτι γραμμαῖς τισι σημαίνεται· στοιχεῖα δὲ, ὅτι πᾶσα φωνὴ τὴν γένεσιν ἐκ τούτων λαμβάνει πρώτων, καὶ τὴν διάλυσιν εἰς ταῦτα πορεῖται τελευταίαν. τῶν δὲ στοιχείων τε καὶ γραμμάτων οὐ μία πάντων φύσις, διαφοραὶ δ' αὐτῶν. πρώτη μέν, ὡς Ἀριστόξενός ὁ μουσικὸς ἀποφαίνεται, καθ' ἣν τὰ μὲν φωνὰς ἀποτελεῖ, τὰ δὲ ψόφους· φωνὰς μέν, τὰ λεγόμενα φωνήεντα· ψόφους δὲ, τὰ λοιπὰ πάντα. δευτέρα δὲ, καθ' ἣν τῶν φωνηέντων ἃ μὲν καθ' ἑαυτὰ ψόφους ὁποίους δή τινας ἀποτελεῖν πέφυκε, ῥοῖζον, ἢ συριγμὸν, ἢ ποππυσμὸν, ἢ τοιούτων τινῶν ἄλλων ἠχων δηλωτικά· ἃ δ' ἐστὶν ἁπάσης ἄμοιρα φωνῆς καὶ ψόφου, καὶ οὐχ οἷά τ' ἠχεῖσθαι καθ' ἑαυτά. ταῦτα μὲν ἄφωνά τινες ἐκάλεσαν, θάτερα δὲ ἡμίφωνα. οἱ δὲ τριχῇ νείμαντες τὰς πρώτας τε καὶ στοιχειώδεις φωνῆς δυνάμεις, φωνήεντα μὲν ἐκάλεσαν, ὅσα καὶ καθ' ἑαυτὰ φωνεῖται, καὶ μεθ' ἑτέρων, καὶ ἔστιν αὐτοτελῆ· ἡμίφωνα δὲ, ὅσα μετὰ μὲν τῶν φωνηέντων κρεῖττον ἐκφέρεται, καθ' ἑαυτὰ δὲ χεῖρόν τε καὶ οὐκ αὐτοτελῶς· ἄφωνα δὲ, ὅσα οὔτε τὰς τελείας, οὔτε τὰς ἡμιτελείας φωνὰς ἔχει καθ' ἑαυτὰ, μεθ' ἑτέρων δ' ἐκφωνεῖται.

Ὁ ἀριθμὸς δ' αὐτῶν ὅστις ἐστὶν, οὐ ῥάδιον εἰπεῖν ἀκριβῶς· ἐπεὶ πολλὴν παρέσχε καὶ τοῖς πρὸ

Digitized by Google

ἡμᾶν ἀπορίαν τὸ πρᾶγμα. οἱ μὲν γὰρ ᾠήθησαν εἶναι τριακαίδεκα τὰ πάντα τῆς φωνῆς στοιχεῖα, κατεσκευάσθαι δὲ τἄλοιπὰ ἐκ τούτων· οἱ δὲ, καὶ τῶν εἰκοσιτεσσάρων, οἷς χρώμεθα νῦν, πλείω. ἡ μὲν οὖν ὑπὲρ τούτων θεωρία γραμματικῆς τε καὶ μετρικῆς, εἰ βούλεταί τις, καὶ φιλοσοφίας οἰκειοτέρα. ἡμῖν δ' ἀπόχρη μήτ' ἐλάττους τῶν κδ', μήτε πλείους ὑποθεμένοις, δεικνύναι τὰς τῆς φωνῆς ἀρχάς, καὶ τὰ συμβεβηκότα αὐτῇ λέγειν, τὴν ἀρχὴν ἀπὸ τῶν φωνηέντων ποιησαμένους.

Vocales.

Ἔστι δὲ ταῦτα τὸν ἀριθμὸν ζ· δύο μεν μακρά, τό τ' η καὶ τὸ ω· [δύο δὲ βραχέα, τό τ' ε καὶ τὸ ο·] τρία δὲ δίχρονα, τό τ' α καὶ τὸ ι καὶ τὸ υ, ἃ καὶ ἐκτείνεται, καὶ συστέλλεται· ἃ οἱ μὲν δίχρονα, ὥσπερ ἔφην, οἱ δὲ μεταπτωτικὰ καλοῦσιν. ἐκφωνεῖται δὲ ταῦτα πάντα τῆς ἀρτηρίας συνεχούσης τὸ πνεῦμα, καὶ τοῦ στόματος ἁπλῶς σχηματισθέντος, τῆς τε γλώσσης οὐδὲν πραγματευομένης, ἀλλ' ἠρεμούσης. πλὴν τὰ μὲν μακρὰ, καὶ τῶν διχρόνων ὅσα μακρῶς λέγεται, τεταμένον λαμβάνει καὶ διηνεκῆ τὸν αὐλὸν τοῦ πνεύματος· τὰ δὲ βραχέα, ἢ βραχέως λεγόμενα, ἐξ ἀποκοπῆς τε καὶ μιᾶ πληγῇ πνεύματος, καὶ τῆς ἀρτηρίας ἐπὶ βραχὺ κινηθείσης, ἐκφέρεται. τούτων δὴ κράτιστα μέν ἐστι καὶ φωνὴν ἡδίστην ἀποτελεῖ τά τε μακρὰ, καὶ τῶν διχρόνων ὅσα μηκύνεται κατὰ τὴν ἐκφοράν, ὅτι πολὺν ἠχεῖται χρόνον, καὶ τοῦ πνεύματος οὐ κατακόπτει τὸν τόνον· χείρω δὲ τὰ

Digitized by Google

βραχέα, ἢ τὰ βραχέως λεγόμενα, ὅτι μικρόφωνά τ' ἐστὶ καὶ σπαδονίζει τὸν ἦχον, αὐτῶν δὲ τῶν μακρῶν εὐφωνότατον τὸ α, ὅταν ἐκτείνηται· λέγεται γὰρ ἀνοιγομένου τοῦ στόματος ἐπὶ πλεῖστον, καὶ τοῦ πνεύματος ἄνω φερομένου πρὸς τὸν οὐρανόν. δεύτερον δὲ τὸ η· ὅτι κάτω περὶ τὴν βάσιν τῆς γλώσσης ἐρείδει τὸν ἦχον ἀκόλουθον, ἀλλ' οὐκ ἄνω, καὶ μετρίως ἀνοιγομένου. τρίτον δὲ τὸ ω· στρογγύλλεταί τε γὰρ ἐν αὐτῷ τὸ στόμα, καὶ περιστέλλει τὰ χείλη, τήν τε πληγὴν τὸ πνεῦμα περὶ τὸ ἀκροστόμιον ποιεῖται. ἔστι δὲ ἧττον τούτου τὸ υ· περὶ γὰρ αὐτὰ τὰ χείλη συστολῆς γενομένης ἀξιολόγου, πνίγεται καὶ στενὸς ἐκπίπτει ὁ ἦχος. ἔσχατον δὲ πάντων τὸ ι· περὶ τοὺς ὀδόντας τε γὰρ ἡ κρότησις τοῦ πνεύματος γίνεται, μικρὸν ἀνοιγομένου τοῦ στόματος, καὶ οὐκ ἐπιλαμπρυνόντων τῶν χειλέων τὸν ἦχον. τῶν δὲ βραχέων οὐδέτερον μὲν εὔηχον, ἧττον δὲ δυσηχὲς τὸ ο· διίστησι γὰρ τὸ στόμα κρεῖττον ἑτέρου, τὴν δὲ πληγὴν λαμβάνει περὶ τὴν ἀρτηρίαν μᾶλλον.

Semivocales. Mutae.

Φωνηέντων μὲν οὖν γραμμάτων αὕτη ἡ φύσις· ἡμιφώνων δὲ τοιάδε. ὀκτὼ γὰρ τὸν ἀριθμὸν ὄντων αὐτῶν, πέντε μέν ἐστιν ἁπλᾶ, τό τε λ, καὶ τὸ μ, καὶ τὸ ν, καὶ τὸ ρ, καὶ τὸ σ· τρία δὲ διπλᾶ, τό τε ζ, καὶ τὸ ξ, καὶ τὸ ψ. διπλᾶ δὲ λέγουσιν αὐτά, ἤτοι διὰ τὸ σύνθετα εἶναι, τὸ μὲν ζ διὰ τοῦ σ καὶ δ, τὸ δὲ ξ διὰ τοῦ κ καὶ σ, τὸ δὲ ψ διὰ τοῦ π καὶ σ,

Digitized by Google

συντρθαρμένων ἀλλήλοις καὶ ἰδίαν φωνὴν λαμβανόντων· ἢ διὰ τὸ χώραν ἐπέχειν δυοῖν γραμμάτων ἐν ταῖς συλλαβαῖς παραλαμβανόμενα. ἑκάστου δὴ τούτων κρεῖττον μέν ἐστι τὸ διπλοῦν τῶν ἁπλῶν· ἐπειδὴ μείζονά ἐστι τῶν ἑτέρων, καὶ μᾶλλον ἐγγίζειν δοκεῖ τοῖς τελείοις· ἧττον δὲ τὸ ἁπλοῦν, διὰ τὸ εἰς βραχυτέρους αὐτῶν τόνους συνάγεσθαι τὸν ἦχον. ἐκφωνεῖται δ' αὐτῶν ἕκαστον τοιόνδε δή τινα τρόπον· τὸ μὲν λ, τῆς γλώσσης πρὸς τὸν οὐρανὸν ἀνισταμένης, καὶ τῆς ἀρτηρίας συνεχούσης τὸ πνεῦμα· τὸ δὲ μ, τοῦ μὲν στόματος τοῖς χείλεσι πιεσθέντος, [τοῦ δὲ πνεύματος] διὰ τῶν ῥωθώνων μεριζομένου· τὸ δὲ ν, τῆς γλώττης τὴν φορὰν τοῦ πνεύματος ἀποκλειούσης, καὶ μεταφερούσης ἐπὶ τοὺς ῥώθωνας τὸν ἦχον· τὸ δὲ ρ, τῆς γλώσσης ἄκρας ἀπορριπιζούσης τὸ πνεῦμα, καὶ πρὸς τὸν οὐρανὸν ἐγγὺς τῶν ὀδόντων ἀνισταμένης· τὸ δὲ σ, τῆς μὲν γλώσσης προσαναγομένης ἄνω πρὸς τὸν οὐρανόν, τοῦ δὲ πνεύματος διὰ μέσου αὐτοῦ φερομένου, καὶ περὶ τοὺς ὀδόντας λεπτὸν καὶ στενὸν ἐξωθοῦντος τὸ σύριγμα. τρία δὲ τὰ λοιπὰ ἡμίφωνα μικτὸν λαμβάνει τὸν ψόφον, ἐξ ἑνὸς μὲν τῶν ἡμιφώνων, τοῦ σ, τριῶν δὲ ἀφώνων, τοῦ τε κ καὶ τοῦ δ καὶ τοῦ π.

Οὗτοι [οἱ] σχηματισμοὶ γραμμάτων ἡμιφώνων. δύναται δ' οὐχ ὁμοίως κινεῖν τὴν ἀκοὴν ἅπαντα· ἡδύνει μὲν γὰρ αὐτὴν τὸ λ, καί ἐστι τῶν ἡμιφώνων γλυκύτατον· τραχύνει δὲ τὸ ρ, καί ἐστι τῶν ὁμογενῶν γενναιότατον· μέσως δέ πως διατίθησι τὰ διὰ τῶν ῥωθώνων συνηχούμενα, τό τε μ καὶ τὸ ν, κέρα-

Digitized by Google

τοειδεῖς ἀποτελοῦντα τοὺς ἤχους. ἄχαρι δὲ καὶ ἀηδὲς τὸ σ, καὶ, εἰ πλεονάσειε, σφόδρα λυπεῖ· θηριώδους γὰρ καὶ ἀλόγου μᾶλλον, ἢ λογικῆς, ἐφάπτεσθαι δοκεῖ φωνῆς ὁ συριγμός· τῶν γοῦν παλαιῶν σπανίως ἐχρῶντό τινες αὐτῷ καὶ πεφυλαγμένως. εἰσὶ δέ, οἷς ἀσίγμους ᾠδὰς ὅλας ἐποίουν· δηλοῖ δὲ τοῦτο Πίνδαρος, ἐν οἷς φησι· „Πρὶν μὲν ἤριπε σχοινοτενὴς „φωνήεντα διθυράμβων, καὶ τὸ Σὰν κίβδαλον, „ἄνθρωποι.“ τριῶν δὲ τῶν ἄλλων γραμμάτων, ἃ δὴ διπλᾶ καλεῖται, τὸ ζ μᾶλλον ἡδύνει τὴν ἀκοὴν τῶν ἑτέρων. τὸ μὲν γὰρ ξ, διὰ τοῦ κ, τὸ δὲ ψ, διὰ τοῦ π, τὸν συριγμὸν ἐποδίδωσι, ψιλῶν ὄντων ἀμφοτέρων· τοῦτο δ' ἡσυχῇ τῷ πνεύματι δασύνεται, καὶ ἔστι τῶν ὁμογενῶν γενναιότατον. καὶ περὶ μὲν τῶν ἡμιφώνων τοσαῦτα.

Τῶν δὲ καλουμένων ἀφώνων ἐννέα ὄντων, τρία μέν ἐστι ψιλά, τρία δὲ δασέα, τρία δὲ μεταξὺ τούτων. ψιλὰ μὲν τά τε κ, καὶ τὸ π, καὶ τὸ τ· δασέα δὲ τό τε χ, καὶ τὸ φ, καὶ τὸ θ· κοινὰ δὲ ἀμφοῖν τό τε γ, καὶ τὸ β, καὶ τὸ δ. ἐκφωνεῖται δὲ αὐτῶν ἕκαστον τρόπον τόνδε· τρία μέν, ἀπὸ τῶν χειλέων ἄκρων, τὸ π καὶ τὸ φ καὶ τὸ β, ὅταν, τοῦ στόματος πιεσθέντος, τὸ προβαλλόμενον ἐκ τῆς ἀρτηρίας πνεῦμα λύσῃ τὸν δεσμὸν αὐτοῦ. καὶ ψιλὸν μέν ἐστιν αὐτῶν τὸ π, δασὺ δὲ τὸ φ, μέσον δὲ ἀμφοῖν τὸ β· τοῦ μὲν γὰρ ψιλώτερόν ἐστι, τοῦ δὲ δασύτερον. μία μὲν αὕτη συζυγία τριῶν γραμμάτων ἀφώνων ὁμοίῳ σχήματι λεγομένων, ψιλότητι δὲ καὶ δασύτητι διαφερόντων. τρία δὲ ἄλλα λέγεται, τῆς γλώσσης ἄκρῳ

Digitized by Google

τῷ στόματι προσερειδομένης κατὰ τοὺς μετεωροτέρους ὀδόντας, ἔπειθ' ὑπὸ τοῦ πνεύματος ὑπορριπιζομένης, καὶ τὴν διεξοδον αὐτῷ περὶ τοὺς ὀδόντας ἀποδιδούσης, τό τ καὶ τὸ θ καὶ τὸ δ. διαλλάττει δὲ καὶ ταῦτα δασύτητι καὶ ψιλότητι· ψιλὸν μὲν γάρ ἐστιν αὐτῶν τὸ τ, δασὺ δὲ τὸ θ, μέσον δὲ καὶ ἐπίκοινον τὸ δ. αὕτη δευτέρα συζυγία γραμμάτων ἀφώνων. τρία δὲ τὰ λοιπὰ τῶν ἀφώνων λέγεται μέν, τῆς γλώττης ἁπτομένης κατὰ τὸν οὐρανὸν ἐγγὺς τῆς φάρυγγος, καὶ τῆς ἀρτηρίας ὑπηχούσης τῷ πνεύματι, τό κ καὶ τὸ χ καὶ τὸ γ, οὐδενὶ ταῦτα διαφέροντα τῷ σχήματι ἀλλήλων, πλὴν ὅτι τὸ μὲν κ ψιλῶς λέγεται, τὰ δὲ χ δασέως, τὸ δὲ γ μετρίως καὶ μεταξὺ τούτων. κράτιστα μὲν οὖν ἐστιν, ὅσα τῷ πνεύματι πολλῷ λέγεται· δεύτερα δὲ, ὅσα μέσῳ· κακίω δὲ, ὅσα ψιλῷ. ταῦτα μὲν γὰρ τὴν ἑαυτῶν δύναμιν ἔχει μόνην· τὰ δὲ δασέα, καὶ τὴν τοῦ πνεύματος προσθήκην, ὥστε ἐγγὺς τοῦ τελειότατα εἶναι ἐκεῖνα.

XV. Ἐκ δὴ τῶν γραμμάτων τοσούτων τε ὄντων καὶ δυνάμεις τοιαύτας ἐχόντων, αἱ καλούμεναι γίνονται συλλαβαί. τούτων δέ ἐστι καὶ μακραὶ μέν, ὅσαι συνεστήκασιν ἐκ τῶν φωνηέντων τῶν μακρῶν, ἢ τῶν διχρόνων, ὅταν μακρῶς ἐκφέρηται, καὶ ὅσαι λήγουσιν εἰς μακρὸν, ἢ μακρῶς λεγόμενον γράμμα, ἤτοι τῶν ἡμιφώνων, ἢ ἀφώνων· βραχεῖαι δὲ, ὅσαι συνεστήκασιν ἐκ βραχέος φωνήεντος, ἢ βραχέως λαμβάνομένου, καὶ ὅσαι λήγουσιν εἰς ταῦτα. μήκους δὲ καὶ βραχύτητος συλλαβῶν οὐ μία φύσις, ἀλλὰ

Digitized by Google

καὶ μακρότεραί τινές εἰσι τῶν μακρῶν, καὶ βραχύτεραι τῶν βραχειῶν. ἔσται δὲ τοῦτο φανερὸν ἐπὶ τῶν παραδειγμάτων.

Ὁμολογεῖται δή, βραχεῖαν εἶναι συλλαβήν, ἣν ποιεῖ φωνῆεν βραχὺ [γράμμα] τὸ ο, ὡς λέγεται Ὁδός. ταύτῃ προστεθήτω ἓν γράμμα τῶν ἡμιφώνων τὸ ρ, καὶ γενέσθω Ῥόδος· μένει μὲν ἔτι βραχεῖα ἡ συλλαβή, πλὴν οὐχ ὁμοίως, ἀλλ' ἔξει τινὰ παραλλαγὴν ἀκαρεὶ παρὰ τὴν προτέραν. ἔτι προστεθήτω ταύτῃ τῶν ἀφώνων γραμμάτων τὸ τ, καὶ γενέσθω Τρόπος· μείζων αὕτη τῶν προτέρων ἔσται συλλαβῶν, καὶ ἔτι βραχεῖα μένει. τρίτον γ' ἔτι γράμμα τῇ αὐτῇ συλλαβῇ προστεθήτω τὸ σ, καὶ γενέσθω Στρόφος· τρισὶν αὕτη προσθήκαις ἀκουστάῖς μακροτέρα γενήσεται τῆς βραχυτάτης, μένουσα ἔτι βραχεῖα. οὐκοῦν τέσσαρες αὗται βραχείας συλλαβῆς διαφοραὶ τὴν ἀνάλογον ἔχουσαι αἴσθησιν τῆς παραλλαγῆς μέτρον. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῆς μακρᾶς. ἡ γὰρ ἐκ τοῦ η γινομένη συλλαβή, μακρὰ τὴν φύσιν οὖσα, τεττάρων γραμμάτων προσθήκαις παραυξηθεῖσα, τριῶν προτατταμένων, ἑνὸς δὲ ὑποτατταμένου, καθ' ἣν λέγεται Σπλήν, μείζων ἂν δήπου λέγοιτο εἶναι τῆς προτέρας ἐκείνης τῆς μονογραμμάτου. μειουμένη δ' αὖ πάλιν καθ' ἓν ἕκαστον τῶν προστεθέντων γραμμάτων, τὰς ἐπὶ τοὔλαττον παραλλαγὰς αἰσθητὰς ἂν ἔχοι. αἰτία δὲ ἥτις ἐστὶ τοῦ μήτε τὰς μακρὰς ἐκβαίνειν τὴν ἑαυτῶν φύσιν μέχρι γραμμάτων ἑπτὰ μηκυνομένας, μήτε τὰς βραχείας, εἰς ἓν ἀπὸ πολλῶν γραμμάτων συστελλομένας, ἐκπίπτειν τῆς βραχύτη-

Digitized by Google

τος, ἀλλὰ κἀκείνας ἐν διπλασίῳ λόγῳ θεωρεῖσθαι τῶν βραχειῶν, καὶ ταύτας ἐν ἡμίσει τῶν μακρῶν, οὐκ ἀναγκαῖον ἐν τῷ παρόντι σκοπεῖν. ἀρκεῖ γὰρ, ὅσον εἰς τὴν παροῦσαν ὑπόθεσιν ἥρμοττεν, εἰρῆσθαι, ὅτι διαλλάττει καὶ βραχεῖα συλλαβὴ βραχείας, καὶ μακρὰ μακρᾶς, καὶ οὔτε τὴν αὐτὴν ἔχει δύναμιν, οὔτ' ἐν λόγοις φιλοῖς, οὔτ' ἐν ποιήμασιν, ἢ μέλεσι, διὰ ῥυθμῶν, ἢ μέτρων, κατασκευαζομένοις, πᾶσα βραχεῖα καὶ πᾶσα μακρά.

Πρῶτον μὲν δὴ θεώρημα τοῦτο τῶν ἐν ταῖς συλλαβαῖς παθῶν, ἕτερον δὲ τοιόνδε. τῶν γραμμάτων πολλὰς ἐχόντων διαφορὰς οὐ μόνον παρὰ τὰ μήκη καὶ τὰς βραχύτητας, ἀλλὰ καὶ παρὰ τοὺς ἤχους, ὑπὲρ ὧν ὀλίγῳ πρότερον εἴρηκα, πᾶσα ἀνάγκη τὰς ἐκ τούτων συνισταμένας συλλαβὰς, ἢ διὰ τούτων πλεκομένας, ἅμα τήν τε ἰδίαν ἑκάστου σώζειν δύναμιν, καὶ τὴν κοινὴν ἁπάντων, ἣ γίνηται διὰ τῆς κράσεώς τε καὶ τῆς παραθέσεως αὐτῶν· ἐξ ὧν μαλακαί τε φωναὶ γίνονται καὶ σκληραὶ, καὶ λεῖαι καὶ τραχεῖαι, γλυκαίνουσαί τε τὴν ἀκοὴν καὶ πικραίνουσαι, καὶ στύφουσαι καὶ διαχέουσαι, καὶ πᾶσαν τὴν ἄλλην κατασκευάζουσαι διάθεσιν φυσικήν· αὗται δ' εἰσὶ μυρίαι τὸ πλῆθος ὅσαι.

Ταῦτα δὴ καταμαθόντες οἱ χαριέστατοι ποιητῶν τε καὶ συγγραφέων, τὰ μὲν αὐτοί τε κατασκευάζουσιν ὀνόματα, συμπλέκοντες ἐπιτηδείως ἀλλήλοις τὰ γράμματα, καὶ τὰς συλλαβὰς δὲ οἰκείως, οἷς ἂν βούλωνται παραστῆσαι πάθεσι, ποικίλως φιλοτεχνοῦσιν, ὡς ποιεῖ πολλάκις Ὅμηρος· ἐπὶ μὲν προφη-

Digitized by Google

νέμων αἰγιαλῶν τῇ παρεκτάσει τῶν συλλαβῶν τὸν ἄπαυστον ἐμφαίνειν βουλόμενος ἦχον·

Ἠιόνες βοόωσιν ἐρευγομένης ἁλὸς ἔξω.

ἐπὶ δὲ τοῦ τυφλουμένου Κύκλωπος, τό τε τῆς ἀλγηδόνος μέγεθος, καὶ τὴν διὰ τῶν χειρῶν βραδεῖαν ἔρευναν τῆς τοῦ σπηλαίου θύρας·

Κύκλωψ δὲ στενάχων τε καὶ ὠδινων ὀδύνῃσι,
Χερσὶ ψηλαφόων.

καὶ ἄλλοθί που δέησιν ἐνδείξασθαι βουλόμενος πολλὴν καὶ κατεσπουδασμένην

Οὐδ' εἴ μεν μάλα πολλὰ πάθοι ἑκάεργος Ἀπόλλων,
Προπροκυλινδόμενος πατρὸς Διὸς αἰγιόχοιο.

μυρία ἐστὶν εὑρεῖν παρ' αὐτῷ τοιαῦτα, χρόνου μῆκος, ἢ σώματος μέγεθος, ἢ πάθους ὑπερβολήν, ἢ στάσεως ἠρεμίαν, ἢ τῶν παραπλησίων τι δηλοῦντα, παρ' οὐδὲν οὕτως ἕτερον, ἢ τὰς τῶν συλλαβῶν κατασκευάς· καὶ ἄλλα τούτοις ἐναντίως εἰργασμένα εἰς βραχύτητα, καὶ τάχος, καὶ σπουδήν, καὶ τὰ τούτοις ὁμογενῆ· ὡς ἔχει ταυτί·

Ἀμβλήδην γοόωσα μετὰ δμωῇσιν ἔειπεν. καὶ·

Ἠνίοχοι δ' ἔκπληγεν, ἐπεὶ ἴδον ἀκάματον πῦρ.

ἐφ' ὧν μὲν γὰρ ἡ τοῦ πνεύματος δηλοῦται συγκοπὴ, καὶ τὸ τῆς φωνῆς ἄτακτον· ἐφ' ὧν δ' ἡ τῆς διανοίας ἔκτασις, καὶ τὸ τοῦ δείματρς ἀπροσδόκητον, ποιεῖ δὲ τούτων ἑκάτερον ἡ τῶν συλλαβῶν τε καὶ γραμμάτων ἐλάττωσις

Digitized by Google

Rei subiectae convenientia eligenda esse vocabula.

XVI. Καὶ αὐτοί τε δὴ κατασκευάζουσιν οἱ ποιηταὶ καὶ λογογράφοι, πρὸς χρῆμα ὁρῶντες, οἰκεῖα καὶ δηλωτικὰ τῶν ὑποκειμένων τὰ ὀνόματα, ὥσπερ ἔφην· πολλὰ δὲ καὶ παρὰ τῶν ἔμπροσθεν λαμβάνουσιν, ὡς ἐκεῖνοι κατεσκεύασαν, ὅσα μιμητικώτατα τῶν πραγμάτων ἐστίν· ὡς ἔχει ταυτί·

Ῥοχθεῖ γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο.
Αὐτὸς δὲ κλάγξας πέτετο πνοιῇσ' ἀνέμοιο.
Αἰγιαλῷ μεγάλῳ βρέμεται, σμαραγεῖ δέ τε πόντος.
Σκέπτετ' ὀϊστῶν τε ῥοῖζον καὶ δοῦπον ἀκόντων.

μεγάλη ταὐτῶν ἀρχὴ καὶ διδάσκαλος ἡ φύσις, ἥ ποιοῦσα μιμητικοὺς ἡμᾶς καὶ θετικοὺς τῶν ὀνομάτων, οἷς δηλοῦνται τὰ πράγματα, κατά τινας εὐλόγους καὶ κινητικὰς διανοίας ὁμοιότητας· ὑφ' ὧν ἐδιδάχθημεν ταύρων τε μυκήματα λέγειν, καὶ χρεμετισμοὺς ἵππων, καὶ φρυαγμοὺς τριάγων, πρός τε βρόμον καὶ πάταγον ἀνέμων, καὶ συριγμὸν κάλων, καὶ ἄλλα τούτοις ὅμοια παμπληθῆ, τὰ μὲν φωνῆς μιμητικά, τὰ δὲ μορφῆς, τὰ δ' ἔργου· τὰ δὲ πάθους, τὰ δὲ κινήσεως, τὰ δ' ἠρεμίας, τὰ δ' ἄλλου χρήματος ὁτουδήποτε, περὶ ὧν εἴρηται πολλὰ τοῖς πρὸ ἡμῶν. τὰ κράτιστα δὲ νέμω, ὡς πρώτῳ τὸν ὑπὲρ ἐτυμολογίας εἰσάγοντι λόγον, Πλάτωνι τῷ Σωκρατικῷ, πολλαχῇ μὲν καὶ ἄλλοθι, μάλιστα δὲ ἐν τῷ Κρατύλῳ.

Quibus modis pulchra constituatur dictio.

Τί δὴ τὸ κεφάλαιόν ἐστί μοι τοῦ λόγου; ὅτι

Digitized by Google

παρὰ μὲν τὰς τῶν γραμμάτων συμπλοκὰς ἡ τῶν συλλαβῶν γίνεται σύνθεσις ποικίλη, παρὰ δὲ τῶν συλλαβῶν συνθέσεις ἡ τῶν ὀνομάτων φύσις παντοδαπὴ, παρὰ δὲ τὰς τῶν ὀνομάτων ἁρμονίας πολύμορφος ὁ λόγος γίνεται· ὥστε πολλὴ ἀνάγκη, καλὴν μὲν εἶναι λέξιν, ἐν ᾗ καλά ἐστιν ὀνόματα, καλῶν δ' ὀνομάτων συλλαβάς τε καὶ γράμματα καλὰ αἴτια εἶναι, ἡδεῖάν τε διάλεκτον ἐκ τῶν ἡδυνόντων τὴν ἀκοὴν γίνεσθαι· καὶ τὸ παραπλήσιον, ὀνομάτων τε καὶ συλλαβῶν καὶ γραμμάτων τάς τε κατὰ μέρος ἐν τούτοις διαφορὰς, καθ' ἃς δηλοῦται τά τε ἤθη, καὶ τὰ πάθη, καὶ αἱ διαθέσεις, καὶ τὰ ἔργα τῶν προσώπων, καὶ τὰ συνεδρεύοντα τούτοις, ἀπὸ τῆς πρώτης κατασκευῆς τῶν γραμμάτων γίνεσθαι τοιαῦτα.

Χρήσομαι δ' ὀλίγοις δείγμασι τοῦ λόγου τοῦδε, τῆς σαφηνείας ἕνεκα· τὰ γὰρ ἄλλα, πολλὰ ὄντα, ἐπὶ σεαυτοῦ συμβαλλόμενος εὑρήσεις. ὁ δὴ πολυφωνότατος ἁπάντων τῶν ποιητῶν Ὅμηρος, ὅταν μὲν ὥραν ὄψεως εὐμόρφου καὶ κάλλος ἡδονῆς ἐπαγωγὸν ἐπιδείξασθαι βούληται, τῶν τε φωνηέντων τοῖς κρατίστοις χρήσεται, καὶ τῶν ἡμιφώνων τοῖς μαλακωτάτοις, καὶ οὐ καταπυκνώσει τοῖς ἀφώνοις τὰς συλλαβὰς, οὐδὲ συγκόψει τοὺς ἤχους, παρατιθεὶς ἀλλήλοις τὰ δυσέκφορα, πραεῖαν δέ τινα ποιήσει ἁρμονίαν τῶν γραμμάτων καὶ ῥέουσαν ἀλύπως διὰ τῆς ἀκοῆς, ὡς ἔχει ταυτί.

Ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια,
Ἀρτέμιδι ἰκέλη, ἠὲ χρυσῇ Ἀφροδίτῃ. καὶ·
Δήλῳ δήποτε τοῖον Ἀπόλλωνος παρὰ βωμῷ

Digitized by Google

Φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα. καὶ·

Καὶ Χλῶριν εἶγον περικαλλέα, τὴν ποτε Νηλεὺς
Γῆμεν ἑὸν διὰ κάλλος, ἐπεὶ πόρε μυρία ἕδνα.

ὅταν δὲ οἰκτρὰν, ἢ φοβερὰν, ἢ ἀγέρωχον ὄψιν εἰσάγῃ, τῶν τε φωνηέντων οὐ τὰ κράτιστα θήσει, ἀλλὰ τῶν ψοφοειδῶν, ἢ ἀφώνων τὰ δυσεκφορώτατα λήψεται, καὶ καταπυκνώσει τούτοις τὰς συλλαβάς· οἷά ἐστι ταυτί.

Σμερδαλέος δ' αὐτῇσι φάνη κεκακωμένος ἅλμῃ.
Τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις ἐατεφάνωτο,
Δεινὸν δερκομένη, περὶ δὲ δεῖμός τε φόβος τε.

ποταμῶν δέ γε σύῤῥυσιν εἰς χωρίον ἓν, καὶ πάταγον ὑδάτων ἀναμισγομένων ἐκμιμήσασθαι τῇ λέξει βουλόμενος, οὐκ ἔτι λείας συλλαβὰς, ἀλλ' ἰσχυρὰς καὶ ἀντιτύπους θήσει·

Ὡς δ' ὅτε χείμαῤῥοι ποταμοὶ κατ' ὄρεσφι ῥέοντες,
Ἐς μισγάγκειαν συμβάλλετον ὄμβριμον ὕδωρ.

βιαζόμενον δέ τινα πρὸς ἐναντίον ῥεῦμα ποταμοῦ μετὰ τῶν ὅπλων, καὶ τὰ μὲν ἀντέχοντα, τὰ δὲ ὑποφερόμενον εἰσάγων, ἀνακοπάς τε ποιήσει συλλαβῶν, καὶ ἀναβολὰς χρόνων, καὶ ἀντιστηριγμοὺς γραμμάτων·

Δεινὸν δ' ἀμφ' Ἀχιλῆα κυκώμενον ἵστατο κῦμα,
Ὤθει δ' ἐν σάκεϊ πίπτων ῥόος, οὐδὲ πόδεσσιν
Εἶχε στηρίζεσθαι. —

ἀραττομένων δὲ περὶ πέτρας ἀνθρώπων, ψόφον τε καὶ μόρον οἰκτρὸν ἐνδεικνύμενος, ἐπὶ τῶν ἀηδεστάτων τε καὶ κακοφωνοτάτων χρονιεῖ γραμμάτων, οὐδαμῇ λειαίνων τὴν κατασκευὴν, οὐδὲ ἡδύνων.

Digitized by Google

Σὺν δὲ δύω μάρψας, ὥστε σκύλακάς, ποτὶ γαίῃ
Κόπτ'· ἐκ δ' ἐγκέφαλος χαμάδις ῥέε, δεῦε δὲ γαῖαν.

πολὺ ἂν ἔργον εἴη λέγειν, εἰ πάντων παραδείγματα βουλοίμην φέρειν καὶ κατὰ τὸν τόπον τόνδε, ὧν ἄν τις ἐπαιτήσειεν· ὥστ' ἀρκεσθεὶς τοῖς εἰρημένοις, ἐπὶ τὰ ἑξῆς μεταβήσομαι. φημὶ δὲ, τὸν βουλόμενον ἐργάσασθαι λέξιν καλὴν ἐν τῷ συντιθέναι τὰς φωνὰς, ὅσα καλλιλογίαν καὶ μεγαλοπρέπειαν, ἢ σεμνότητα, περιείληφεν ὀνόματα, εἰς τοῦτο συνάγειν. εἴρηται δέ τινα περὶ τούτων καὶ Θεοφράστῳ τῷ φιλοσόφῳ κοινότερον ἐν τοῖς Περὶ Λέξεως, ἔνθα ὁρίζει, τίνα ὀνόματα φύσει καλά· παραδείγματος ἕνεκα, ὧν συντιθεμένων, καλὴν οἴεται καὶ μεγαλοπρεπῆ γενήσεσθαι τὴν φράσιν· καὶ αὖθις ἕτερα πικρὰ καὶ ταπεινά, ἐξ ὧν οὔτε ποίημα χρηστὸν ἔσεσθαί φησιν, οὔτε λόγον. καὶ μὰ Δία οὐκ ἀπὸ σκοποῦ ταῦτα τῷ ἀνδρὶ εἴρηται. εἰ μὲν οὖν ἐγχωροίη, πάντα εἶναι τὰ μόρια τῆς λέξεως, ὑφ' ὧν μέλλει δηλοῦσθαι τὸ πρᾶγμα, εὔφωνά τε καὶ καλλιῤῥήμονα, μανίας ἔργον ζητεῖν τὰ χείρω· εἰ δ' ἀδύνατον εἴη τοῦτο, ὥσπερ ἐπὶ πολλῶν ἔχει, τῇ πλοκῇ καὶ μίξει καὶ παραθέσει πειρατέον ἀφανίζειν τὴν τῶν χειρόνων φύσιν. ὅπερ Ὅμηρος εἴωθεν ἐπὶ πολλῶν ποιεῖν. εἰ γάρ τις ἔροιτο ὁντινοῦν τῶν ποιητῶν, ἢ ῥητόρων, τίνα σεμνότητα, ἢ καλλιλογίαν, ταῦτα ἔχει τὰ ὀνόματα, ἃ ταῖς Βοιωτίας κεῖται πόλεσιν, Τρία, καὶ Μυκαλησσὸς, καὶ Γραῖα, καὶ Ἐτεωνὸς, καὶ Σκῶλος, καὶ Θίσβη, καὶ Ὄγχηστὸς, καὶ Εὔτρησις, καὶ τἆλλα ἑξῆς, ὧν ὁ ποιη-

Digitized by Google

τῆς μέμνηται, οὐδεὶς ἂν εἰπεῖν οὐδ' ἡντινοῦν ἔχοι. ἀλλ' οὕτως αὐτὰ καλῶς ἐκεῖνος συνύφανεν, καὶ παραπληρώμασιν εὐφώναις διείληφεν, ὥστε μεγαλοπρεπέστατα φαίνεσθαι τούτων ὀνόματα·

Βοιωτῶν μὲν Πηνέλεως καὶ Λήϊτος ἦρχον,
Ἀρκεσίλαός τε, Προθοήνωρ τε, Κλονίός τε·
Οἵ θ' Ὑρίην ἐνέμοντο, καὶ Αὐλίδα πετρήεσσαν,
Σχοινύν τε, Σκῶλόν τε, πολύκνημόν τ' Ἐτεωνόν,
Θέσπειαν, Γραϊάν τε, καὶ εὐρύχορον Μυκαλησσόν·
Οἵ τ' ἀμφ' Ἅρμ' ἐνέμοντο, καὶ Εἰλέσιον, καὶ Ἐρυθράς·
Οἵ τ' Ἐλεῶν' εἶχον, ἠδ' Ὕλην, καὶ Πετεῶνα,
Ὠκαλέην, Μεδεῶνά τ', εὐκτίμενον πτολίεθρον.

ἐν εἰδόσι λέγων οὐκ οἶομαι πλειόνων δεῖν παραδειγμάτων. ἅπας ἐστὶν κατάλογος αὐτῶν τοιοῦτος, καὶ πολλὰ ἄλλα, ἐν οἷς ἀναγκασθεὶς ὀνόματα λαμβάνειν οὐ καλὰ τὴν φύσιν, ἑτέροις αὐτὰ κοσμεῖ καλοῖς, καὶ λύει τὴν ἐκείνων δυσχέρειαν τῇ τούτων εὐμορφίᾳ. καὶ περὶ μὲν τούτων ἅλις.

De numeris orationis.

XVII. Ἐπεὶ δὲ τοὺς ῥυθμοὺς ἔφην οὐ μικραν μοῖραν ἔχειν τῆς ἀξιωματικῆς καὶ μεγαλοπρεποῦς συνθέσεως, ἵνα μή μέ τις εἰκῇ δόξῃ λέγειν, ῥυθμοὺς καὶ μέτρα μουσικῆς οἰκεῖα θεωρίας, εἰς οὐ ῥυθμικὴν, οὐδ' ἔμμετρον εἰσάγοντα διάλεκτον, ἀποδώσω καὶ τὸν ὑπὲρ τούτων λόγον. ἔχει δὲ οὕτως· Πᾶν ὄνομα καὶ ῥῆμα καὶ ἄλλο μόριον λέξεως, ὅ τι μὴ μονοσύλλαβόν ἐστιν, ἐν ῥυθμῷ τινι λέγεται· τὸ δ' αὐτὸ καλῶ πόδα καὶ ῥυθμόν.

Digitized by Google

Pedes disyllabi et trisyllabi.

Δισυλλάβου μὲν οὖν λέξεως διαφοραὶ τρεῖς. ἢ γὰρ ἐξ ἀμφοτέρων ἔσται βραχειῶν, ἢ ἐξ ἀμφοτέρων μακρῶν, ἢ τῆς μὲν βραχείας, τῆς δὲ μακρᾶς. τοῦ δὲ τρίτου τούτου τοῦ ῥυθμοῦ διττὸς ὁ τρόπος· ὁ μέν τις ἀπὸ βραχείας ἀρχόμενος, καὶ λήγων εἰς μακράν· ὁ δ' ἀπὸ μακρᾶς, καὶ λήγων εἰς βραχεῖαν. ὁ μὲν οὖν βραχυσύλλαβος, Ἡγεμών τε καὶ Πυῤῥίχιος καλεῖται, καὶ οὔτε μεγαλοπρεπής ἐστιν, οὔτε σεμνός· σχῆμα δ' αὐτοῦ τοιόνδε·

Λέγε δὲ σὺ κατὰ πόδα νεόλυτα μέλεα.

ὁ δ' ἀμφοτέρας τὰς συλλαβὰς μακρὰς ἔχων, κεκλη-ται μὲν Σπονδεῖος, ἀξίωμα δ' ἔχει μέγα καὶ σεμνό-τητα πολλήν· παράδειγμα δ' αὐτοῦ τόδε·

Ποίαν δήθ' ὁρμάσω, ταύταν, ἢ κείναν, κείναν,
ἢ ταύταν;

ὁ δ' ἐκ βραχείας τε καὶ μακρᾶς συγκείμενος, ἐὰν μὲν τὴν ἡγουμένην λάβῃ βραχεῖαν, Ἴαμβος καλεῖται, καὶ οὐκ ἔστιν οὔκ ἀγενής· ἐὰν δ' ἀπὸ τῆς μακρᾶς ἄρχηται, Τροχαῖος, καὶ ἔστι μαλακώτερος θατέρου καὶ ἀγενέστερος· παράδειγμα δὲ τοῦ προτέρου τοιόνδε·

Ἐπεὶ σχολὴ πάρεστιν, παῖ Μενοιτίου.

τοῦ δ' ἑτέρου·

Θυμέ, θύμ' ἀμηχάνοισι κήδεσιν κυκώμενε.

Δισυλλάβων μὲν δὴ μορίων λέξεως διαφοραί τε καὶ ῥυθμοὶ καὶ σχήματα τοσαῦτα· τρισυλλάβων δ' ἕτερα πλείω τῶν εἰρημένων, καὶ ποικιλωτέραν ἔχον-τα θεωρίαν. ὁ μὲν γὰρ ἐξ ἁπασῶν βραχειῶν συνε-

Digitized by Google

στὼς, καλούμενος δὲ ὑπό τινων Χορεῖος, Τρίβραχυς πούς· οὗ παράδειγμα τοιόνδε·

Βρόμιε, θοροτοφόρε, ἐνυάλιε, πολεμοκέλαδε·

ταπεινός τε καὶ ἄσεμνός ἐστι καὶ ἀγενὴς, καὶ οὐδὲν ἂν ἐξ αὐτοῦ γένοιτο γενναῖον. ὁ δ' ἐξ ἁπασῶν μακρῶν, Μολοττὸν δ' αὐτὸν οἱ μετρικοὶ καλοῦσιν, ὑφηλός τε καὶ ἀξιωματικός ἐστι καὶ διαβεβηκὼς ὡς ἐπὶ πολύ· παράδειγμα δ' αὐτοῦ τόδε·

Ὦ Ζηνὸς καὶ Λήδας κάλλιστοι σωτῆρες.

ὁ δ' ἐκ μακρᾶς καὶ δυοῖν βραχειῶν, μέσην μὲν λαβὼν τὴν μακρὰν ἑκατέρας τῶν βραχειῶν, Ἀμφίβραχυς ὠνόμασται· καὶ οὐ σφόδρα τῶν εὐσχημόνων ἐστὶ ῥυθμῶν, ἀλλὰ διακέκλασταί τε καὶ πολὺ τὸ θῆλυ καὶ ἀγενὲς ἔχει· οἷά ἐστι ταυτί·

Ἴακχε διθύραμβε, σὺ τῶνδε χοραγέ.

ὁ δὲ προλαμβάνων τὰς δύο βραχείας, Ἀνάπαιστος μὲν καλεῖται, σεμνότητα δ' ἔχει πολλήν· καὶ, ἔνθα δεῖ μέγεθος περιθεῖναι τοῖς πράγμασιν, ἢ πάθος, ἐπιτήδειός ἐστι παραλαμβάνεσθαι· τούτου τὸ σχῆμα τοιόνδε·

Βαρύ μοι κεφαλῆς ἐπίκρανον ἔχει.

ὁ δ' ἀπὸ τῆς μακρᾶς ἀρχόμενος, λήγων δ' ἐς τὰς βραχείας, Δακτυλικὸς μὲν καλεῖται, πάνυ δ' ἐστὶ σεμνὸς, καὶ εἰς κάλλος ἁρμονίας ἀξιολογώτατος, καὶ τόγε ἡρωϊκὸν μέτρον ἀπὸ τούτου κοσμεῖται ὡς ἐπὶ τὸ πολύ· παράδειγμα δ' αὐτοῦ τόδε·

Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσεν.

οἱ μέντοι ῥυθμικοὶ τούτου τοῦ ποδὸς τὴν μακρὰν βραχυτέραν εἶναί φασι τῆς τελείας· οὐκ ἔχοντες δ'

Digitized by Google

εἰπεῖν πόσῳ, καλοῦσιν αὐτὴν ἄλογον. ἕτερον δ' ἀντίστροφόν τινα τούτῳ ῥυθμὸν, ὃς ἀπὸ τῶν βραχειῶν ἀρξάμενος ἐπὶ τὴν ἄλογον τοῦτον τελευτᾷ, χωρίσαντες ἀπὸ τῶν ἀναπαίστων, Κύκλιον καλοῦσι, παράδειγμα αὐτοῦ φέροντες τοιόνδε·

Κέχυται πόλις ὑψίπυλος κατὰ γᾶν.

περὶ ὧν ἂν ἕτερος εἴη λόγος. πλὴν ἀμφότεροί γε τῶν πάνυ καλῶν οἱ ῥυθμοί. ἓν ἔτι λείπεται τρισυλλάβων ῥυθμῶν γένος, ὃ συνέστηκε μὲν ἐκ δύο μακρῶν καὶ βραχείας, τρία δ' ἔχει σχήματα· μέσης μὲν γὰρ γενομένης τῆς βραχείας, ἄκρων δὲ τῶν μακρῶν, Κρητικός τε λέγεται, καὶ ἔστιν οὐκ ἀγενής· ὑπόδειγμα δ' αὐτοῦ τοιόνδε·

Οἱ δ' ἐπείγοντο πλωταῖς ἀπήνῃσι χαλκεμβόλοισιν.

ἐὰν δὲ τὴν ἀρχὴν αἱ δύο μακραὶ κατάσχωσι, τὴν δὲ τελευτὴν βραχεῖα· οἷά ἐστι ταυτί·

Σοὶ, Φοῖβε Μοῦσαί τε, συμβῶμεν·

ἀνδρῶδες δὲ πάνυ τοῦτο σχῆμα, καὶ εἰς σεμνολογίαν ἐπιτήδειον. τὸ δ' αὐτὸ συμβήσεται, κἂν ἡ βραχεῖα πρώτη τεθῇ τῶν μακρῶν. καὶ γὰρ οὗτος ὁ ῥυθμὸς ἀξίωμα ἔχει καὶ μέγεθος· παράδειγμα δ' αὐτοῦ τόδε·

Τίν' ἀκτάν, τίν' ὕλαν δράμω; ποῖ πορευθῶ;

τούτοις ἀμφοτέροις ὀνόματα κεῖται ῥυθμοῖς ὑπὸ τῶν μετρικῶν, Βακχεῖος μὲν τῷ προτέρῳ, θατέρῳ δὲ Ὑποβάκχειος. οὗτοι δώδεκα ῥυθμοί τε καὶ πόδες εἰσὶν οἱ πρῶτοι καταμετροῦντες ἅπασαν ἔμμετρόν τε καὶ ἄμετρον λέξιν, ἐξ ὧν γίνονται στίχοι τε καὶ κῶλα. οἱ γὰρ ἄλλοι ῥυθμοὶ καὶ πόδες πάντες ἐκ

Digitized by Google

τούτων εἰσὶ σύνθετοι. ἁπλοῦς δὲ ῥυθμός, ἢ ποὺς, οὔτ' ἐλάττων ἐστὶ δυοῖν συλλαβῶν, οὔτε μείζων τριῶν. καὶ περὶ μὲν τούτων οὐκ οἶδα ὅ τι δεῖ πλείω λέγειν.

Numerorum vis et potestas.

XVIII. Ὧν δὲ ἕνεκα νῦν ὑπῆχθην ταῦτα προειπεῖν· οὐ γὰρ δὴ τηνάλλως γέ μοι προὔκειτο ῥυθμῶν τε καὶ μετρικῶν ἅπτεσθαι θεωρημάτων, ἀλλὰ τοῦ ἀναγκαίου ἕνεκα· ταῦτά ἐστιν, ὅτι διὰ τῶν γενναίων καὶ ἀξιωματικῶν καὶ μέγεθος ἐχόντων ῥυθμῶν ἀξιωματικὴ γίνεται σύνθεσις καὶ βεβαία καὶ μεγαλοπρεπής, διὰ δὲ τῶν ἀγενῶν καὶ ταπεινῶν ἀμεγέθης καὶ ἄσεμνος, ἐάν τε καθ' ἑαυτοὺς ἕκαστοι τούτων λαμβάνωνται τῶν ῥυθμῶν, ἐάν τ' ἀλλήλοις κατὰ τὰς ὁμοζυγίας συμπλέκωνται. εἰ μὲν οὖν ἔσται δύναμις ἐξ ἁπάντων τῶν κρατίστων ῥυθμῶν συνθεῖναι τὴν λέξιν, ἔχοι ἂν ἡμῖν κατ' εὐχήν· εἰ δ' ἀναγκαῖον εἴη μίσγειν τοῖς κρείττοσι τοὺς χείρονας, ὡς ἐπὶ πολλῶν γίνεται· τὰ γὰρ ὀνόματα ἔγκειται τοῖς πράγμασιν, ὡς ἔτυχεν· οἰκονομεῖν αὐτὰ χρὴ φιλοτέχνως, καὶ διακλέπτειν τῇ χάριτι τῆς συνθέσεως τὴν ἀνάγκην, ἄλλως τε καὶ πολλὴν τὴν ἄδειαν ἔχοντας. οὐδὲ γὰρ ἀπελαύνεται ῥυθμὸς σύδεὶς ἐκ τῆς ἀμέτρου λέξεως, ὥσπερ ἐκ τῆς ἐμμέτρου.

Μαρτύρια δὲ, ὧν εἴρηκα, παραθεῖναι λοιπόν, ἵνα μοι καὶ πίστιν ὁ λόγος λάβῃ. ἔστι δ' ὀλίγα περὶ πολλῶν. φέρε δὴ, τίς οὐκ ἂν ὁμολογήσειεν, ἀξιωματικῶς τε συγκεῖσθαι καὶ μεγαλοπρεπῶς τὴν Θουκυ-

Digitized by Google

δίδου λέξιν τὴν ἐν τῷ ἐπιταφίῳ ταύτην· „Οἱ μὲν „πολλοὶ τῶν ἐνθάδε ἤδη εἰρηκότων ἐπαινοῦσι τὸν „προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε, ὡς καλὸν ἐπὶ „τοῖς ἐκ τῶν πολέμων θαπτομένοις ἀγορεύεσθαι „αὐτόν.“ τί οὖν ἐστιν, ὃ πεποίηκε ταύτην μεγαλοπρεπῆ τὴν σύνθεσιν; τὸ ἐκ τοιούτων συγκεῖσθαι ῥυθμῶν τὰ κῶλα. τρεῖς μὲν γὰρ οἱ τοῦ πρώτου προηγούμενοι κώλου σπονδεῖοι πόδες εἰσίν· ὁ δὲ τέταρτος ἀνάπαιστος· ὁ δὲ μετὰ τοῦτον αὖθις σπονδεῖος· ἔπειτα κρητικός· ἅπαντες ἀξιωματικοί. καὶ τὸ μὲν πρῶτον αὐτῷ κῶλον διὰ ταῦτά ἐστι σεμνόν· τὸ δὲ ἑξῆς τοῦτο· „Ἐπαινοῦσι τὸν προσθέντα τῷ „νόμῳ τὸν λόγον τόνδε·“ ὅτι δύο μὲν ἔχει τοὺς πρώτους πόδας ὑποβακχείους, κρητικὸν δὲ τὸν τρίτον, εἶτ' αὖθις ὑποβακχείους δύο, καὶ συλλαβὴν, ὑφ' ἧς τελειοῦται τὸ κῶλον· ὥστ' εἰκότως σεμνόν ἐστι καὶ τοῦτο, ἐκ τῶν εὐγενεστάτων τε καὶ καλλίστων ῥυθμῶν συγκείμενον. τὸ δὲ δὴ τρίτον κῶλον· „Ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις „ἀγορεύεσθαι αὐτόν·“ ἄρχεται μὲν ἀπὸ τοῦ κρητικοῦ ποδός, δεύτερον δὲ λαμβάνει τὸν ἀνάπαιστον, καὶ τρίτον σπονδεῖον, καὶ τέταρτον αὖθις ἀνάπαιστον, εἶτα δύο τοὺς ἑξῆς δακτύλους, καὶ σπονδείους δύο τοὺς τελευταίους, εἶτα κατάληξιν. εὐγενὲς δὴ καὶ τοῦτο διὰ τοὺς πόδας γέγονε. τὰ πλεῖστα δέ ἐστι παρὰ Θουκυδίδῃ τοιαῦτα, μᾶλλον δ' ὀλίγα μὴ οὕτως ἔχοντα. ὥστ' εἰκότως ὑψηλὸς εἶναι δοκεῖ καὶ καλλιεπὴς καὶ εὐγενὴς, ὡς ἐλέγων τοὺς ῥυθμούς.

Digitized by Google

Τὴν δὲ δὴ Πλατωνικὴν λέξιν ταύτην, τίνι ποτὲ ἄλλῳ κοσμηθεῖσαν, οὕτως ἀξιωματικὴν εἶναι φαίη τις ἂν καὶ καλὴν, εἰ μὴ τῷ συγκεῖσθαι διὰ τῶν καλλίστων τε καὶ ἀξιολογωτάτων ῥυθμῶν; ἔστι γὰρ δὴ τῶν πάνυ φανερῶν καὶ περιβοήτων, ἧ κέχρηται ὁ ἀνὴρ κατὰ τὴν τοῦ ἐπιταφίου ἀρχήν· „Ἔργῳ μὲν „ἡμῖν οἷδ' ἔχουσι τὰ προσήκοντα σφίσιν αὐτοῖς· „ὧν τυχόντες, πορεύονται τὴν εἱμαρμένην πορείαν." ἐν τούτοις δύο μέν ἐστιν, ἃ συμπληροῖ τὴν περίοδον, κῶλα· ῥυθμοὶ δὲ, οἷ ταῦτα διαλαμβάνοντες, εἴδε· βακχεῖος μὲν ὁ πρῶτος· οὐ γὰρ δή γε ὡς ἴαμβον ἀξιώσαιμ' ἂν ἔγωγε τὸ κῶλον τοῦτο ῥυθμίζειν, ἐνθυμούμενος, ὅτι οὐκ ἐπιτροχαλοὺς καὶ ταχεῖς, ἀλλ' ἀναβεβλημένους καὶ βραδεῖς τοῖς οἰκτιζομένοις προσῆκεν ἀποδίδοσθαι τοὺς χρόνους· σπονδεῖος δὲ ἕτερος· ὁ δ' ἑξῆς δάκτυλος, διαιρουμένης τῆς συνάλοιφῆς· εἶτα μετὰ τοῦτον σπονδεῖος· ὁ δὲ ἑξῆς μᾶλλον κρητικὸς, ἢ ἀνάπαιστος· ἔπειθ', ὡς ἡ ἐμὴ δόξα, σπονδεῖος· ὁ δὲ τελευταῖος ὑποβάκχειος· εἰ δὲ βούλεταί τις, ἀνάπαιστος· εἶτα κατάληξις. τούτων τῶν ῥυθμῶν οὐδεὶς ταπεινὸς, οὐδεὶς ἀγενής. τοῦ δὲ ἑξῆς κώλου· „Ὧν τυχόντες πορεύονται τὴν εἱμαρμένην „πορείαν·" δύο μέν εἰσιν οἱ πρῶτοι πόδες κρητικοὶ, σπονδεῖοι δὲ οἱ μετὰ τούτους δύο· μεθ' οὓς αὖθις κρητικὸς, ἔπειτα τελευταῖος ὑποβάκχειος. ἀνάγκη δὴ, τὸν ἐξ ἁπάντων συγκείμενον καλῶν ῥυθμῶν καλὸν εἶναι λόγον. μυρία τοιαῦτά ἐστι καὶ παρὰ Πλάτωνι. ὁ γὰρ ἀνὴρ εὐμέλειάν τε καὶ εὐρυθμίαν συνιδεῖν δαιμονιώτατος· καὶ εἴ γε δεινὸς ἦν

Digitized by Google

οὗτος ἐκλέξαι τὰ ὀνόματα; ὡς συνθεῖναι περιττὸς, καί νύ κεν ἢ παρέλασσε τὸν Δημοσθένην κάλλους ἑρμηνείας εἵνεκεν, ἢ ἀμφήριστον ἔθηκε. νῦν δὲ δὴ περὶ μὲν τὴν ἐκλογὴν ἐστιν ἃ διαμαρτάνει, καὶ μάλιστα ἐν οἷς ἂν τὴν ὑψηλὴν καὶ περιττὴν καὶ ἐγκατάσκευον διώκει φράσιν· ὑπὲρ ὧν ἐτέρωθί μοι δηλοῦται. σαφέστερον δὲ συντίθησι τὰ ὀνόματα, καὶ ἡδέως, καὶ καλῶς νὴ Δία· καὶ οὐκ ἄν τις αὐτὸν ἔχοι κατὰ τοῦτο μέμψασθαι τὸ μέρος.

Ἑνὸς ἔτι παραθήσομαι λέξιν, ᾧ τὰ ἀριστεῖα τῆς ἐν λόγοις δεινότητος κατατίθωμι. ὅρος γὰρ δή τις ἐστὶν ἐκλογῆς τ' ὀνομάτων καὶ κάλλους συνθέσεως ὁ Δημοσθένης. ἐν δὴ τῷ περὶ τοῦ στεφάνου λόγῳ τρία μέν ἐστιν, ἃ τὴν πρώτην περίοδον συμπληροῖ, κῶλα· οἱ δὲ κατὰ ταῦτα καταμετροῦντες οἶδε εἰσὶν οἱ ῥυθμοί· „Πρῶτον μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς „θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις.“ ἄρχει δὲ τοῦδε τοῦ κώλου βακχεῖος ῥυθμός, ἔπειθ' ἕπεται σπονδεῖος, εἶτα ἀνάπαιστος, καὶ μετὰ τοῦτον ἕτερος σπονδεῖος, εἶθ' ἑξῆς κρητικοὶ τρεῖς, σπονδεῖος δὲ ὁ τελευταῖος. τοῦ δὲ δευτέρου κώλου τοῦδε· „Ὅσην „εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν „ὑμῖν·“ πρῶτος μὲν ὑποβάκχειός ἐστι πους, εἶτα βακχεῖος, εἰ δὲ βούλεταί τις δάκτυλος· ἔπειτα κρητικός· μεθ' οὓς εἰσι δύο σύνθετοι πόδες, οἱ καλούμενοι Παίονες· οἷς ἕπεται μολοττός, ἢ βακχεῖος· ἐγχωρεῖ γὰρ ἑκατέρους αὐτὸν διαιρεῖν· τελευταῖος δὲ ὁ σπονδεῖος. τοῦ δὲ τρίτου κώλου, τοῦ· „Το„σαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν

Digitized by Google

„ἀγῶνα·“ ἄρχουσι μὲν ὑποβάκχειοι δύο, ἔπειτα κρητικός, ᾧ συνῆπται σπονδεῖος· εἶτ᾽ αὖθις βακχεῖος, ἢ κρητικός, καὶ ὁ τελευταῖος πάλιν κρητικός, εἶτα κατάληξις. τί οὖν ἐκώλυε, καλὴν ἁρμονίαν εἶναι λέξεως, ἐν ᾗ μήτε πυρρίχιός ἐστι ποὺς, μήτ᾽ ἰαμβικός, μήτ᾽ ἀμφίβραχυς, μήτε τῶν χορείων, ἢ τῶν τροχαίων, μηδείς; καὶ οὐ λέγω τοῦτο, ὅτι τῶν ἀνδρῶν ἐκείνων ἕκαστος οὐ κέχρηταί ποτε καὶ τοῖς ἀγενεστέροις ῥυθμοῖς· κέχρηται γάρ· ἀλλ᾽ εὖ συγκεκρύφασιν αὐτοὺς καὶ συνυφάγκασι διαλαβόντες τοῖς κρείττοσι τοὺς χείρονας.

Οἷς δὲ μὴ ἐγένετο πρόνοια τούτου μέρους, οἱ μὲν ταπεινάς, οἱ δὲ κατακεκλασμένας, οἱ δ᾽ ἄλλην τινὰ αἰσχύνην, ἢ ἀμορφίαν, ἐχούσας ἐξήνεγκαν τὰς γραφάς. ὧν ἐστι πρῶτός τε καὶ τελευταῖος καὶ μέσος ὁ Μάγνης σοφιστὴς Ἡγησίας· ὑπὲρ οὗ, μὰ τὸν Δία καὶ τοὺς ἄλλους θεοὺς ἅπαντας, οὐκ οἶδ᾽, ὅ τι χρὴ λέγειν, πότερον τοσαύτη περὶ αὐτὸν ἦν ἀναισθησία καὶ παχύτης, ὥστε μὴ συνορᾶν, οἵτινές εἰσιν εὐγενεῖς, ἢ ἀγενεῖς ῥυθμοὶ, ἢ τοσαύτη θεοβλάβεια καὶ διαφθορὰ τῶν φρενῶν, ὥστ᾽ εἰδότα τοὺς κρείττους, ἔπειτα αἱρεῖσθαι τοὺς χείρονας; ὃ καὶ μᾶλλον πείθομαι. ἀγνοίας μὲν γάρ ἐστι καὶ τὸ κατορθοῦν πολλαχοῦ· προνοίας δὲ, τὸ μηδέποτε. ἐν γοῦν ταῖς τοσαύταις γραφαῖς, ἃς καταλέλοιπεν ὁ ἀνὴρ, μίαν οὐκ ἂν εὕροι τις σελίδα συγκειμένην εὐτυχῶς· ἔοικε δὲ ταῦτα ὑπολαβεῖν ἐκείνων κρείττω, καὶ μετὰ σπουδῆς αὐτὰ ποιεῖν, εἰς ἃ δι᾽ ἀνάγκην ἄν τις ἐμπεσὼν ἐν λόγῳ σχεδίῳ δι᾽ αἰσχύνης ἔθετο φρόνημα

Digitized by Google

ἔχων ἀνήρ. φήσω δὲ καὶ τούτου λέξιν ἐκ τῆς ἱστορίας, ἵνα σοὶ γένηται δῆλον ἐξ ἀντιπαραθέσεως, ὅσην μὲν ἀξίωσιν ἔχει τὸ εὐγενὲς ἐν ῥυθμοῖς, ὅσην δ' αἰσχύνην τὸ ἀγενές.

Τί δὲ ὁ λαμβάνει πρᾶγμα ὁ σοφιστής; τοιόνδε. Ἀλέξανδρος, πόλιορκῶν Γάζαν, χωρίον τι τῆς Συρίας πάνυ ἐχυρὸν, τραυματίας τε γίνεται κατὰ τὴν προσβολὴν, καὶ τὸ χωρίον αἱρεῖ χρόνῳ φερόμενος. ὁ δ' ὑπ' ὀργῆς τούς τ' ἐγκαταληφθέντας ἀποσφάττει πάντας, ἐπιτρέψας τοῖς Μακεδόσι τὸν ἐντυχόντα κτείνειν, καὶ τὸν ἡγεμόνα αὐτὸν αἰχμάλωτον λαβὼν, ἄνδρα ἐν ἀξιώματι καὶ τύχης καὶ εἴδους, ἐξ ἁρματείου δίφρου δῆσαι κελεύσας ζῶντα, καὶ τοὺς ἵππους ἐλαύνων ἀνὰ κράτος, ἐν τῇ πάντων ὄψει διαφθείρει τοῦτον. οὐκ ἂν ἔχοι τις εἰπεῖν δεινότερα πάθη, οὐδ' ὄψεις φοβερωτέρας. πῶς δὴ ταῦτα ἡρμήνευκεν ὁ σοφιστὴς, ἄξιον ἰδεῖν, πότερον σεμνῶς καὶ ὑψηλῶς, ἢ ταπεινῶς καὶ καταγελάστως; „Ὁ δὲ „βασιλεὺς ἔχων τὸ σύνταγμα προηγεῖτο, καί πως ἐβε„βούλευτο τῶν πολεμίων τοῖς ἀρίστοις ἅπασιν εἰσ„ιών. τοῦτο γὰρ ἔγνωστο, κρατήσασιν ἑνὸς, συνεκ„βάλλειν καὶ τὸ πλῆθος. ἡ μὲν οὖν ἐλπὶς αὕτη „συνέδραμεν εἰς τὸ τολμᾶν, ὥστ' Ἀλέξανδρον μηδέ„ποτε κινδυνεῦσαι πρότερον οὕτως. ἀνὴρ γὰρ τῶν „πολεμίων, εἰς γόνατα συγκαμφθεὶς, ἔδοξε τοῦτ' „Ἀλεξάνδρῳ τῆς ἱκετείας ἕνεκα πρᾶξαι. προέμενος „δ' ἐγγὺς μικρὸν ἐκνεύει τὸ ξίφος ἐνέγκαντος ὑπὸ „τὰ πτερύγια τοῦ θώρακος, ὥστε γενέσθαι καὶ τὴν „πληγὴν οὐ καιριωτάτην· ἄλλῳ τὸν μὲν αὐτὸς ἀπώ-

Digitized by Google

„λεσε, κατὰ κεφαλῆς τύπτων τῇ μαχαίρᾳ· τοὺς δ' „ἄλλους ὀργὴ πρόσφατος ἐπίμπρατο. οὕτω γὰρ „ἑκάστου τὸν ἔλεον ἐξέστησεν ἡ τοῦ τολμήσαντος „ἀπόνοια, τῶν μὲν ἰδόντων, τῶν δ' ἀπουσάντων, „ὥστε ἑξακισχιλίους ὑπὸ τὴν σάλπιγγα ἐκείνην τῶν „βαρβάρων κατακοπῆναι. τὸν μέντοι βασιλέα αὖ- „τὸν ἀπήγαγον ζῶντα Δεινάτος καὶ Φιλωτᾶς. ἰδὼν „δὲ πολύσαρκον, καὶ μέγαν, ὡς βδελυρώτατον· μέ- „λας γὰρ ἦν καὶ τὸ χρῶμα· μισήσας ἐφ' οἷς ἐβεβού- „λευτο, καὶ τὸ εἶδος, ἐκέλευσε διὰ τῶν ποδῶν χαλ- „κοῦν ψαλλίον διείραντας, ἕλκειν κύκλῳ γυμνόν. „πιλούμενος δὲ κακοῖς περὶ πολλὰς τραχύτητας „ἔκραζεν. αὐτὸ δ' ἦν, ὃ λέγω, τὸ συνάχον ἀνθρώ- „που. ἐπέτεινε μὲν γὰρ ὁ πόνος, βάρβαρον δ' ἐβόα „δεσπότην, καὶ ἱκετεύων· γελᾶν δὲ ὁ σολοικισμὸς „ἐποίει. τὸ δὲ στέαρ καὶ τὸ κύτος τῆς γαστρὸς ἐνέ- „φαινε Βαβυλώνιον ζῶον ἕτερον ἀδρόν. ὁ μὲν οὖν „ὄχλος ἐνέπαιζε, στρατιωτικὴν ὕβριν ὑβρίζων εἰδε- „χθῆ καὶ τῷ τρόπῳ σκαιὸν ἐχθρόν."

Ἀρά γε ὅμοια ταῦτά ἐστι τοῖς Ὁμηρικοῖς ἐκεί- νοις, ἐν οἷς Ἀχιλλεὺς ἐστιν αἰκιζόμενος Ἕκτορα με- τὰ τὴν τελευτήν; καίτοιγε πάθος ἐκείνου ἔλαττον· εἰς ἀναίσθητον γὰρ σῶμα ἡ ὕβρις· ἀλλ' ὅμως ἄξιόν ἐστιν ἰδεῖν, πόσῳ διενήνοχεν ὁ ποιητὴς τοῦ σοφιστοῦ.

Ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα·
Ἀμφοτέρων μετόπισθε ποδῶν τέτρηνε τένοντας
Ἐς σφυρὸν ἐκ πτέρνης, βοέους δ' ἐξῆπτεν ἱμάντας,
Ἐκ δίφροιο δ' ἔδησε· κάρη δ' ἕλκεσθαι ἔασεν.

Digitized by Google

ὥστε ἐν ὀλίγοις τοῖς κώλοις οὐ πολλὰς εἰσῆγον τὰς μεταβολάς, ἐπῳδοῖς τε πάνυ ἐχρῶντο ὀλίγαις· οἳ δὲ περὶ Στησίχορόν τε καὶ Πίνδαρον, μείζους ἐργασάμενοι τὰς περιόδους, εἰς πολλὰ μέτρα καὶ κῶλα διένειμαν αὐτάς, οὐκ ἄλλου τινὸς, ἢ τῆς μεταβολῆς, ἕρωτι. οἱ δέ γε Διθυραμβοποιοὶ καὶ τοὺς τρόπους μετέβαλλον, Δωρίους τε καὶ Φρυγίους καὶ Λυδίους ἐν τῷ ᾄδματι ποιοῦντες· καὶ τὰς μελῳδίας ἐξήλλαττον, τοτὲ μὲν ἐναρμονίους ποιοῦντες, τοτὲ δὲ χρωματικὰς, τοτὲ δὲ διατόνους· καὶ τοῖς ῥυθμοῖς κατὰ πολλὴν ἄδειαν ἐνεξουσιάζοντες διετέλουν· σί γε δὴ κατὰ Φιλόξενον καὶ Τιμόθεον καὶ Τελέστην· ἐπεὶ παρά γε τοῖς ἀρχαίοις τεταγμένος ἦν ὁ Διθύραμβος. ἡ δὲ πεζὴ λέξις ἅπασαν ἐλευθερίαν ἔχει καὶ ἄδειαν ποικίλλειν ταῖς μεταβολαῖς τὴν σύνθεσιν, ὅπως βούλεται.

Quae dictio praestantissima haberi debeat.

Καὶ ἔστι λέξις κρατίστη πασῶν, ἥτις ἂν ἔχοι πλείστας ἀναπαύλας τε καὶ μεταβολὰς ἁρμονίας, ὅταν τουτὶ μὲν ἐν περιόδῳ λέγηται, τουτὶ δ' ἔξω περιόδου· καὶ ἥδε μὲν ἡ περίοδος ἐκ πλειόνων πλέκηται κώλων, ἥδε δ' ἐξ ἐλαττόνων· αὐτῶν δὲ τῶν κώλων τὸ μὲν βραχύτερον ᾖ, τὸ δὲ μακρότερον· καὶ τὸ μὲν αὐτῶν ὀργότερον, τὸ δὲ βραδύτερον, τὸ δ' ἀκριβέστερον· ῥυθμοί τ' ἄλλοι, καὶ σχήματα παντοῖα, καὶ τάσεις φωνῆς αἱ καλούμεναι προσῳδίαι διάφοροι, κλέπτουσαι τῇ ποικιλίᾳ τὸν κόρον. ἔχει δέ τινα χάριν ἐν τοῖς τοιούτοις καὶ τὸ οὕτω

Digitized by Google

συγκείμενον, ὥστε μὴ συγκεῖσθαι δοκεῖν. οὐ πολλῶν δ' οἶομαι δεῖν λόγων εἰς τοῦτο τὸ μέρος· ὅτι γὰρ ἥδιστόν τε καὶ κάλλιστον ἐν λόγοις ἡ μεταβολή, πάντας εἰδέναι πείθομαι. παράδειγμα δ' αὐτῆς ποιοῦμαι πᾶσαν μὲν τὴν Ἡροδότου λέξιν, πᾶσαν δὲ τὴν Πλάτωνος, πᾶσαν δὲ τὴν Δημοσθένους· ἀμήχανον γὰρ εὑρεῖν τούτων ἑτέρους ἐπεισοδίοις τε πλείοσι, καὶ ποικιλίαις εὐροωτέραις, καὶ σχήμασι πολυειδεστέροις χρησαμένους· λέγω δὲ τὸν μέν, ὡς ἐν ἱστορίας σχηματισμῷ· τὸν δὲ, ὡς ἐν διαλόγων χάριτι· τὸν δὲ, ὡς ἐν λόγων ἐναγωνίων χρείᾳ. ἀλλ' οὐχ ἥ γ' Ἰσοκράτους καὶ τῶν ἐκείνῳ γνωρίμων αἵρεσις ὁμοία ταύταις ἦν· ἀλλὰ καίπερ ἡδέως καὶ μεγαλοπρεπῶς πολλὰ συνθέντες οἱ ἄνδρες οὗτοι, περὶ τὰς μεταβολὰς καὶ τὴν ποικιλίαν οὐ πάνυ εὐτυχοῦσιν· ἀλλ' ἔστι παρ' αὐτοῖς εἷς περιόδου κύκλος, ὁμοειδὴς σχημάτων τάξις, συμπλοκὴ φωνηέντων ἡ αὐτή· ἄλλα πολλὰ τοιαῦτα κόπτοντα τὴν ἀκρόασιν. οὐ δὴ ἀποδέχομαι τὴν αἵρεσιν ἐκείνην κατὰ τοῦτο τὸ μέρος. καὶ αὐτῷ μὲν ἴσως τῷ Ἰσοκράτει πολλαὶ χάριτες ἐπήνθουν ταύτην ἐπικρύπτουσαι τὴν ἀμορφίαν· παρὰ δὲ τοῖς μετ' ἐκεῖνον ἀπ' ἐλαττόνων τῶν ἄλλων κατορθωμάτων περιφανέστερον γίνεται τοῦτο τὸ ἁμάρτημα.

Quibus modis decora fiat orationis structura.

XX. Εἷς ἔτι μοι καταλείπεται λόγος ὁ περὶ τοῦ πρέποντος. ὡς γὰρ τοῖς ἄλλοις σχήμασιν ἅπασι παρεῖναι δεῖ τὸ πρέπον· καὶ εἴ τι ἄλλο ἔργον ἀτυ-

Digitized by Google

χεῖ τούτου τοῦ μέρους, εἰ καὶ μὴ τοῦ παντός, τοῦ κρατίστου γ' ἀτυχεῖ. περὶ μὲν οὖν ὅλης τῆς ἰδέας ταύτης οὐχ οὗτος ὁ καιρὸς ἀνασκοπεῖν· βαθεῖα γάρ τις αὕτη καὶ πολλῶν πάνυ δεομένη λόγων ἡ θεωρία. ὅσα δ' εἰς τοῦτο συντείνει τὸ μέρος, ὑπὲρ οὗ τυγχάνω ποιούμενος τὸν λόγον, εἰ μὴ καὶ τὰ πάντα, μηδὲ τὰ πλεῖστα, ὅσα γ' οὖν ἐγχωρεῖ, λεγέσθω.

Ὁμολογουμένου δὴ παρὰ πᾶσιν, ὅτι πρέπον ἐστὶ τὸ τοῖς ὑποκειμένοις ἁρμόζον προσώποις τε καὶ πράγμασιν, ὥσπερ ἡ ἐκλογὴ τῶν ὀνομάτων, ἡ μέν τις ἂν εἴη πρέπουσα τοῖς ὑποκειμένοις, ἡ δ' ἀπρεπής, οὕτω δή που καὶ ἡ σύνθεσις. παράδειγμα δὲ τούτου χρὴ παραλαμβάνειν τὴν ἀλήθειαν. ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν· οὐχ ὁμοίᾳ συνθέσει χρώμεθα ὀργιζόμενοι καὶ χαίροντες, οὐδ' ὀλοφυρόμενοι καὶ φυβούμενοι, οὐδ' ἐν ἄλλῳ τινὶ πάθει, ἢ κακῷ ὄντες, ὥσπερ ὅταν ἐνθυμώμεθα, καὶ μηδὲν ἡμᾶς ὅλως ταράττῃ, μηδὲ παραλυπῇ. δείγματος, ἢ παραδείγματος ἕνεκα ταῦτα εἴρηκα ὀλίγα περὶ πολλῶν, ἐπεὶ μυρία ὅσα τις αἰτία εἰπεῖν ἔχοι, τὰς ἰδέας ἁπάσας ἐκλογίζεσθαι βουλόμενος τοῦ πρέποντος. ἓν δέ, ὃ προχειρότατον ἔχω καὶ κοινότατον εἰπεῖν ὑπὲρ αὐτοῦ, τοῦτο ἐρῶ. οἱ αὐτοὶ ἄνθρωποι ἐν τῇ αὐτῇ καταστάσει τῆς ψυχῆς ὄντες, ὅταν ἀπαγγέλλωσι τὰ πράγματα, οἷς ἂν παραγενόμενοι τύχωσιν, οὐχ ὁμοίᾳ χρῶνται συνθέσει περὶ πάντων, ἀλλὰ μιμητικοὶ γίνονται τῶν ἀπαγγελλομένων, καὶ ἐν τῷ συντιθέναι τὰ ὀνόματα οὐδὲν ἐπιτηδεύοντες, ἀλλὰ

Digitized by Google

φυσικῶς ἐπὶ τοῦτο ἀγόμενοι. ταῦτα δὲ παρατηροῦντα δεῖ τὸν ἀγαθὸν ποιητήν τε καὶ ῥήτορα μιμητικὸν εἶναι τῶν πραγμάτων, ὑπὲρ ὧν ἂν τοὺς λόγους ἐκφέρῃ, μὴ μόνον κατὰ τὴν ἐκλογὴν τῶν ὀνομάτων, ἀλλὰ καὶ κατὰ τὴν σύνθεσιν. ὃ ποιεῖν εἰώθει ὁ δαιμονιώτατος Ὅμηρος, καίτοι μέτρον ἔχων ἓν, καὶ ῥυθμοὺς ὀλίγους, ἀλλ' ὅμως ἀεί τι καινουργῶν ἐν τούτοις καὶ φιλοτεχνῶν· ὥστε μηδὲν ἡμῖν διαφέρειν γινόμενα τὰ πράγματα, ἢ λεγόμενα ὁρᾶν. ἐρῶ δ' ὀλίγα, οἷς ἄν τις δύναιτο παραδείγμασι χρῆσθαι ἐπὶ πολλῶν.

Ἀπαγγέλλων οὖν πρὸς τοὺς Φαίακας Ὀδυσσεὺς τὴν ἑαυτοῦ πλάνην, καὶ τὴν εἰς ᾅδου κατάβασιν εἰπών, τὰς ὕψεις τῶν ἐκεῖ κακῶν ἀποδίδωσιν. ἐν δὲ τούτοις καὶ τὰ περὶ τὸν Σίσυφον διηγεῖται πάθη, ᾧ φασι τοὺς καταχθονίους θεοὺς ὅρον πεποιῆσθαι τῆς τῶν δεινῶν ἀπαλλαγῆς, ὅταν ὑπὲρ ὄχθου τινὸς ἀνακυλίσῃ πέτρον τινά· τοῦτο δ' ἀμήχανον εἶναι, καταπίπτοντος, ὅταν εἰς ἄκρον ἔλθῃ, πάλιν τοῦ πέτρου. πῶς οὖν δηλώσει ταῦτα μιμητικῶς, καὶ κατ' αὐτὴν τὴν σύνθεσιν τῶν ὀνομάτων, ἄξιον ἰδεῖν.

Καὶ μὴν Σίσυφον εἰσεῖδον κρατέῳ ἄλγε' ἔχοντα,
Λᾶαν βαστάζοντα πελώριον ἀμφοτέρῃσιν.
Ἦτοι ὁ μὲν σκηριπτόμενος χερσίν τε ποσίν τε,
Λᾶαν ἄνω ὤθεσκε ποτὶ λόφον. —

ἐνταῦθα ἡ σύνθεσίς ἐστιν ἡ δηλοῦσα τῶν γινομένων ἕκαστον, τὸ βάρος τοῦ πέτρου, τὴν ἐπίπονον ἐκ τῆς γῆς κίνησιν, τὸν διερειδόμενον τοῖς κώλοις, τὸν ἀναβαίνοντα πρὸς τὸν ὄχθον, τὴν μόγις ἀνω-

Digitized by Google

θουμένην πέτραν. οὐδεὶς ἂν ἄλλως εἴποι, παρὰ τί γέγονε τούτων ἕκαστον· οὐ γὰρ εἰκῇ, οὐδ' ἀπὸ ταὐτομάτου. πρῶτον μὲν τοῖς δυσὶ στίχοις, ἐν οἷς ἀνακινεῖ τὴν πέτραν, ἔξω δυοῖν ῥημάτων τὰ λοιπὰ τῆς λέξεως μόρια πάντα ἐστὶν ἤτοι δισύλλαβα, ἢ μονοσύλλαβά· ἔπειτα ἡμίσει πλείους εἰσὶν αἱ μακραὶ συλλαβαὶ τῶν βραχειῶν ἐν ἑκατέρῳ τῶν στίχων· ἔπειθ' ἅπασαι διαβεβήκασιν αἱ τῶν ὀνομάτων ἁρμονίαι διαβάσεις εὐμεγέθεις, καὶ διεστήκασι πάνυ αἰσθητῶς, ἢ τῶν φωνηέντων συγκρουομένων, ἢ τῶν ἡμιφώνων τε καὶ ἀφώνων συναπτομένων· ῥυθμοῖς τε καὶ δακτύλοις καὶ σπονδείοις τοῖς μηκίστοις, καὶ πλείστην ἔχουσι διάβασιν, ἅπαντα σύγκειται. τί δὴ τούτων ἕκαστον δύναται; αἱ μὲν μονοσύλλαβοί τε καὶ δισύλλαβοι λέξεις, πολλοὺς μεταξὺ χρόνους ἀλλήλων ἀπολείπουσαι, τὸ χρόνιον ἐμιμήσαντο τοῦ ἔργου· αἱ δὲ μακραὶ συλλαβαὶ, στηριγμούς τινας ἔχουσαι καὶ ἐγκαθίσματα, τὴν ἀντιτυπίαν, καὶ τὸ βαρὺ, καὶ τὸ μόγις· τὸ δὲ μεταξὺ τῶν ὀνομάτων ψύγμα, καὶ ἡ τῶν τραχυνόντων γραμμάτων παράθεσις, τὰ διαλείμματα τῆς ἐνεργείας, ἐποχάς τε καὶ τοῦ μόχθου μέγεθος· οἱ ῥυθμοὶ δ' ἐν μήκει θεωρούμενοι, τὴν ἔπτασιν τῶν μελῶν, καὶ τὸν διελκυσμὸν τοῦ κυλίοντος, καὶ τὴν τοῦ πέτρου ἔρεισιν· καὶ ὅτι ταῦτ' οὐ φύσεώς ἐστιν αὐτοματιζούσης ἔργα, ἀλλὰ τέχνης μιμήσασθαι τὰ γινόμενα πειρωμένης, τὰ τούτοις ἑξῆς λεγόμενα δηλοῖ. τὸν γὰρ ἀπὸ τῆς κορυφῆς ἐπιστρέφοντα πάλιν καὶ κατακυλιόμενον πέτρον οὐ τὸν αὐτὸν ἡρμήνευκε

Digitized by Google

τρόπον, ἀλλ' ἐπιταχύνας τέ καὶ συστρέψας τὴν σύνθεσιν. προειπὼν γὰρ ἐν τῷ αὐτῷ σχήματι·

— ἀλλ' ὅτε μέλλοι
Ἄκρον ὑπερβαλέειν —·

ἐπιτίθησι τοῦτῳ·

— τότ' ἀποστρέψασκε κραταιὸς ἵς.

Μῦθις ἔπειτα πέδονδε κυλίνδετο λᾶας ἀναιδής.

οὐχὶ συγκατακεκύλισται τῷ βάρει τῆς πέτρας ἡ τῶν ὀνομάτων σύνθεσις, μᾶλλον δ' ἔφθακε τὴν τοῦ λίθου φορὰν τὸ τῆς ἀπαγγελίας τάχος; ἔμοιγε δοκεῖ. καὶ τίς ἐνταῦθα πάλιν αἰτία; καὶ γὰρ ταύτην ἄξιον εἰδεῖν· ὃ τὴν καταφορὰν δηλῶν τοῦ πέτρου στίχος μονοσύλλαβον μὲν οὐδεμίαν, δισυλλάβους δὲ δύο μόνας ἔχων λέξεις. τοῦτ' οὐκ ἐξ πρῶτον διεστηκέναι τοὺς χρόνους, ἀλλ' ἐπιταχύνει· ἔπειθ' ἑπτακαίδεκα συλλαβῶν οὐσῶν ἐν τῷ στίχῳ, δέκα μέν εἰσι βραχεῖαι συλλαβαὶ, ἑπτὰ δὲ μόναι μακραὶ, καὶ οὐδ' αὗται τέλειοι. ἀνάγκη οὖν κατεσπάσθαι καὶ συστέλλεσθαι τὴν φράσιν τῇ βραχύτητι τῶν συλλαβῶν ἑφελκομένην. ἔτι πρὸς τούτοις οὐδ' ὄνυμα ἀπ' ὀνόματος ἀξιόλογον εἴληφε διάστασιν· οὔτε γὰρ φωνήεντι φωνῆεν, οὔτε ἡμιφώνῳ ἡμίφωνον, ἢ ἄφωνον [γίνεται,] ἃ τραχύνειν πέφυκε καὶ διϊστάνειν τὰς ἁρμονίας, οὐδέν ἐστι παρακείμενον. οὐ δὴ διάστασις αἰσθητὴ, μὴ διηρτημένων τῶν λέξεων, ἀλλὰ συνολισθαίνουσιν ἀλλήλαις καὶ συγκαταφέρονται, καὶ τρόπον τινὰ μία ἐξ ἁπασῶν γίνεται διὰ τὴν τῶν ἁρμονιῶν ἀκρίβειαν. ὃ δὲ μάλιστα τῶν ἄλλων θαυμάζειν ἄξιον, ῥυθμὸς οὐδεὶς τῶν μακρῶν, οἳ φύ-

Digitized by Google

σιν ἔχουσι πίπτειν εἰς μέτρον ἡρῷον, οὔτε σπονδεῖος, οὔτε βακχεῖος, ἐγκαταμέμικται τῷ στίχῳ, πλὴν ἐπὶ τῆς τελευτῆς· οἱ δ' ἄλλοι πάντες εἰσὶ θάκτυλοι, καὶ οὗτοί γε παραδεδιωγμένας ἔχοντες τὰς ἀλόγους, ὥστε μὴ πολὺ διαφέρειν ἐνίους τῶν τροχαίων. οὐδὲν δὴ τὸ ἀντιπράττον ἐστὶν, εὔτροχον καὶ περιφερῆ καὶ καταῤῥέουσαν εἶναι τὴν φράσιν ἐκ τοιούτων συγκεκροτημένην ῥυθμῶν.

Πολλά τις ἂν ἔχοι τοιαῦτα δεῖξαι παρ' Ὁμήρῳ λεγόμενα· ἐμοὶ δ' ἀποχρῆν ἐδόκει ταῦθ', ἵνα ἐγγένηταί μοι καὶ περὶ τῶν ἄλλων εἰπεῖν. ὧν μὲν οὖν δεῖ στοχάζεσθαι τοὺς μέλλοντας καλὴν καὶ ἡδεῖαν ποιήσειν σύνθεσιν ἔν τε ποιητικῇ καὶ λόγοις ἀμέτροις, ταῦτα κατ' ἐμὴν δόξαν ἐστὶ, τά γ' οὖν κυριώτατα καὶ κράτιστα. ὅσα δ' οὐχ οἷά τ' ἦν, ἐλάττω τ' ὄντα τούτων, καὶ ἀμυδρότερα, καὶ διὰ πλῆθος δυσπερίληπτα γραφῇ, ταῦτ' ἐν ταῖς καθ' ἡμέραν γυμνασίαις προϋποθήσομαί σοι, καὶ πολλῶν καὶ ἀγαθῶν ποιητῶν τε καὶ συγγραφέων καὶ ῥητόρων μαρτυρίαις χρήσομαι. νῦν δὲ τὰ καταλειπόμενα, ὧν ὑπεσχόμην, καὶ οὐδενὸς ἧττον ἀναγκαῖα εἰρῆσθαι, ταῦτ' ἔτι προσθεὶς τῷ λόγῳ, παύσομαι· „Τίνες εἰσὶ διαφοραὶ τῆς συνθέσεως, καὶ τίς ἑκά„στης χαρακτὴρ ὡς ἐπὶ τὸ πολὺ, τῶν τε πρωτευσάν„των ἐν αὐταῖς μνησθῆναι, καὶ δείγματα ἑκάστου „παρασχεῖν. ὅταν δὲ ταῦτα λάβῃ μοι τέλος, τότε „κἀκεῖνα διευκρινήσω, τὰ παρὰ πολλοῖς ἀπορούμε„να, τί ποτ' ἐστὶν, ὃ ποιεῖ τὴν πεζὴν λέξιν ὁμοίαν „ποιήματι φαίνεσθαι, μένουσαν ἐν τῷ τοῦ λόγου

Digitized by Google

„σχήματι, τὴν δὲ ποιητικὴν φράσιν ἐμφερῆ τῷ πε„ζῷ λόγῳ, φυλάττουσάν τὴν ποιητικὴν σεμνότητα.“ σχεδὸν γὰρ οἱ κράτιστα διαλεχθέντες, ἢ ποιήσαντες, ταῦτα ἔχουσιν ἐν τῇ λέξει τὰ ἀγαθά. πειρατέον δὴ καὶ περὶ τούτων, ἃ φρονῶ, λέγειν. ἄρξομαι δ' ἀπὸ τοῦ πρώτου.

Quae sint compositionis differentiae.

XXI. Ἐγὼ τῆς συνθέσεως εἰδικὰς μὲν πολλὰς διαφορὰς σφόδρα εἶναι τίθεμαι, καὶ οὔτ' εἰς σύνοψιν ἐλθεῖν δυναμένας, οὔτ' εἰς λογισμὸν ἀκριβῆ. οἶομαί τ' ἴδιον ἡμῶν ἑκάστῳ χαρακτῆρα, ὥσπερ ὄψεως, οὕτω καὶ συνθέσεως ὀνομάτων παρακολουθεῖν, οὐ φαύλως παραδείγματι χρώμενος ζωγραφίᾳ. ὥσπερ γὰρ ἐν ἐκείνῃ τὰ αὐτὰ φάρμακα λαμβάνοντες ἅπαντες οἱ τὰ ζῶα γράφοντες, οὐδὲν ἐοικότα ποιοῦσιν ἀλλήλοις τὰ μίγματα, τὸν αὐτὸν τρόπον ἐν ποιητικῇ τε διαλέκτῳ καὶ τῇ ἄλλῃ ἁπάσῃ τοῖς αὐτοῖς ὀνόμασι χρώμενοι πάντες, οὐχ ὁμοίως αὐτὰ συντίθεμεν. τὰς μέντοι γενικὰς αὐτῆς διαφορὰς ταύτας εἶναι πείθομαι τὰς τρεῖς, αἷς ὁ βουλόμενος ὀνόματα θήσεται τὰ οἰκεῖα, ἐπειδὰν τούς τε χαρακτῆρας αὐτῶν, καὶ τὰς διαφορὰς ἀκούσῃ. ἐγὼ μέντοι κυρίοις ὀνόμασιν οὐκ ἔχων αὐτὰς προσαγορεῦσαι, ὡς ἀκατονομάστους, μεταφορικοῖς ὀνόμασι καλῶ, τὴν μὲν αὐστηράν, τὴν δὲ γλαφυράν, ἢ ἀνθηράν, τὴν δὲ τρίτην κοινήν. ἣν ὅπως ποτὲ γίνεσθαι φαίην ἂν ἔγωγε, ἀπορῶ, καὶ δίχα μοι νόος ἀτρέκειαν εἰπεῖν, εἴτε κατὰ τὴν στέρησιν τῶν ἄκρων

Digitized by Google

ἑκατέρας, εἴτε κατὰ μῆξιν· οὐ γὰρ ῥᾴδιον εἰκάσαι τὸ σαφές. μή ποτ' οὖν κρεῖττον ἢ λέγειν, ὅτι κατὰ τὴν ἄνεσίν τε καὶ τὴν ἐπίτασιν τῶν ἐσχάτων ὅρων, οἱ διὰ μέσου γίνονται πολλοὶ πάνυ ὄντες; οὐ γὰρ ὥσπερ ἐν μουσικῇ τὸ ἴσον ἀπέχει τῆς νεάτης καὶ ὑπάτης ἡ μέση, τὸν αὐτὸν τρόπον καὶ ἐν λόγοις ὁ μέσος ἑκατέρου τῶν ἄκρων ἴσον ἀφέστηκεν· ἀλλ' ἔστι τῶν ἐν πλάτει θεωρουμένων, ὡς ἀγέλη τε καὶ σωρὸς καὶ ἄλλα πολλά. ἀλλὰ γὰρ οὐχ οὗτος ὁ καιρὸς ἁρμόττων τῇ θεωρίᾳ ταύτῃ· λεκτέον δ', ὡς ὑπεθέμην, περὶ τῶν χαρακτήρων οὐχ ἅπαντ' ὅσα εἰπεῖν ἔχοιμι· μακρῶν γὰρ ἂν οἶμαι πάνυ δεήσειν λόγων· ἀλλ' αὐτὰ τὰ φανερώτατα.

Qui sit austerae compositionis character.

XXII. Τῆς μὲν οὖν αὐστηρᾶς ἁρμονίας τοιόσδε [καὶ] ὁ χαρακτήρ. ἐρείδεσθαι βούλεται τὰ ὀνόματα ἀσφαλῶς, καὶ στάσεις λαμβάνειν ἰσχυράς, ὥστ' ἐκ περιφανείας ἕκαστον ὄνομα ὁρᾶσθαι, ἀπέχειν τ' ἀπ' ἀλλήλων τὰ μόρια διαστάσεις ἀξιολόγους αἰσθητοῖς χρόνοις διειργόμενα· τραχείαις τε χρῆσθαι πολλαχῇ καὶ ἀντιτύποις ταῖς συμβολαῖς, οὐδὲν αὐτῇ διαφέρει, οἷον γίνονται τῶν λογάδην συντιθεμένων ἐν οἰκοδομίαις λίθων αἱ μήτ' εὐγώνιοι, μήτε συνεξεσμέναι βάσεις, ἀργαὶ δέ τινες καὶ αὐτοσχέδιοι· μεγάλοις τε καὶ διαβεβηκόσιν εἰς πλάτος ὀνόμασιν ὡς τὰ πολλὰ μηκύνεσθαι φιλεῖ. τὰ γὰρ ἐκ βραχείας συλλαβῆς συνάγεσθαι, πολέμιον αὐτῇ, πλὴν εἴ ποτε ἀνάγκη βιάζοιτο.

Digitized by Google

Ἐν μὲν δὴ τοῖς ὀνόμασι ταῦτα πειρᾶται διώκειν, καὶ τούτων γλίχεται· ἐν δὲ τοῖς κώλοις ταῦτά τ' οὐχ ἧττον ἐπιτηδεύει, καὶ τοὺς ῥυθμοὺς τοὺς ἀξιωματικοὺς καὶ τοὺς μεγαλοπρεπεῖς ἐκλέγεται, καὶ οὔτε πάρισα βούλεται τὰ κῶλα ἀλλήλοις εἶναι, οὔτε παρόμοια, οὔτ' ἀναγκαίᾳ δουλεύοντα ἀκολουθίᾳ, ἀλλ' εὐγενῆ καὶ ἁπλᾶ καὶ ἐλεύθερα. φύσει τ' ἐοικέναι μᾶλλον αὐτὰ βούλεται, ἢ τέχνῃ, καὶ κατὰ πάθος λέγεσθαι μᾶλλον, ἢ κατ' ἦθος. περιόδους δὲ συντιθέναι συναρτιζούσας τὸν νοῦν τὰ πολλὰ μὲν οὔτε βούλεται· εἰ δέ ποτε αὐτομάτως ἐπὶ τοῦτο κατενεχθείη, τὸ ἀνεπιτήδευτον ἐμφαίνειν ἐθέλει καὶ ἀφελές· οὔτε προσθήκαις τισὶν ὀνομάτων, ἵνα ὁ κύκλος ἐκπληρωθῇ, μηδὲν ὠφελούσαις τὸν νοῦν χρωμένη, οὔθ' ὅπως αἱ βάσεις αὐτῶν γένοιντο θεατρικαί τινες, ἢ γλαφυραὶ, σπουδὴν ἔχουσα· οὐδ' ἵνα τῷ πνεύματι τοῦ λέγοντος ὦσιν αὐτάρκεις συμμετρούμεναι μὰ Δία. οὐδ' ἄλλην πραγματείαν τοιαύτην ἐπιτηδεύει, οὐδ' ἐπὶ τῆς τοιαύτης ἁρμονίας, κατὰ ταῦτα δὲ πτώσεις, ποικίλη περὶ τοὺς σχηματισμούς, ὀλιγοσύνδεσμος, ἄναρθρος, ἐν πολλοῖς ὑπεροπτικὴ τῆς ἀκολουθίας, ἥκιστα ἀνθηρὰ, μεγαλόφρων, αὐθέκαστος, ἀκόμψευτος, τὸν ἀρχαϊσμὸν καὶ τὸ πῖσυν ἔχουσα κάλλος.

Ταύτης δὲ τῆς ἁρμονίας πολλοὶ μὲν ἐγένοντο ζηλωταὶ κατά τε ποίησιν καὶ ἱστορίαν καὶ λόγους πολιτικοὺς, διαφέροντες δὲ τῶν ἄλλων, ἐν μὲν ἐπικῇ ποιήσει ὅ τε Κολοφώνιος Ἀντίμαχος καὶ Ἐμπεδοκλῆς ὁ φυσικός· ἐν δὲ μελοποιΐᾳ Πίνδαρος· ἐν δὲ τραγῳδίᾳ Αἰσχύλος· ἐν δ' ἱστορίᾳ Θουκυδίδης. ἐν

Digitized by Google

δὲ πολιτικοῖς λόγοις Ἀντιφῶν. ἐνταῦθα ἡ μὲν ὑπόθεσις ἀπήτει πολλὰ παρασχέσθαι τῶν εἰρημένων ἑκάστου παραδείγματα, καὶ ἴσως οὐκ ἂν ἀηδὴς ὁ λόγος ἐγένετο, πολλοῖς ὥσπερ ἄνθεσι ποικιλλόμενος ἑαρινοῖς· ἀλλ' ὑπέρμετρον ἔμελλε φανήσεσθαι τὸ σύνταγμα, καὶ σχολικὸν μᾶλλον, ἢ παραγγελτικόν. οὐ μὲν δὴ ἀνέλεγκτα παραλιπεῖν τὰ ῥηθέντα ἥρμοττεν, ὡς δὴ φανερὰ καὶ οὐ δεόμενα μαρτυρίας. ἔδει δέ πως τὸ μέτριον ἀμφοῖν λαβεῖν, καὶ μήτε πλεονάσαι τοῦ καιροῦ, μήτ' ἐλλιπεῖν τῆς πίστεως. τοῦτο δὴ πειράσομαι ποιῆσαι, δείγματα λαβὼν ὀλίγα παρὰ τῶν ἐπιφανεστάτων ἀνδρῶν. ποιητῶν μὲν οὖν Πίνδαρος ἀρκέσει παρακληθείς, συγγραφέων δὲ Θουκυδίδης· κράτιστοι γὰρ οὗτοι ποιηταὶ τῆς αὐστηρᾶς ἁρμονίας. ἀρχέτω δὲ Πίνδαρος, καὶ τούτου διθύραμβός τις, οὗ ἐστιν ἀρχή· „Δεῦτ' ἐν „χορόν, Ὀλύμπιοι, ἐπί τε κλυτὰν πέμπετε χάριν, „θεοί· πολύβατον αἵ τ' ἄστεος ὀμφαλὸν θυόεντα ἐν „ταῖς ἱεραῖς Ἀθήναις οἰχνεῖτε, παῖ Δαίδαλόν τ' εὐκλεᾶ „ἀγοράν. ἰοδέτων λάβετε στεφάνων τῶν ἑαριδρέπτων „λοιβάν. Διόθεν τέ με σὺν Ἀγλαΐᾳ ἴδετε, πορευ„θέντες ἀοιδαῖς δεύτερον ἐπὶ κισσοδέται θεὸν, ὃν „Βρόμιον, ὃν Ἐριβόαν βροτοὶ καλέομεν· γόνον „ὑπάτων τε πατέρων μέλπομεν, γυναικῶν τε Καδ„μείαν Σεμέλαν. ἐν Ἀργείᾳ Νεμέᾳ μέντιν οὐ λαν„θάνει φοίνικος ἔρνος, ἁπόταν, οἰχθέντος Ὡρᾶν θα„λάμου, εὔοδμον ἐπαΐωσιν ἔαρ φυτὰ νεκτάρεα. „τότε βάλλεται, τότε ἐπ' ἄμβροτον χέρσον ἐρατὰ „ἴων φόβα, ῥόδα τε κόμαισι μίγνυνται. ὑμνεῖτε

Digitized by Google

„ὀμφᾷ μελέων σὺν αὐλοῖς· ὑμνεῖτε Σεμέλαν ἐλι-
„κάμπυκα, χορροί.“ Ταῦθ᾽ ὅτι μέν ἐστιν ἰσχυρὰ
καὶ στιβαρὰ καὶ ἀξιωματικά, καὶ πολὺ τὸ αὐστη-
ρὸν ἔχει, τραχύνει τ᾽ ἀλύπως καὶ πικραίνει τὰς ἀκοὰς
μετρίως, ἀνακέκληταί τε τοῖς χρόνοις, καὶ διαβέ-
βηκεν ἐπὶ τὸ πολὺ ταῖς ἁρμονίαις, καὶ οὔτε θεα-
τρικὸν δὴ τοῦτο καὶ γλαφυρὸν ἐπιδείκνυται κάλλος,
ἀλλὰ τὸ ἀρχαϊκὸν ἐκεῖνο καὶ τὸ αὐστηρόν, ἅπαντες ἄν,
οἶδ᾽ ὅτι, μαρτυρήσειαν οἱ μετρίαν αἴσθησιν ἔχοντες πε-
ρὶ λόγους. τίνι δὲ κατασκευασθέντα ἐπιτηδεύσει τοι-
αῦτα γέγονεν· οὐ γὰρ ἄνευ γε τέχνης καὶ λόγου τι-
νὸς, αὐτοματισμῷ καὶ τύχῃ χρησάμενα, τοῦτον εἴ-
ληφε τὸν χαρακτῆρα· ἐγὼ πειράσομαι δεικνύειν.

Τὸ πρῶτον αὐτῷ κῶλον ἐκ τεσσάρων σύγκειται
λέξεως μορίων, ῥήματος καὶ συνδέσμου καὶ δυοῖν
προσηγορικῶν· τὸ μὲν οὖν ῥῆμα καὶ ὁ σύνδεσμος,
συναλοιφῇ κερασθέντα, οὐκ ἀηδῆ πεποίηκε τὴν ἁρ-
μονίαν· τὸ δὲ προσηγορικὸν, τῷ συνδέσμῳ συντι-
θέμενον, ἀποτετράχυκεν ἀξιολόγως τὴν ἁρμογήν.
τὸ γὰρ „Ἐν χορὸν“ ἀντίτυπόν τε καὶ οὐκ εὐπε-
τὲς, τοῦ μὲν συνδέσμου λήγοντος εἰς ἡμίφωνον στοι-
χεῖον, τὸ ν, τοῦ δὲ προσηγορικοῦ τὴν ἀρχὴν λαμ-
βάνοντος ἀφ᾽ ἑνὸς τῶν ἀφώνων, τοῦ χ· ἀσύμ-
μικτα δὲ τῇ φύσει ταῦτα τὰ στοιχεῖα καὶ ἀκόλλητα.
οὐ γὰρ πέφυκε κατὰ μίαν συλλαβὴν τοῦ χ προτε-
τάχθαι τὸ ν· ὥστ᾽ οὐδὲ συλλαβῶν δύο τὰ μόρια
γινόμενα συνάπτει τὸν ἦχον, ἀλλ᾽ ἀνάγκη σιωπήν
τινα γίνεσθαι μέσην ἀμφοῖν τὴν διορίζουσαν ἑκα-
τέρου τῶν γραμμάτων τὰς δυνάμεις. τὸ μὲν δὴ

Digitized by Google

πρῶτον κῶλον οὕτω τραχύνεται τῇ θέσει. κῶλα δέ με δέξαι νυνὶ λέγειν, οὐχ οἷς Ἀριστοφάνης, ἢ τῶν ἄλλων τις μετρικῶν, διεκόσμησε τὰς ᾠδάς· ἀλλ' οἷς ἡ φύσις ἀξιοῖ διαιρεῖν τὸν λόγον, καὶ ῥητόρων παῖδες τὰς περιόδους διαιροῦσι.

Τὸ δὲ τούτῳ παρακείμενον κῶλον, τὸ „Ἐπί τε κλυτὰν πέμπετε χάριν," βέβηκέ τε ἀπὸ τοῦ προτέρου διάβασιν ἀξιόλογον, καὶ περιείληφεν ἐν αὑτῷ πολλὰς ἁρμονίας ἀντιτύπους. ἄρχει μὲν γὰρ αὐτοῦ στοιχεῖον ἓν τῶν φωνηέντων, τὸ ε, καὶ παράκειται ἑτέρῳ φωνήεντι, τῷ ι· εἰς τοῦτο γὰρ ἔληξε τὸ πρὸ αὐτοῦ. οὐ συναλείφεται δ' οὐδὲ ταῦτα ἀλλήλοις, οὐδὲ προτάττεται κατὰ μίαν συλλαβὴν τὸ ι τοῦ ε· σιωπὴ δή τις ἡ μεταξὺ ἀμφοῖν γίνεται διερείδουσα τῶν μορίων ἑκάτερον, καὶ τὴν βάσιν ἀποθοῦσα αὐτοῖς ἀσφαλῆ. ἐν δὲ τῇ κατὰ μέρος συνθέσει τῶν κώλων, τοῖς μὲν „Ἐπί τε συνδέσμοις," ἀφ' ὧν ἄρχεται τὸ κῶλον· εἴτε ἄρα πρόθεσιν αὐτῶν δεῖ τὸ ἡγούμενον καλεῖν· τὸ προσηγορικὸν ἐπικείμενον μόριον „Κλυτὰν" ἀντίτυπον πεποίηκε καὶ τραχεῖαν τὴν σύνθεσιν. κατὰ τί δήποτε; βούλεται μὲν εἶναι βραχεῖα ἡ πρώτη συλλαβὴ τοῦ „Κλυτάν" μακροτέρα δέ ἐστι τῆς βραχείας, ἐξ ἀφώνου τε καὶ ἡμιφώνου καὶ φωνήεντος συνεστῶσα. τὸ δὲ μὴ εἰλικρινῶς αὐτῆς βραχὺ, καὶ ἅμα τὸ ἐν τῇ κράσει τῶν γραμμάτων δυσέκφορον, ἀναβολήν τε ποιεῖ καὶ ἐγκοπὴν τῆς ἁρμονίας. εἰ γοῦν τὸ κ τις ἀφέλοι τῆς συλλαβῆς, καὶ ποιήσειεν „Ἐπί τε λυτὰν," λυθήσεται καὶ τὸ βραδὺ καὶ τὸ τραχὺ τῆς ἁρμονίας. πάλιν τῷ „Κλυτὰν"

Digitized by Google

προσηγορικῷ τὸ „Πέμπετε" ῥηματικὸν ἐπικείμενον οὐκ ἔχει συνῳδόν, οὐδ' εὐκέραστον τὸν ἦχον· ἀλλ' ἀνάγκη στηριχθῆναι τὸ ν, καὶ, πισθέντος ἱκανῶς τούτου, ἄκουστὸν γενέσθαι τὸ π· οὐ γὰρ ὑποτακτικὸν τῷ ν τὸ π. τούτου δ' αἴτιος ὁ τοῦ στόματος σχηματισμός, οὔτε κατὰ τὸν αὐτὸν τόπον, οὐδὲ τῷ αὐτῷ τρόπῳ τῶν γραμμάτων ἑκφερων ἑκάτερον, τό π καὶ τὸ ν. τοῦ μὲν γὰρ περὶ τὸν οὐρανόν τε γίνεται ἦχος, κατὰ τῆς γλώσσης ἄκροις τοῖς ὀδοῦσι προσανισταμένης, καὶ τοῦ πνεύματος διὰ τῶν ῥωθώνων μεριζομένου· τοῦ δὲ π, μύσαντός τε τοῦ στόματος, καὶ οὐδὲν τῆς γλώσσης ἐνεργούσης, τοῦ τε πνεύματος κατὰ τὴν ἄνοιξιν τῶν χειλῶν τὸν ψόφον λαμβάνοντος ἀθροῦν, ὡς δὴ καὶ πρότερον εἴρηταί μοι. ἐν δὴ τῷ μεταλαμβάνειν τὸ στόμα σχηματισμὸν ἕτερον ἐξ ἑτέρου, μήτε συγγενῆ, μήτε παρόμοιον, ἐμπεριλαμβάνεταί τις χρόνος, δι' οὗ συνίσταται τὸ λεῖον καὶ εὐπετὲς τῆς ἁρμονίας, καὶ ἅμα οὐδὲ ἡ προηγουμένη τοῦ „Πέμπετε" συλλαβὴ μαλακὸν ἔχει τὸν ἦχον, ἀλλ' ὑποτραχύνει τὴν ἀκοήν, ἄρχουσά τ' ἐξ ἀφώνου καὶ λήγούσα εἰς ἡμίφωνον. τῷ τε „Χάριν" τὸ „Θεοὶ" παρακείμενον ἀνακόπτει τὸν ἦχον, καὶ ποιεῖ τὸν διορισμὸν ἀξιόλογον τῶν μορίων· τοῦ μὲν εἰς ἡμίφωνον λήγοντος, τοῦ ν· τοῦ δὲ ἄφωνον ἔχοντος ἡγούμενον, τὸ θ. οὐδενὸς δὲ πέφυκε προτάττεσθαι τῶν ἀφώνων τὰ ἡμίφωνα.

Τούτοις ἐπιφέρεται τρίτον κῶλον τουτί· „Πολύβατον οἵ τ' ἄστεος ὀμφαλὸν θυόεντα ἐν ταῖς „ἱεραῖς Ἀθήναις οἰχνεῖτε." ἐνταῦθα τῷ τε „Ὀμφα-

Digitized by Google

λὸν," εἰς τὸ ν λήγοντι, τὸ „Θυόεντα" παρακείμενον, ἀπὸ τοῦ θ ἀρχόμενον, ὁμοίαν ἀποδίδωσιν ἀντιτυπίαν τῇ πρότερον· καὶ τῷ „Θυόεντα," εἰς φωνῆεν, τὸ α, λήγοντι, ἐπεζευγμένον τὸ „Ἐν ταῖς ἱεραῖς," ἀπὸ φωνήεντος, τοῦ ε, λαμβάνον τὴν ἀρχὴν, διέσπακε τῷ μεταξὺ χρόνῳ τὸν ἦχον οὐκ ὄντι ὀλίγῳ. τούτοις ἐκεῖνα ἕπεται· „Πανδαίδαλόν τ' εὐκλεὲ ἀγρράν·" τραχεῖα κἀνταῦθα καὶ ἀντίτυπος ἡ συζυγία. ἡμιφώνῳ γὰρ ἄφωνον συνάπτεται γράμμα, τῷ ν τὸ τ· καὶ διαβέβηκεν ἀξιόλογον διάστασιν ἡ μεταξὺ τοῦ τε προσηγορικοῦ, τοῦ „Πανδαίδαλον," καὶ τῆς συναλοιφῆς τῆς ἐπισυναπτομένης αὐτῷ. μακραὶ γάρ εἰσιν ἀμφότεραι, μείζων δ' οὐκ ὀλίγῳ τῆς συμμετρίας ἡ συναλείφουσα τὰς δύο συλλαβὰς, ἐξ ἀφώνου τε καὶ δυοῖν συνεστῶσα φωνηέντων. εἰ γοῦν τις ἀφέλοιτο αὐτῆς τὸ τ, καὶ ποιήσειε „Πανδαίδαλον εὐκλεὲ ἀγο„ρὰν," εἰς τὸ δίκαιον ἐλθοῦσα μέτρον, εὐπετεστέραν ποιήσει τὴν ἁρμονίαν.

Ὅμοια τούτοις ἐστὶ κἀκεῖνα· „Ἰοδέτων λάβετε „στεφάνων." παρέκειται δύο ἡμίφωνα ἀλλήλοις, τό ν καὶ τὸ λ, φυσικὴν οὐκ ἔχοντα συζυγίαν, τῷ μὴ κατὰ τοὺς ὁμοίους σχηματισμοὺς τοῦ στόματος ἐκφέρεσθαι. καὶ τὰ ἐπὶ τούτοις λεγόμενα μηκύνεταί τε τεῖς συλλαβαῖς, καὶ διέστηκε ταῖς ἁρμονίαις ἐπὶ πολύ· „Στεφάνων τῶν ἐαριδρέπτων." μακραὶ γὰρ καὶ δεῦρο συγκρούονται συλλαβαὶ τὸ δίκαιον ὑπεραίρουσαι μέτρον· ἥ τε λήγουσα τοῦ „Στεφάνων" μορίου, δυσὶ περιλαμβάνουσα ἡμιφώνοις φωνῆεν γράμμα φύσει μακρὸν, καὶ ἡ συναπτομένη ταύτῃ, τρισὶ μη-

Digitized by Google

κυνθεῖσα γράμμασιν, ἀφώνῳ καὶ φωνήεντι μακρῶς λεγομένῳ καὶ ἡμιφώνῳ. διορισμός τ' οὖν γέγονε τοῖς μήκεσι τῶν συλλαβῶν, καὶ ἀντιτυπία τῇ παραθέσει τῶν γραμμάτων, οὐκ ἔχοντος τοῦ τ συνῳδὸν τῷ ν τὸν ἦχον, ὡς καὶ πρότερον εἴρηκα. παράκειται δὲ καὶ τῷ „Λοιβὰν", εἰς τὸ ν λήγοντι, ἀπὸ τοῦ δ ἀρχόμενον ἄφωνον, τὸ „Διόθεν τέ μι·" καὶ τῷ „Σὺν Ἀγλαΐᾳ," εἰς τὸ ι λήγοντι, τὸ „Ἴδετε πορευθέντες ἀοι„δαῖς," ἀρχόμενον ἀπὸ τοῦ ι. πολλά τις ἂν εὕροι τοιαῦτα, θλην τὴν ᾠδὴν σκοπῶν.

Ἵνα δὲ καὶ περὶ τῶν λοιπῶν εἰπεῖν ἐγγένηταί μοι χρόνος, Πινδάρου μὲν ἄλις ἔστω· Θουκυδίδου δὲ λαμβανέσθω λέξις ἡ ἐκ τοῦ προοιμίου ἥδε· „Θουκυδίδης Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν „Πελοποννησίων καὶ Ἀθηναίων, ὡς ἐπολέμησαν „πρὸς ἀλλήλους, ἀρξάμενος εὐθὺς καθισταμένου, „καὶ ἐλπίσας, μέγαν τε ἔσεσθαι καὶ ἀξιολογώτατον „τῶν προγεγενημένων, τεκμαιρόμενός τε, ὅτι ἀκμά„ζοντές τε ἦσαν ἐς αὐτὸν ἀμφότεροι παρασκευῇ „τῇ πάσῃ, καὶ τὸ ἄλλο Ἑλληνικὸν ὁρῶν ξυνιστάμε„νον πρὸς ἑκατέρους, τὸ μὲν εὐθύς, τὸ δὲ καὶ διά„νοούμενον. κίνησις γὰρ αὕτη μεγίστη δὴ τοῖς Ἕλ„λησιν ἐγένετο καὶ μέρει τινὶ τῶν βαρβάρων, ὡς δὲ „εἰπεῖν, καὶ ἐπὶ πλείστων ἀνθρώπων. τὰ γὰρ πρὸ „αὐτοῦ, καὶ τὰ ἔτι παλαιότερα, σαφῶς μὲν εὑρεῖν „διὰ χρόνου πλῆθος ἀδύνατον ἦν· ἐκ δὲ τεκμηρίων, „ὧν ἐπιμακρότατον σκοποῦντί μοι πιστεῦσαι ξυμ„βαίνει, οὐ μεγάλα νομίζω γενέσθαι, οὔτε κατὰ „τοὺς πολέμους, οὔτε ἐς τὰ ἄλλα. φαίνεται γὰρ ἡ

Digitized by Google

„νῦν Ἑλλὰς καλουμένη, οὐ πάλαι βεβαίως οἰκουμέ-
„νη, ἀλλὰ μεταναστάσεις τε οὖσαι τὰ πρότερα, καὶ
„ῥᾳδίως ἕκαστοι τὴν ἑαυτῶν ἀπολείποντες, βιαζό-
„μενοι ὑπό τινων ἀεὶ πλειόνων. τῆς γὰρ ἐμπορίας
„οὐκ οὔσης, οὐδ' ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις, οὔ-
„τε κατὰ γῆν, οὔτε διὰ θαλάσσης, νεμόμενοί τε τὰ
„ἑαυτῶν ἕκαστοι, ὅσον ἀποζῆν, καὶ περιουσίαν χρη-
„μάτων οὐκ ἔχοντες, οὐδὲ γῆν φυτεύοντες· ἄδηλον
„ὂν, ὁπότε τις ἐπελθὼν, καὶ ἀτειχίστων ἅμα ὄντων,
„ἄλλος ἀφαιρήσεται· τῆς καθ' ἡμέραν ἀναγκαίου
„τροφῆς παντα χοῦ ἂν ἡγούμενοι ἐπικρατεῖν, οὐ χα
„λεπῶς ἀνίσταντο."

Αὕτη πάλιν ἡ λέξις, ὅτι μὲν οὐκ ἔχει λείας, οὐδὲ συνεξεσμένας ἀκριβῶς τὰς ἁρμονίας, οὐδέ ἐστιν εὐε πὴς, καὶ λεληθότως ὀλισθαίνουσα διὰ τῆς ἀκοῆς, ἀλλὰ πολὺ τὸ ἀντίτυπον καὶ τραχὺ καὶ στρυφνὸν ἐμφαίνει, καὶ ὅτι πανηγυρικῆς μὲν, ἢ θεατρικῆς, οὐδὲ κατὰ μικρὸν ἐφάπτεται χάριτος, ἀρχαϊκὸν δέ τι καὶ αὔθαδες ἐπιδείκνυται κάλλος, ὡς; πρὸς εἰδότας ὁμοίως τοὺς ἀπαιδεύτους ἅπαντας, οὐδὲν δέομαι λέγειν, ἄλλως τε καὶ αὐτοῦ τοῦτό γε τοῦ συγγραφέως ὁμολογήσαντος, ὅτι εἰς μὲν ἀκρόασιν ἧττον ἐπιτερπὴς ἡ γραφή ἐστι· „κτῆμα δ' εἰσαεὶ μᾶλλον, ἢ „ἀγώνισμα εἰς τὸ παραυτίκα, ἀκούειν σύγκειται." τίνα δέ ἐστι τὰ θεωρήματα, οἷς χρησάμενος [ὁ] ἀνὴρ οὕτως εὐπινῆ καὶ αὐστηρὰν πεποίηκε τὴν ἁρμονίαν, δι' ὀλίγων σημανῶ. ῥᾷον γάρ ἐστι μικρὰ μεγάλων εἶναι δείγματα τοῖς μὴ χαλεπῶς ἐπὶ τὴν τοῦ ὁμοίου τε καὶ ἀκολούθου μεταβαίνουσι θεωρίαν.

Digitized by Google

Αὐτίκα ἐν ἀρχῇ τῷ „Ἀθηναῖος" προσηγορικῷ τὸ „Ξυνέγραψε" ῥῆμα ἐφαρμοττόμενον διίστησιν ἀξιολόγως τὴν ἁρμονίαν. οὐ γὰρ προτάττεται τὸ σ τοῦ ξ κατὰ συνεκφοράν τὴν ἐν μιᾷ συλλαβῇ γινομένην. δεῖ δὲ, τοῦ σ σιωπῇ καταληφθέντος, τότ' ἀκουστὸν γενέσθαι τὸ ξ. τοῦτο δὲ τραχύτητα ἐργάζεται καὶ ἀντιτυπίαν τὸ πάθος. ἔπειθ' αἱ μετὰ τοῦτο γινόμεναι συγκοπαὶ τῶν ἤχων, τοῦ τε ν καὶ τοῦ τ καὶ τοῦ π καὶ τοῦ κ, τετράκις ἑξῆς ἀλλήλαις παρακείμεναι, χαράττουσιν εὖ μάλα τὴν ἀκοὴν, καὶ διασαλεύουσιν ἀξιολόγως τὰς ἁρμονίας, ὅταν φῇ „Τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων." τούτων γὰρ τῶν μορίων τῆς λέξεως οὐδὲν, ὅ τι οὐχὶ καταληφθῆναι δεῖ καὶ πιεσθῆναι πρότερον ὑπὸ τοῦ στόματος, περὶ τὸ τελευταῖον γράμμα, ἵνα τὸ συναπτόμενον αὐτῷ τραχὺν καὶ καθαρὰν τὴν ἑαυτοῦ λάβῃ δύναμιν. ἔτι πρὸς τούτοις ἡ τῶν φωνηέντων παράθεσις, ἡ κατὰ τὴν τελευταίαν τοῦ κώλου τοῦδε γενομένη ἐν τῷ „Καὶ Ἀθηναίων," διακέκρουκε τὸ συνεχὲς τῆς ἁρμονίας καὶ διέστακε, πάνυ αἰσθητὸν τὸν μεταξὺ λαβοῦσα χρόνον· ἀκέραστοί τε γὰρ αἱ φωναὶ τοῦ τε ι καὶ τοῦ α, καὶ ἀποκόπτουσαι τὸν ἦχον· [τὸ δὲ εὐθεῖς οἱ συνεχεῖς τε καὶ οἱ συλλειαινόμενοι ποιοῦσιν ἦχοι.]

Αὖθις ἐν τῇ δευτέρᾳ περιόδῳ προηγούμενον κῶλον τουτί· „Ἀρξάμενος εὐθὺς καθισταμένου·" μετρίως ἁρμόσας ὁ ἀνὴρ, ὡς ἂν εὔφωνόν τε καὶ μάλιστα φαίνοιτο καὶ μαλακόν· τὸ μετὰ τοῦτο πάλιν ἀποτραχύνει καὶ διασπᾷ τοῖς διαχαλάσμασι τῶν ἁρμονιῶν· „Καὶ ἐλπίσας μέγαν τε ἔσεσθαι καὶ ἀξιο-

Digitized by Google

„λογώτατον τῶν προγεγεννημένων.“ τρία γὰρ ἀλλήλοις ἑξῆς οὐ διὰ μακροῦ παράκειται τὰ φωνήεντα, συγκρούσεις ἐργαζόμενα καὶ ἀνακοπάς, καὶ οὐκ ἐῶντα τὴν ἀκρόασιν ἑνὸς κώλου συνεχοῦς φαντασίαν λαμβάνειν. ἥ τε περίοδος αὐτῷ λήγουσα εἰς τὸ „Τῶν „προγεγεννημένων,“ οὐκ ἔχει τὴν βάσιν εὔγραμμον καὶ περιφερῆ, ἀλλ' ἀκόρυφός τις φαίνεται καὶ ἀκατάστροφος, ὥσπερ μέρος οὖσα τῆς δευτέρας, ἀλλ' οὐχὶ τῆς πρώτης τέλος.

Τὸ δ' αὐτὸ πέπονθε καὶ ἡ τρίτη περίοδος. καὶ γὰρ ἐκείνης ἀπερίγραφός ἐστι καὶ ἀνέδραστος ἡ βάσις, τελευταῖον ἔχουσα μόριον· „Τὸ δὲ καὶ διανοούμενον·“ πολλὰς ἅμα περιέχουσα καὶ αὐτὴ φωνηέντων τε πρὸς φωνήεντα ἀντιτυπίας· καὶ ἡμιφώνων πρὸς ἡμίφωνα, ἅπερ ἐργάζεται τὰ μὴ συνῳδὰ τῇ φύσει καὶ τραχύτητας. ἵνα δὲ συνελὼν εἴπω, δώδεκά που περιόδων οὐσῶν, ἃς παρεθέμην, εἴ τις αὐτὰς συμμέτρως μερίζοι πρὸς τὸ πνεῦμα, κώλων δὲ τῶν ἐμπεριλαμβανομένων ἐν αὐταῖς οὐκ ἐλαττόνων, ἢ τριάκοντα, τὰ μὲν εὐεπῶς συγκείμενα καὶ συνεξεσμένα ταῖς ἁρμονίαις οὐκ ἂν εὕροι τις ἓξ, ἢ ἑπτὰ, τὰ πάντα κῶλα, φωνηέντων δὲ συμβολὰς ἐν ταῖς δώδεκα περιόδοις ὀλίγου δεῖν τριάκοντα, ἡμιφώνων τε καὶ ἀφώνων ἀντιτύπων καὶ πικρῶν καὶ δυσεκφόρων παραβολάς· ἐξ ὧν αἵ τ' ἀνακοπαὶ καὶ τὰ πολλὰ ἐγκαθίσματα τῇ λέξει γέγονε τοσαῦτα τὸ πλῆθος, ὥστ' ὀλίγου δεῖν καθ' ἕκαστον αὐτῆς μόριον εἶναί τι τῶν τοιούτων. πολλὴ δὲ ἡ τῶν κώλων ἀσυμμετρία πρὸς ἄλληλα, καὶ ἡ τῶν περιόδων ἀνωμαλία, καὶ ἡ

Digitized by Google

τῶν σχημάτισμῶν καινότης, καὶ τὸ τῆς ἀκολουθίας ὑπεροπτικὸν, καὶ τὰ ἄλλα, ὅσα χαρακτηριστικὰ τῆς ἀκομψεύτου τε καὶ αὐστηρᾶς ἐπελογισάμην ὄντα ἁρμονίας. ἅπαντα γὰρ ἐπεξιέναι πάλιν ἐπὶ τῶν παραδειγμάτων, καὶ καταδαπανᾶν εἰς ταῦτα τὸν χρόνον, οὐκ ἀναγκαῖον ἡγοῦμαι.

Quinam character sit politae floridaeque compositionis.

XXIII. Ἡ δὲ γλαφυρὰ καὶ ἀνθηρὰ σύνθεσις, ἣν δευτέραν ἐθέμην τῇ τάξει, χαρακτῆρα τοιόνδε ἔχει· οὐ ζητεῖ καθ' ἕκαστον ὄνομα ἐκ περιφανείας ὁρᾶσθαι, οὐδ' ἐν ἕδρᾳ πάντα βεβηκέναι πλατείᾳ τε καὶ ἀσφαλεῖ, οὐδὲ μακροὺς τοὺς μεταξὺ αὐτῶν εἶναι χρόνους, οὐδ' ὅλως τὸ βραδὺ καὶ σταθηρὸν τοῦτο φίλον αὐτῇ, ἀλλὰ καὶ κινεῖσθαι βούλεται τὴν ὀνομασίαν, καὶ φέρεσθαι, καὶ θάτερα κατὰ τῶν ἑτέρων ὀνομάτων ὀχεῖσθαι, τὴν ἀλληλουχίαν λαμβάνοντα βάσιν, ὥσπερ τὰ ῥέοντα νάματα καὶ μηδέποτε ἀτρεμοῦντα· συνειλῆφθαί τ' ἀλλήλοις ἀξιοῖ καὶ συνυφάνθαι τὰ μόρια τῆς λέξεως ὄψιν ἀποτελοῦντα εἰς δύναμιν. τοῦτο δὲ ποιοῦσιν αἱ τῶν ἁρμονιῶν ἀκρίβειαι, χρόνον αἰσθητὸν οὐδένα τὸν μεταξὺ τῶν ὀνομάτων λαμβάνουσαι· ἔοικέ τε κατὰ τοῦτο τὸ μέρος εὐήτριοις ὑφαῖς, ἢ γραφαῖς συνεφθαρμένα τὰ φωτεινὰ τοῖς σκιεροῖς ἐχούσαις. εὔφωνά τε βούλεται εἶναι πάντα ὀνόματα καὶ λεῖα, καὶ μαλακά, καὶ παρθενωπά· τραχείαις δὲ συλλαβαῖς καὶ ἀντιτύποις ἀπέχθεταί που· τὸ δὲ θρασὺ πᾶν καὶ παρακεκινδυνευμένον καὶ δι' εὐλαβείας ἔχει.

Digitized by Google

Οὐ μόνον δὲ τὰ ὀνόματα τοῖς ὀνόμασιν ἐπιτηδείως συνηρμόσθαι βούλεται καὶ συνεξέσθαι, ἀλλὰ καὶ τὰ κῶλα τοῖς κώλοις συνυφάνθαι, καὶ πάντα εἰς περίοδον τελευτᾶν, κώλου τε μῆκος, ὃ μὴ βραχύτερον ἔσται, μηδὲ μεῖζον, τοῦ μετρίου, καὶ περιόδου χρόνον, οὗ πνεῦμα τέλειον ἀνδρὸς κρατήσει· ἀπερίοδον δὲ λέξιν, ἢ περίοδον ἀκώλιστον, ἢ κῶλον ἀσύμμετρον, οὐκ ἂν ὑπομείνειεν ἐργάσασθαι. χρῆται δὲ καὶ ῥυθμῶν οὐ τοῖς μηκίστοις, ἀλλὰ τοῖς μέσοις τε καὶ βραχυτέροις· καὶ τῶν περιόδων τὰς τελευτὰς εὐρύθμους εἶναι βούλεται καὶ βεβηκυίας, ὡς ἀπὸ στάθμης· τἀναντία ποιοῦσα ἐν ταῖς τούτων ἁρμογαῖς, ἢ ταῖς τῶν ὀνομάτων. ἐκεῖνα μὲν γὰρ συναλείφει, ταύτας δὲ διΐστησι, καὶ ὥσπερ ἐκ περιόπτου βούλεται φανερὰς εἶναι. σχήμασί τ' οὐ τοῖς ἀρχαιοπρεπεστάτοις, οὐδ' ὅσοις ἡ σεμνότης τις, ἢ βάρος, ἢ πῖνος πρόσεστιν, ἀλλὰ τοῖς τρυφεροῖς καὶ μαλακοῖς ὡς τὰ πολλὰ χρῆσθαι φιλεῖ· ἐν οἷς πολὺ τὸ ἀπατηλὸν ἐστι καὶ θεατρικόν. ἵνα δὲ κοινότερον εἴπω, τοὐναντίον ἔχει σχῆμα τῇ προτέρᾳ κατὰ μέγιστα· ὑπὲρ ὧν οὐδὲν δέομαι πάλιν λέγειν.

Ἀκόλουθον δ' ἂν εἴη καὶ τοὺς ἐν αὐτῇ πρωτεύσαντας καταριθμήσασθαι. ἐποποιῶν μὲν οὖν ἔγωγε μάλιστα νομίζω τουτονὶ τὸν χαρακτῆρα ἐπεξεργάσασθαι Ἡσίοδον· μελοποιῶν δὲ Σαπφώ, καὶ μετὰ ταύτην Ἀνακρέοντά τε καὶ Σιμωνίδην· τραγῳδοποιῶν δὲ μόνον Εὐριπίδην· συγγραφέων δ' ἀκριβῶς μὲν οὐδένα, μᾶλλον δὲ τῶν πολλῶν Ἔφορόν τε καὶ Θεόπομπον· ῥητόρων τ' Ἰσοκράτην· θήσω δὲ

Digitized by Google

καὶ ταῦτα παραδείγματα τῆς ἁρμονίας, ποιητῶν μὲν προχειρισάμενος Σαπφὼ, ῥητόρων δ' Ἰσοκράτην. ἄρξομαι δ' ἀπὸ τῆς μελοποιοῦ.

Ποικιλόθρον' ἀθάνατ' Ἀφροδίτα,
Παῖ Διὸς, δολοπλόκε, λίσσομαί σε,
Μή μ' ἄσαισι, μηδ' ἀνίαισι δάμνα,
Πότνια, θῦμον·
Ἀλλὰ τυΐδ' ἔλθ', αἴποκα κἀτέρωτα
Τᾶς ἐμᾶς αὐδᾶς ἄϊοισα πόλλυ
Ἔκλυες, πατρὸς δὲ δόμον λιποῖσα,
Χρύσειον ἦλθες
Ἅρμ' ὑποζεύξασα. κάλοι δέ σ' ἆγον
Ὠκέες στροῦθοι, περὶ γᾶς μελαίνας
Πύκνα δινεῦντες πτερ' ἀπ' ὠράνω αἰθέ-
ρος διὰ μέσσω.
Ἆψ' ἀλλ' ἐξίκοντο· Τὺ δ', ὦ μάκαιρα,
Μειδιάσαισ' ἀθανάτῳ προσώπῳ,
Ἤρε, ὅ τι δ' ἦν τὸ πέπονθα, κ' ὅ τι
Δῆν τε κάλημμι·
Κ' ὅ τι' ἐμῷ μάλιστα θέλω γενέσθαι
Μαινόλᾳ θύμῳ· τίνα δ' αὖτε πείθημ-
μι σαγηνέσσαν φιλότητα· Τίς σ', ὦ
Σαπφοῖ, ὔβριζει;
Καὶ γὰρ αἰ φεύγει, ταχέως διώξει·
Αἰ δὲ δῶρα μὴ δέκετ', ἀλλὰ δώσει·
Αἰ δὲ μὴ φιλεῖ, ταχέως φιλάσει,
Ἢ οὐκὶ ἐθέλοις.
Ἔλθέ μοι καὶ νῦν, χαλεπᾶν δὲ λῦσον
Ἐκ μεριμνᾶν, ὅσσα δέ μοι τελέσσαι

Digitized by Google

Θῦμος ἰμείρει, τέλεσον, σὺ δ' αὐτὰ
Σύμμαχος ἔσσο.

ταύτης τῆς λέξεως ἡ εὐέπεια καὶ ἡ χάρις ἐν τῇ συνεπείᾳ καὶ λειότητι γέγονε τῶν ἁρμονιῶν. παράκειται γὰρ ἀλλήλοις τὰ ὀνόματα καὶ συνύφανται κατά τινας οἰκειότητας καὶ συζυγίας φυσικὰς τῶν γραμμάτων. τὰ γὰρ φωνήεντα τοῖς ἀφώνοις τε καὶ ἡμιφώνοις συνάπτεται, μικροῦ δεῖν, δι' ὅλης τῆς ᾠδῆς, ὅσα προτάσσεσθαί τε καὶ ὑποτάσσεσθαι· ἡμιφώνων δὲ πρὸς ἡμίφωνα, καὶ φωνηέντων πρὸς ἄλληλα συμπτώσεις αἱ διασαλεύουσαι τοὺς ἤχους ὀλίγαι πάνυ εἰσίν. ἔγωγ' οὖν ὅλην τὴν ᾠδὴν ἀνασκοπούμενος, πέντε, ἢ ἐξ ἴσως εὗρον, ἐν τοῖς τοσούτοις ὀνόμασι καὶ ῥήμασι καὶ τοῖς ἄλλοις μορίοις, ἡμιφώνων τε γραμμάτων συμπλοκὰς τῶν μὴ πεφυκότων ἀλλήλοις κεράννυσθαι, καὶ οὐδὲ ταύτας ἐπὶ πολὺ τραχυνούσας τὴν εὐέπειαν εὑρίσκω· φωνηέντων δὲ παραθέσεις, τὰς μὲν ἐν τοῖς κώλοις αὐτοῖς γινομένας, ἔτι ἐλάττους, ἢ τοσαύτας· τὰς δὲ συγαπτούσας τὰ κῶλα ἀλλήλοις, ὀλίγῳ τινὶ τούτων πλείονας. εἰκότως δὴ γέγονεν ἡ λέξις εὔρους τις καὶ μαλακή, τῆς ἁρμονίας τῶν ὀνομάτων μηδὲν ἀποκυματιζούσης τὸν ἦχον. ἔλεγον δ' ἂν καὶ τὰ λοιπὰ τῆς συνθέσεως ταύτης ἰδιώματα, καὶ ἀπεδείκνυον ἐπὶ τῶν παραδειγμάτων τοιαῦτα ὄντα, οἷα ἐγώ φημι, εἰ μὴ μακρὸς ἔμελλεν ὁ λόγος γενήσεσθαι, καὶ ταυτολογίας τινὰ δόξαν παρέχειν. ἐξέσται γάρ σοι παντί τ' ἄλλῳ καθ' ἓν ἕκαστον τῶν ἐξηριθμημένων ὑπ' ἐμοῦ κατὰ τὴν προέκθεσιν τοῦ χαρακτῆρος ἐπιλέγεσθαί τε καὶ σκο-

Digitized by Google

πεῖν ἐπὶ παραδειγμάτων κατὰ πολλὴν εὐκαιριαν καὶ σχολήν. ἐμοὶ δ' οὐκ ἐγχωρεῖ τοῦτο ποιεῖν, ἀλλ' ἀπόχρη δεῖξαι μόνον ἀρκούντως, ἃ βούλομαι τοῖς δυνησομένοις παρακολουθῆσαι.

Ἑνὸς ἔτι παραθήσω λέξιν ἀνδρὸς εἰς τὸν αὐτὸν κατεσκευασμένην χαρακτῆρα Ἱπποκράτους τοῦ ῥήτορος, ὃν ἐγὼ μάλιστα πάντων οἶομαι τῶν πεζῇ τῇ λέξει χρησαμένων ταύτην ἀκριβοῦν τὴν ἁρμονίαν. ἔστι δὲ ἡ λέξις ἐκ τοῦ Ἀρεοπαγιτικοῦ ἥδε· „Πολ-„λοὺς ὑμῶν οἶομαι θαυμάζειν, ἥντινά ποτε γνώμην „ἔχων, περὶ σωτηρίας τὴν πρόσοδον ἐποιησάμην, „ὥσπερ τῆς πόλεως ἐν κινδύνοις οὔσης, ἢ σφαλερῶς „αὐτῇ τῶν πραγμάτων καθεστώτων, ἀλλ' οὐ πλείους „μὲν τριήρεις, ἢ διακοσίας, κεκτημένης, εἰρήνην δὲ „καὶ τὰ περὶ τὴν χώραν ἀγούσης, καὶ τῶν κατὰ „θάλατταν ἀρχούσης· ἔτι δὲ συμμάχους ἐχούσης „πολλοὺς μὲν, τοὺς ἑτοίμως ἡμῖν, ἤν τι δέῃ, βοη-„θήσοντας, πολὺ δὲ πλείους, τοὺς τὰς συντάξεις ὑπο-„τελοῦντας, καὶ τὸ προσταττόμενον ποιοῦντας. ὧν „ὑπαρχόντων, ἡμᾶς μὲν ἄν τις φήσειεν εἰκὸς εἶναι „θαῤῥεῖν, ὡς πόῤῥω τῶν κινδύνων ὄντας· τοῖς δ' „ἐχθροῖς τοῖς ἡμετέροις προσήκειν δεδιέναι, καὶ „βουλεύεσθαι περὶ σωτηρίας. ὑμεῖς μέν οὖν οἶδ' „ὅτι τούτῳ χρώμενοι τῷ λογισμῷ, καὶ τῆς ἐμῆς „προσόδου καταφρονεῖτε, καὶ πᾶσαν ἐλπίζετε τὴν „Ἑλλάδα ταύτῃ τῇ δυνάμει κατασχήσειν· ἐγὼ δὲ „δι' αὐτὰ ταῦτα τυγχάνω δεδιώς. ὁρῶ γὰρ τῶν πό-„λεων τὰς ἄριστα πράττειν οἰομένας, κάκιστα συμ-„βουλευομένας· καὶ τὰς μάλιστα θαῤῥούσας, εἰς

Digitized by Google

„πλείους κινδύνους καθισταμένας. αἴτιον δὲ τούτων „ἐστὶν, ὅτι τῶν ἀγαθῶν καὶ τῶν κακῶν οὐδὲν αὐ„τὸ καθ' αὑτὸ παραγίνεται τοῖς ἀνθρώποις, ἀλλὰ „συντέτακται καὶ συνακολουθεῖ τοῖς μὲν πλούτοις „καὶ ταῖς δυναστείαις ἄνοια, καὶ μετὰ ταύτης ἀκο„λασία, ταῖς δὲ ἐνδείαις καὶ ταῖς ταπεινότησι σω„φροσύνη καὶ πολλὴ μετριότης. ὥστε χαλεπὸν εἶναι „διαγνῶναι, ποτέραν ἄν τις δέξαιτο τῶν μερίδων „τούτων τοῖς παισὶ τοῖς αὑτοῦ καταλιπεῖν. ἴδοιμεν „γὰρ ἄν, ἐκ μὲν τῆς φαυλοτέρας εἶναι δοκιούσης „ἐπὶ τὸ βέλτιον ὡς ἐπὶ τὸ πολὺ τὰς πράξεις ἐπιδι„δούσας· ἐκ δὲ τῆς κρείττονος φαινομένης ἐπὶ τὸ „χεῖρον εἰθισμένας μεταπίπτειν."

Ταῦθ' ὅτι συνείληπταί τε καὶ συγκέχρωσται, καὶ οὐ καθ' ἓν ἕκαστον ὄνομα ἐν ἕδρᾳ περιφανεῖ καὶ πλατείᾳ βέβηκεν, οὐδ' ἐν μακροῖς τοῖς μεταξὺ χρόνοις διείργεται καὶ διαβέβηκεν ἀπ' ἀλλήλων, ἀλλ' ἐν κινήσει τ' ὄντα φαίνεται καὶ φορᾷ καὶ ῥύσει συνεχεῖ, πραεῖαί τ' αὐτῶν εἰσι καὶ μαλακαὶ καὶ προπετεῖς αἱ συνάπτουσαι τὴν λέξιν ἁρμονίαι, τὸ ἄλογον ἐπιμαρτυρεῖ τῆς ἀκοῆς πάθος. ὅτι δ' οὐκ ἄλλα τινὰ τούτων ἐστὶν αἴτια, ἢ τὰ προειρημένα ὑπ' ἐμοῦ περὶ τῆς ἀγωγῆς ταύτης τῶν λόγων, ῥᾴδιον ἰδεῖν. φωνηέντων μὲν γὰρ ἀντιτυπίαν οὐκ ἄν τις οὐδεμίαν εὕροι, ἐν γοῦν οἷς παρεθέμην ἀριθμοῖς, οἶομαι δ' οὐδ' ἐν ὅλῳ τῷ λόγῳ, πλὴν εἴ τί με διαλέληθεν· ἡμιφώνων δὲ καὶ ἀφώνων ὀλίγας, καὶ οὐ πάνυ ἐκφανεῖς, οὐδὲ συνεχεῖς. ταῦτα δὲ τῆς εὐεπείας αἴτια τῇ λέξει γέγονε, καὶ ἡ τῶν κώλων συμμετρία

Digitized by Google

πρὸς ἄλληλα, τῶν τε περιόδων ὁ κύκλος, ἔχων τι περιφανὲς καὶ εὔγραμμον καὶ τεταμιευμένον ἄκραις ταῖς συμμετρίαις. ὑπὲρ ἅπαντα δὲ ταῦτα οἱ σχηματισμοὶ οἱ πολὺ τὸ νευρὸν ἔχοντες· εἰσὶ γὰρ ἀντίθετοι, καὶ παρόμοιοι, καὶ πάρισοι, καὶ οἱ παραπλήσιοι τούτοις, ἐξ ὧν ἡ πανηγυρικὴ διάλεκτος ἀποτελεῖται. οὐκ ἀναγκαῖον εἶναί μοι δοκῶ μηκύνειν καὶ τὰ λοιπὰ διεξιών· ἱκανῶς γὰρ εἴρηται καὶ περὶ ταύτης τῆς θέσεως, ὅσα γε ἥρμοττεν.

Qui communis sit mediaeque compositionis character.

XXIV. Ἡ δὲ τρίτη τε καὶ μέση τῶν εἰρημένων δυοῖν ἁρμονιῶν, ἣν κοινὴν καλῶ, σπάνει τε κυρίου καὶ κρείττονος ὀνόματος, σχῆμα μὲν ἴδιον οὐδὲν ἔχει, κεκέρασται δέ πως ἐξ ἐκείνων μετρίως, καὶ ἔστιν ἐκλογή τις τῶν ἐν ἑκατέρᾳ κρατίστων. αὕτη δοκεῖ μοι τὰ πρωτεῖα ἐπιτηδεία εἶναι φέρεσθαι, ἐπειδὴ μεσότης μέν ἐστι· μεσότης δὲ ἡ ἀρετὴ καὶ βίων, καὶ ἔργων, καὶ τεχνῶν, ὡς Ἀριστοτέλει δοκεῖ, καὶ τοῖς ἄλλοις, ὅσοι κατ' ἐκείνην τὴν αἵρεσιν φιλοσοφοῦσιν. ὁρᾶται δὲ, ὥσπερ ἔφην καὶ πρότερον, οὐ κατὰ ἀπαρτισμόν, ἀλλ' ἐν πλάτει, καὶ τὰς ἰδίας πολλὰς ἔχει διαφοράς· οἵ τε χρησάμενοι αὐτῇ, οὐ τὰ αὐτὰ πάντες, οὐδ' ὁμοίως ἐπετήδευσαν, ἀλλ' οἱ μὲν ταῦτα μᾶλλον, οἱ δ' ἐκεῖνα ἐπέτεινάν τε καὶ ἀνῆκαν, ἄλλως ἄλλοι τὰ αὐτὰ, καὶ πάντες ἐγένοντο λόγου ἄξιοι κατὰ πάσας τὰς ἰδέας τῶν λόγων.

Digitized by Google

Κορυφὴ μὲν οὖν ἁπάντων καὶ σκοπὸς,
Ἐξ οὗ πως πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα
Καὶ πᾶσαι κρῆναι, ———

δικαίως ἂν Ὅμηρος λέγοιτο. πᾶς γὰρ αὐτῷ τόπος, οὗ τις ἂν ἅψηται, ταῖς τ' αὐσιηραῖς καὶ ταῖς γλαφυραῖς ἁρμονίαις εἰς ἄκρον διαπεποίκιλται. τῶν δ' ἄλλων, ὅσοι τὴν αὐτὴν ἐκείνῳ μεσότητα ἐπετήδευσαν, ὕστερον μὲν ἐκεῖνοι μακρῷ παρ' Ὅμηρον ἐξεταζόμενοι φαίνοιντ' ἄν· καθ' ἑαυτοὺς δ' εἰ θεωροίη τις αὐτούς, ἀξιοθέατοι· μελοποιῶν μὲν, Στησίχορός τε καὶ Ἀλκαῖος· τραγῳδοποιῶν δὲ, Σοφοκλῆς· συγγραφέων δὲ, Ἡρόδοτος· ῥητόρων δὲ, Δημοσθένης· φιλοσόφων δὲ, κατ' ἐμὴν δόξαν, Δημόκριτός τε καὶ Πλάτων καὶ Ἀριστοτέλης. τούτων γὰρ ἑτέρους εὑρεῖν ἀμήχανον ἄμεινον κεράσαντας τοὺς λόγους. καὶ περὶ μὲν τῶν χαρακτήρων ταῦτα ἱκανά. παραδείγματα δὲ τούτων οὐκ οἶομαι δεῖν φέρειν, φανερῶν πάνυ ὄντων, καὶ οὐδὲν δεομένων λόγου.

Εἰ δέ τινι δοκεῖ καὶ πόνου πολλοῦ ταῦτα καὶ πραγματείας μεγάλης ἄξια εἶναι, καὶ μάλα ὀρθῶς δοκεῖ κατὰ τὸν Δημοσθένην· ἀλλ' ἐὰν λογίσηται τοὺς ἑξακολουθοῦντας αὖ τοῖς κατορθουμένοις ἐπαίνους, καὶ τὸν καρπὸν τῶν ἁπάντων, ὡς γλυκὺς, εὐπαθείας ἡγήσεται τοὺς πόνους. Ἐπικουρείων δὲ χορὸν, οἷς οὐδὲν μέλει τούτων, παραιτούμεθα· τὸ γὰρ „οὐκ ἐπιπόνου τοῦ γράφειν ὄντος," ὡς αὐτὸς Ἐπίκουρος λέγει, τοῖς μὴ στοχαζομένοις τοῦ πυκνὰ μεταπίπτοντος κριτηρίου, πολλῆς ἀργίας ἦν καὶ σκαιότητος ἀλεξιφάρμακον.

Digitized by Google

Quomodo soluta oratio poëmati pulchro, aut hdae, similis fiat.

XXV. Τούτων δή μοι τέλος ἐχόντων, ἐκεῖνά σε οἴομαι ποθεῖν ἔτι ἀκοῦσαι, πῶς γράφεται λέξις ἄμετρος ὁμοία καλῷ ποιήματι, ἢ μέλει, καὶ πῶς ποίημά γε, ἢ μέλος, πεζῇ λέξει καλῇ παραπλήσιον. ἄρξομαι δὲ πρῶτον ἀπὸ τῆς ψιλῆς λέξεως, ἕνα τῶν ἀνδρῶν προχειρισάμενος, ὃν ἐν τοῖς μάλιστα οἶμαι τὴν ποιητικὴν ἐκμεμάχθαι, βουλόμενος μὲν καὶ πλείους, οὐκ ἔχων δὲ χρόνον ἱκανὸν ἐφ' ἅπασι. φέρε δή, τίς οὐκ ἂν ὁμολογήσειε τοῖς κρατίστοις ἐοικέναι ποιήμασί τε καὶ μέλεσι τοὺς Δημοσθένους λόγους, καὶ μάλιστα τάς τε κατὰ Φιλίππου δημηγορίας, τούς τε δικανικοὺς ἀγῶνας τοὺς δημοσίους; ὧν ἐξ ἑνὸς ἀρκέσει προλαβεῖν τὸ προοίμιον τουτί· „Μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίσῃ με μήτ' „ἰδίας ἔχθρας μηδεμιᾶς ἕνεχ' ἥκειν Ἀριστοκράτους „κατηγορήσοντα τουτουΐ, μήτε μικρόν ῥᾳδίως τι „καὶ φαῦλον ἁμάρτημα, ἑτοίμως οὕτως ἐπὶ τοῦτο „προάγειν ἐμαυτὸν εἰς ἀπέχθειαν· ἀλλ' εἴπερ ἄρ' „ἐγὼ ὀρθῶς λογίζομαι καὶ σκοπῶ, περὶ τοῦ τὴν „Χερρόνησον ἔχειν ἀσφαλῶς ὑμᾶς, καὶ μὴ παρα- „κρουσθέντας ἀποστερηθῆναι πάλιν αὐτῆς. περὶ „τούτου τοίνυν ἔστί μοι ἅπασα σπουδή.“

Πειρατέον δὲ καὶ περὶ τούτων λέγειν, ἃ φρονῶ. μυστηρίοις μὲν οὖν ἔοικεν ἤδη ταῦτα, καὶ οὐκ εἰς πολλοὺς οἷά τε ἐστὶν ἐκφέρεσθαι. ὥστ' οὐκ ἂν εἴην φορτικός, εἰ παρακαλοίην, οἷς θέμις ἐστίν, ἥκειν ἐπὶ τὰς τελετὰς τοῦ λόγου, θύρας δ', ἐπιθέσθαι λέ-

Digitized by Google

γσιμι ταῖς ἀκοαῖς τοὺς βεβήλους. εἰς γελοῖα γὰρ ἔνιοι λαμβάνουσι τὰ σπουδαιότατα δι' ἄπειρίαν, καὶ ἴσως οὐδὲν ἄτοπον πάσχουσιν. ἃ δ' οὖν βούλομαι λέγειν, τοιάδε ἐστί.

Πᾶσα λέξις ἢ δίχα μέτρου ἐγκειμένη, ποιητικὴν μοῦσαν, ἢ μελικὴν χάριν, οὐ δύναται προσλαβεῖν, κατὰ γοῦν τὴν σύνθεσιν αὐτήν· ἐπεὶ καὶ ἡ ἐκλογὴ τῶν ὀνομάτων μέγα τι δύναται, καὶ ἔστι τις ὀνομασία ποιητική, γλωττημάτικῶν τε καὶ ξένων καὶ τροπικῶν καὶ πεποιημένων, οἷς ἡδύνεται ποίησις, εἰς κόρον ἐγκαταμιγέντων τῇ ἀμέτρῳ λέξει· ὃ ποιοῦσιν ἄλλοι τε πολλοὶ καὶ οὐχ ἥκιστα Πλάτων. οὐ δὴ λέγω περὶ τῆς ἐκλογῆς· ἀλλ' ἀφείσθω κατὰ τὸ παρὸν ἡ περὶ ταῦτα σκέψις· περὶ τῆς συνθέσεως αὐτῆς ἔστω ἡ θεωρία, τῆς ἐν τοῖς κοινοῖς ὀνόμασι καὶ τετριμμένοις καὶ ἥκιστα ποιητικοῖς τὰς ποιητικὰς χάριτας ἐπιδεικνυμένης. ὅπερ οὖν ἔφην, οὐ δύναται ψιλὴ λέξις ὁμοία γενέσθαι τῇ ἐμμέτρῳ καὶ ἐμμελεῖ, ἐὰν μὴ περιέχῃ μέτρα καὶ ῥυθμούς τινας ἐγκαταμεμιγμένους ἀδήλως. οὐ μέντοι προσήκει γ' ἔμμετρον, οὐδ' ἔῤῥυθμον, αὐτὴν εἶναι δοκεῖν· ποίημα γὰρ οὕτως ἔσται καὶ μέλος, ἐκβήσεταί τε ἁπλῶς τὸν αὐτῆς χαρακτῆρα· ἀλλ' εὔρυθμον αὐτὴν ἀπόχρη καὶ εὔμετρον φαίνεσθαι μόνον. οὕτω γὰρ ἂν εἴη ποιητικὴ μέν, οὐ μὴν ποίημά γε· καὶ εὐμελὴς μέν, οὐ μέλος δέ.

Τίς δ' ἐστὶν ἡ τούτων διαφορά, πανυ ῥᾴδιον ἰδεῖν. ἡ μὲν ὅμοια περιλαμβάνουσα μέτρα, καὶ τεταγμένους σώζουσα ῥυθμούς, κατὰ στίχον, ἢ περιο-

Digitized by Google

δον, ἢ στροφήν, διὰ τῶν αὐτῶν σχημάτων περαινομένη, κἄπειτα πάλιν τοῖς αὐτοῖς ῥυθμοῖς καὶ μέτροις ἐπὶ τῶν ἑξῆς στίχων, ἢ περιόδων, ἢ στροφῶν, χρωμένη, καὶ τοῦτο μέχρι πολλοῦ ποιοῦσα, ἔῤῥυθμός ἐστι καὶ ἔμμετρος, καὶ ὀνόματα κεῖται τῇ τοιαύτῃ λέξει μέτρον καὶ μέλος· ἡ δὲ πεπλανημένα μέτρα καὶ ἀτάκτους ῥυθμοὺς ἐμπεριλαμβάνουσα, καὶ μήτ' ἀκολουθίαν ἐμφαίνουσα αὐτῶν, μήτε ὁμοζυγίαν, μήτ' ἀντιστροφήν, εὔρυθμος μέν ἐστιν, ἐπειδὴ διαπεποίκιλταί τισι ῥυθμοῖς· οὐκ ἔῤῥυθμος δὲ, ἐπειδὴ οὐχὶ τοῖς αὐτοῖς, οὐδὲ κατὰ τὸ αὐτό. τοιαύτην εἶναι δὴ φημι πᾶσαν λέξιν εὔμετρον, ἥτις ἐμφαίνει τὸ ποιητικὸν καὶ μελικόν· ᾗ δὴ καὶ τῶν Δημοσθένη κεχρῆσθαί φημι. καὶ ὅτι ἀληθῆ ταῦτά ἐστι, καὶ οὐδὲν ἐγὼ καινοτομῶ, λάβοι μὲν ἄν τις καὶ ἐκ τῆς Ἀριστοτέλους μαρτυρίας τὴν πίστιν. εἴρηται γὰρ τῷ φιλοσόφῳ τά τ' ἄλλα περὶ τῆς λέξεως τῆς πολιτικῆς ἐν τῇ τρίτῃ βίβλῳ τῶν Ῥητορικῶν Τεχνῶν, οἵαν αὐτὴν εἶναι προσήκει, καὶ δὴ καὶ περὶ τῆς εὐρυθμίας, ἐξ ὧν ἄν τοιαύτη γένοιτο· ἐν ᾗ τοὺς ἐπιτηδειοτάτους ὀνομάζει ῥυθμοὺς, καὶ πῇ χρήσιμος ἕκαστος αὐτῶν καταφαίνεται, καὶ λέξεις παρατίθησί τινας, αἷς πειρᾶται βεβαιοῦν τὸν λόγον. χωρὶς δὲ τῆς Ἀριστοτέλους μαρτυρίας, ὅτι ἀναγκαῖόν ἐστιν ἐμπεριλαμβάνεσθαί τινας τῇ πεζῇ λέξει ῥυθμοὺς, εἰ μέλλοι τὸ ποιητικὸν ἐπανθήσειν αὐτῇ κάλλος, ἐκ τῆς πείρας αὐτῆς γνώσεται.

Αὐτίκα ὁ κατὰ Ἀριστοκράτους λόγος, οὗ καὶ μικρῷ πρότερον ἐμνήσθην, ἄρχεται μὲν ἀπὸ κωμι-

Digitized by Google

κοῦ στίχου τετραμέτρου δι' ἀναπαίστων τῶν ῥυθμῶν ἐγκειμένου· λείπεται δὲ ποδὶ τοῦ τελείου, παρ' ὃ καὶ λέληθεν· „Μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, „νομίσῃ με." τοῦτο γὰρ εἰ προσλάβοι τὸ μέτρον πόδα, ἤτοι κατ' ἀρχάς, ἢ διὰ μέσου, ἢ ἐπὶ τελευτῆς, τέλειον ἔσται τετράμετρον ἀναπαιστικόν, ὃ καλοῦσί τινες Ἀριστοφάνειον· „Μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθη„ναῖοι, νομίσῃ με παρεῖναι." ἴσον δὲ τῷ·

Λέξω τοίνυν [τὴν] ἀρχαίαν παιδείαν, ὡς διέκειτο. τάχα τις ἐρεῖ πρὸς ταῦτα· ὅτι οὐκ ἐξ ἐπιτηδεύσεως τοῦτο, ἀλλ' ἐκ ταὐτομάτου ἐγένετο· πολλὰ γὰρ αὐτοσχεδιάζει μέτρα ἡ φύσις. ἔστω τοῦτο ἀληθὲς εἶναι. ἀλλὰ καὶ τὸ συναπτόμενον τούτῳ κῶλον, εἰ διαλύσειέ τις αὐτοῦ τὴν δευτέραν συναλοιφήν, ἢ πεποίηκεν αὐτὸ ἄσημον, ἐπισυνάπτουσα τῷ πρίτῳ κώλῳ, πεντάμετρον ἐλεγειακὸν ἔσται συντετελεσμένον ἀκριβῶς τουτί· „Μήτ' ἰδίας ἔχθρας μηδεμιᾶς ἕνεκα." ὅμοιον τούτοις·

Κοῦραι ἐλαφροπόδων ἴχνε' ἀειράμεναι.

καὶ τοῦτ' ἔτι κατὰ τὸν αὐτὸν ὑπολάβωμεν αὐτοματισμὸν ἄνευ γνώμης γεγονέναι, ἀλλ' ἐγὼ τῷ μεταξὺ κώλου συγκειμένου λεκτικῶς, τοῦ „Ἥκειν „Ἀριστοκράτους κατηγορήσοντα τουτουί," τὸ συμπλεκόμενον τούτῳ πάλιν κῶλον ἐκ δυοῖν συνέστηκε μέτρων· „Μήτε μικρὸν ὁρῶντά τι καὶ φαῦλον „ἁμάρτημα, ἑτοίμως οὕτως ἐπὶ τούτῳ." τοιγάρτοι Σαπφικόν τι ἐπιθαλάμιον τουτί·

Οὐ γὰρ ἔτερα ἦν παῖς, ὦ γαμβρέ, τοιαῦτα·

Digitized by Google

καὶ τοῦ κωμικοῦ τετραμέτρου, λεγομένου δὲ Ἀριστοφανείου, τοῦδε·

Ὅτ' ἐγὼ τὰ δίκαια λέγων ἤνθουν, καὶ σωφροσύνη νενόμιστο·

τούς τε τελευταίους πόδας τρεῖς καὶ τὴν κατάληξιν ἐμβαλὼν, συνάψειε τοῦτον τὸν τρόπον·

Οὐ γὰρ ἑτέρα ἦν παῖς, ὦ γαμβρέ, τοιαύτα,—καὶ σωφροσύνη νενόμιστο·

οὐδὲν διοίσει τοῦ „Μήτε μικρὸν ὁρῶντά τι καὶ φαῦλον ἁμάρτημα, ἑτοίμως οὕτως ἐπὶ τούτῳ.“ τὸ δ' ἀκόλουθον ἴσον ἐστὶν ἰαμβικῷ τριμέτρῳ, τὸν ἔσχατον ἀφῃρημένῳ πόδα· „Προάγειν ἑμαυτὸν εἰς ἀπέχθειαν·“ τέλειον γὰρ ἔσται προσλαβὸν πόδα, καὶ γενόμενον τοιοῦτον· „Προάγειν ἑμαυτὸν εἰς ἀπέχθειάν τινι.“ παρίδωμεν ἔτι καὶ ταῦτα, ὡς οὐκ ἐξ ἐπιτηδεύσεως, ἀλλ' αὐτοματισμῷ γενόμενα. τί οὖν βούλεται πάλιν τὸ προσεχὲς τούτῳ κῶλον; ἰάμβειον γάρ ἐστι καὶ τοῦτο τρίμετρον ὀρθόν· „Ἀλλ' εἴπερ „ἄρ' ὀρθῶς ἐγὼ λογίζομαι·“ τοῦ Ἄρα συνδέσμου μακρὰν λαμβάνοντος τὴν προτέραν συλλαβήν, καὶ ἔτι γε, νὴ Δία, μέσου παρεκπεσόντος τοῦ „Καὶ σκοπῶ,“ ὑφ' οὗ δὴ τὸ μέτρον ἐπισκοτούμενον ἠφάνισται. τὸ δ' ἐπὶ τούτῳ λαμβανόμενον κῶλον ἐξ ἀναπαίστων σύγκειται ῥυθμῶν, καὶ προάγει μέχρι ποδῶν ὀκτὼ, τὸ αὐτὸ σχῆμα διασῶζον· „Περὶ τοῦ τὴν Χερρόνησον ἔχειν ἀσφαλῶς ὑμᾶς, καὶ μὴ παρακρουσθέντας·“ ὅμοιον τῷ παρ' Εὐριπίδῃ·

Ὦ βασιλεῦ χώρας τῆς πολυβόλου, Κισσεῦ, πεδίον πυρὶ μαρμαίρει.

Digitized by Google

καὶ τὸ μετὰ τοῦτο πάλιν κείμενον τοῦ αὐτοῦ κώλου μέρος τουτί· „Ἀποστερηθῆναι πάλιν αὐτῆς·“ ἰαμβικὸν τρίμετρόν ἐστι, ποδὶ καὶ ἡμίσει λεῖπον. ἐγένετο δ' ἂν τέλειον οὕτως· „Ἀποστερηθῆναι πάλιν αὐτῆς „ἐν μέρει.“ ταυτὶ φῶμεν αὐτοσχέδια εἶναι καὶ ἀνεπιτήδευτα, οὕτω ποικίλα [καὶ πολλὰ] ὄντα; ἐγὼ μὲν οὐκ ἀξιῶ. καὶ γὰρ τὰ ἑξῆς τούτοις ὅμοια εὑρεῖν ἔστι, πολλῶν καὶ παντοδαπῶν ἀνάμεστα μέτρων τε καὶ ῥυθμῶν.

Ἀλλ' ἵνα μὴ τοῦτον ὑπολάβῃ τις μόνον οὕτω κατεσκευάσθαι τὸν λόγον, ἑτέρου πάλιν ἅψομαι τοῦ πάνυ ἡρμηνεῦσθαι δαιμονίως δοκοῦντος, τοῦ ὑπὲρ Κτησιφῶντος, ὃν ἐγὼ κράτιστον ἀποφαίνομαι πάντων λόγων. ὁρῶ δὲ κἂν τούτῳ μετὰ τὴν προσαγόρευσιν τῶν Ἀθηναίων εὐθέως τὸν κρητικὸν ῥυθμόν· εἶτ' ἄρα παιάνά τις βούλεται αὐτὸν καλεῖν· διοίσει γὰρ οὐδὲν τῶν ἓξ πέντε συγκειμένων χρόνων· οὐκ αὐτοσχεδίως, μὰ Δία, ἀλλ' ὡς οἷόν τε μάλιστα ἐπιτετηδευμένως δι' ὅλου τοῦ κώλου πλεκόμενον τοῦτον· „Τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις.“ οὐ τοιοῦτος μέντοι κἀκεῖνός ἐστιν ὁ ῥυθμός;

Κρησίοις ἐν ῥυθμοῖς παῖδα μέλψωμεν.

ἐμοὶ γοῦν δοκεῖ. ἔξω γὰρ τοῦ τελευταίου ποδὸς τά γ' ἄλλα ἐν πᾶσιν ἴσα ὥρισται. καὶ τοῦτο εἰ βούλεταί τις αὐτοσχέδιον, ἀλλὰ καὶ τὸ συναπτόμενον τούτῳ κῶλον ἰαμβικόν ἐστιν ὀρθόν, συλλαβῆ τοῦ τελείου δέον, ἵνα κἀνταῦθ' ἄσημον γένηται τὸ μέτρον· ἐπεὶ μιᾶς γε συλλαβῆς προστεθείσης τέλειον ἔσται· „Ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ·“ κἄπειτα ὁ

Digitized by Google

Παιὰν, ἢ ὁ Κρητικὸς ἐκεῖνος ὁ πεντάχρονος ἤξει ῥυθμὸς ἐν τοῖς ἑξῆς τούτοις· „Τῇ πόλει καὶ πᾶσιν „ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ „τὸν ἀγῶνα.“ τοῦτό γ' οὖν ἔοικεν, ὅτι μὴ κατακεκλασμένους ἔχει δύο πόδας ἐν ἀρχαῖς. κατὰ γοῦν τὰ ἄλλα πάντα τῷ παρὰ Βακχυλίδῃ·

Οὐχ ἕδρας ἔργον, οὐδ' ἀμβολᾶς,
Ἀλλὰ χρυσαιγίδος Ἰτωνίας
Χρὴ παρ' εὐδαίδαλον ναὸν
Ἐλθόντας, ἁβρόν τι δεῖξαι.

Ὑφορῶμαί τινα πρὸς ταῦτα καταδρομὴν ἀνθρώπων, τῆς μὲν ἐγκυκλίου παιδείας ἀπείρων, τὸ δ' ἀγοραῖον τῆς ῥητορικῆς μέρος ὁδοῦ τε καὶ τέχνης χωρὶς ἐπιτηδευόντων· πρὸς οὓς ἀναγκαῖον ἀπολογήσασθαι, μὴ δόξωμεν ἔρημον ἀφεικέναι τὸν ἀγῶνα. ἐροῦσι δὴ ταῦτα· „Ὁ Δημοσθένης οὖν οὕτως „ἄθλιος ἦν, ὥσθ', ὅταν γράφοι τοὺς λόγους, μέτρα „καὶ ῥυθμοὺς, ὥσπερ οἱ πλάσται, παρατιθέμενος, „ἐναρμόττειν ἐπειρᾶτο τούτοις τοῖς τύποις τὰ κῶλα, „στρέφων ἄνω καὶ κάτω τὰ ὀνόματα, καὶ παραφυ„λάττων τὰ μήκη καὶ τοὺς χρόνους, καὶ τὰς πτώσεις „τῶν ὀγομάτων, καὶ τὰς ἐγκλίσεις τῶν ῥημάτων, καὶ „πάντα τὰ συμβεβηκότα τοῖς μορίοις τοῦ λόγου „πολυπραγμονῶν; ἠλίθιος μέν τ' ἂν εἴη εἰς τοσαύ„την σκευωρίαν καὶ φλυαρίαν ὁ τηλικοῦτος ἀνὴρ „ἑαυτὸν διδούς.“ Ταῦτα δὲ καὶ τὰ τούτοις παραπλήσια κωμῳδοῦντας αὐτοὺς καὶ καταχλευάζοντας οὐ χαλεπῶς ἄν τις ἀποκρούσαιτο, ταῦτα εἰπών.

Πρῶτον μέν, ὅτι οὐδὲν ἄτοπον ἦν, εἰ τοσαύτης

Digitized by Google

ἠξιωμένος ἀνήρ, ὅσης οὐδεὶς τῶν πρότερον ὀνομασθέντων ἐπὶ δεινότητι λόγων, ἔργα συνταττόμενος αἰώνια, καὶ διδαὺς αὐτὸν ὑπεύθυνον τῷ πάντα βασανίζοντι φθόνῳ καὶ χρόνῳ, μηδὲν εἰκῇ μήτε πρᾶγμα παραλαμβάνει, μήτ' ὄνομα· πολλὴν δ' ἀμφοῖν ἔχει τούτων πρόνοιαν, τῆς τ' ἐν τοῖς νοήμασιν οἰκονομίας, καὶ τῆς εὐμορφίας τῆς περὶ τὰ ὀνόματα· ἄλλως τε καὶ τῶν τότε ἀνθρώπων οὐ γραπτοῖς, ἀλλὰ γλυπτοῖς καὶ τορευτοῖς ἐοικότας ἐκφερόντων λόγους· λέγω δ' Ἰσοκράτους καὶ Πλάτωνος τῶν σοφιστῶν. ὁ μὲν γὰρ τὸν πανηγυρικὸν λόγον, ὃς οἱ τὸν ἐλάχιστον χρόνον γράφοντες ἀποφαίνουσιν, ἐν ἔτεσι δέκα συνετάξατο· ὁ δὲ Πλάτων, τοὺς ἑαυτοῦ διαλόγους κτενίζων καὶ βοστρυχίζων, καὶ πάντα τρόπον ἀναπλέκων, οὐ διέλιπεν ὀγδοήκοντα γεγονὼς ἔτη. πᾶσι γὰρ δήπου τοῖς φιλολόγοις γνώριμα τὰ περὶ τῆς φιλοπονίας τἀνδρὸς ἱστορούμενα, τά τ' ἄλλα, καὶ δὴ καὶ τὰ περὶ τὴν δέλτον, ἣν, τελευτήσαντος αὐτοῦ, λέγουσιν εὑρεθῆναι, ποικίλως μετακειμένην τὴν ἀρχὴν τῆς Πολιτείας ἔχουσαν, τήνδε· „Κατέβην χθὲς εἰς Πειραιᾶ μετὰ Γλαύκωνος τοῦ „Ἀρίστωνος·" τί οὖν ἦν ἄτοπον, εἰ καὶ Δημοσθένει φροντὶς εὐφωνίας τε καὶ ἐμμελείας ἐγένετο, καὶ τοῦ μηδὲν εἰκῇ καὶ ἀβασανίστως τιθέναι μήτ' ὄνομα, μήτ' ἔννόημα; πολύ τε γὰρ μᾶλλον ἐμοὶ δοκεῖ προσήκειν ἀνδρὶ κατασκευάζοντι λόγους πολιτικοὺς, μνημεῖα τῆς ἑαυτοῦ δυνάμεως αἰώνια, μηδενὸς τῶν ἐλαχίστων ὀλιγωρεῖν, ἢ ζωγράφων τε καὶ τορευτῶν παισὶν, ἐν ὕλῃ φθαρτῇ χειρῶν εὐστοχίας καὶ πόνους

Digitized by Google

ὑποδεικνυμένοις, περὶ τὰ φλέβια καὶ τὰ πτίλα καὶ τὸν χνοῦν καὶ τὰς τοιαύτας μικρολογίας κατατρίβειν τῆς τέχνης τὴν ἀκρίβειαν. τούτοις δὴ τοῖς λόγοις χρώμενος δοκεῖ μοί τις οὐδὲν ἔξω τοῦ εἰκότος ἀξιοῦν, καὶ ἔτι ἐκεῖνα εἰπών· ὅτι μειράκιον μὲν ὄντα, καὶ νεωστὶ τοῦ μαθήματος ἁπτόμενον αὐτόν, οὐκ ἄλογον πάντα περισκοπεῖν, ὅσα δυνατὰ ἦν εἰς ἐπιτήδευσιν ἀνθρωπίνην ἐλθεῖν· ἐπειδὴ δὲ χρόνιος ἄσκησις, ἰσχὺν πολλὴν λαβοῦσα, τύπους τινὰς ἐν τῇ διανοίᾳ παντὸς τοῦ μελετωμένου καὶ σφραγῖδας ἐνεποίησεν, ἐκ τοῦ ῥᾴστου τε καὶ ἀπὸ τῆς ἕξεως αὐτὰ ἤδη ποιεῖν. οἷόν τι γίνεται κἂν ταῖς ἄλλαις τέχναις, ὧν ἐνέργειά τις, ἡ ποίησις, τὸ τέλος, αὐτίκα οἱ κιθαρίζειν τε καὶ ψάλλειν καὶ αὐλεῖν ἄκρως εἰδότες, ὅταν κρούσεως ἀκούσωσιν ἀσυνήθους, οὐ πολλὰ πραγματευθέντες ἀπαριθμοῦσιν αὐτὴν εὐθὺς ἐπὶ τῶν ὀργάνων, ἀλλὰ καὶ νοήσει, μανθάνοντες δέ γε χρόνῳ πολλῷ καὶ πόνῳ τὰς δυνάμεις τῶν φθόγγων, ἀναλαμβάνουσι. καὶ οὐκ εὐθὺς αἱ χεῖρες αὐτῶν ἐν ἕξει τοῦ ὁρᾶν τὰ παραγγελλόμενα ἦσαν, ὀψὲ δέ ποτε, καὶ ὅτε ἡ πολλὴ ἄσκησις αὐτῶν τὸ ἔθος κατέστησεν εἰς φύσιν, τότε τῶν ἔργων ἐγένοντο ἐπιτυχεῖς.

Καὶ τί δεῖ περὶ τῶν ἄλλων λέγειν; ὃ γὰρ ἅπαντες ἴσμεν, ἀπόχρη καὶ πᾶσαν αὐτῶν διακύψαι τὴν φλυαρίαν. τί δ' ἔστι τοῦτο; τὰ γράμματα ὅταν παιδευώμεθα, πρῶτον μὲν τὰ ὀνόματα αὐτῶν ἐκμανθάνομεν, ἔπειτα τοὺς τύπους καὶ τὰς δυνάμεις· εἶθ' οὕτω τὰς συλλαβάς, καὶ τὰ ἐν ταύταις πάθη· καὶ μετὰ τοῦτ' ἤδη τὰς λέξεις, καὶ τὰ συμβεβηκότα

Digitized by Google

αὐταῖς, ἐκτάσεις τε λέγω καὶ συστολὰς καὶ προσῳδίας, καὶ τὰ παραπλήσια τούτοις· ὅταν δὲ τὴν τούτων ἐπιστήμην λάβωμεν, τότ' ἀρχόμεθα γράφειν τε καὶ ἀναγινώσκειν κατὰ συλλαβήν, καὶ βραδέως τὸ πρῶτον· ἐπεὶ δὲ ὁ χρόνος ἀξιόλογος προσελθὼν τύπους ἰσχυροὺς αὐτῶν ἐν ταῖς ψυχαῖς ἡμῶν ποιήσει, τότ' ἀπὸ τοῦ ῥᾴστου δρῶμεν αὐτά, καὶ πᾶν, ὅ τι ἂν ἐπιδῷ τις βιβλίον, ἀπταίστως διερχόμεθα ἕξει τε καὶ τάχει ἀπίστῳ. τοιοῦτον δὴ καὶ περὶ τὴν σύνθεσιν τῶν ὀνομάτων, καὶ περὶ τὴν εὐέπειαν τῶν κώλων ὑποληπτέον γίνεσθαι παρὰ τοῖς ἀθληταῖς τοῦ ἔργου· τοῖς δὲ τούτου ἀπείροις, ἢ ἀτριβέσιν ἔργου ὁτουοῦν, θαυμάζειν καὶ ἀπιστεῖν, εἴ τι κεκροτημένον ὑφ' ἑτέρου γίνεται διὰ τέχνης, οὐκ ἄλογον. πρὸς μὲν οὖν τοὺς εἰωθότας χλευάζειν τὰ παραγγέλματα τῶν τεχνῶν, ταῦτα εἰρήσθω.

Quomodo oratio ligata simillima videatur solutae.

XXVI. Περὶ δὲ τῆς ἐμμελοῦς καὶ ἐμμέτρου συνθέσεως τῆς ἐχούσης πολλὴν ὁμοιότητα πρὸς τὴν πεζὴν λέξιν τοιαῦτά τινα λέγειν ἔχω· ὡς πρώτη μέν ἐστιν αἰτία κἀνταῦθα τὸν αὐτὸν τρόπον, ὅνπερ ἐπὶ τῆς ἀμέτρου ποιητικῆς, ἡ τῶν ὀνομάτων αὐτῶν ἁρμογή· δευτέρα δέ, ἡ τῶν κώλων σύνθεσις· τρίτη δὲ, ἡ τῶν περιόδων ἐμμετρία. τὸν δὲ βουλόμενον ἐν τούτῳ τῷ μέρει κατορθοῦν, τὰ τῆς λέξεως μόρια δεῖ πολυειδῶς στρέφειν τε καὶ συναρμόττειν, καὶ τὰ κῶλα ἐν διαστήμασι ποιεῖν συμμέτρως, μὴ συναπαρτίζοντα τοῖς στίχοις, ἀλλὰ διατέμνοντα τὸ μέ-

Digitized by Google

τρον, ἄνισά τε ποιεῖν αὐτὰ καὶ ἀνόμοια· πολλάκις δὲ καὶ εἰς κόμματα συνάγειν βραχύτερα κώλων, τάς τε περιόδους μήτε ἰσομεγέθεις, μήτε ὁμοιοσχήμονας τὰς γοῦν παρακειμένας ἀλλήλαις, ἐργάζεσθαι. ἔγγιστα γὰρ φαίνεται λόγοις τὸ παρὰ τοὺς ῥυθμοὺς καὶ τὰ μέτρα πεπλανημένον. τοῖς μὲν οὖν τὰ ἔπη καὶ τοὺς ἰάμβους καὶ τὰ ἄλλα τὰ ὁμοιοειδῆ μέτρα κατασκευάζουσιν οὐκ ἔνεστι πολλοῖς διαλαμβάνειν μέτροις, ἢ ῥυθμοῖς, τὰς ποιήσεις, ἀλλ' ἀνάγκη μένειν ἀεὶ ἐπὶ τοῦ αὐτοῦ σχήματος. τοῖς δὲ μελοποιοῖς ἔξεστι πολλὰ μέτρα καὶ ῥυθμοὺς εἰς μίαν ἐμβαλεῖν περίοδον· ὥσθ' οἱ μὲν τὰ μονόμετρα συντιθέντες, ὅταν διαλύσωσι τοὺς στίχους, τοῖς κώλοις διαλαμβάνοντες ἄλλοτε ἄλλως, διαχέουσι καὶ ἀφανίζουσι τὴν ἀκρίβειαν τοῦ μέτρου· καὶ ὅταν τὰς περιόδους μεγέθει τε καὶ σχήματι ποικίλας ποιῶσιν, εἰς λήθην ἐμβάλλουσι τοῦ μέτρου. οἱ δὲ μελοποιοὶ, πολυμέτρους τὰς στροφὰς ἐργαζόμενοι, καὶ τῶν κώλων ἑκάστου πάλιν ἀνίσων ὄντων καὶ ἀνομοίων ἀλλήλοις, ἀνομοίους τε καὶ ἀνίσους ποιούμενοι τὰς διαιρέσεις, δι' ἄμφω ταῦτα οὐκ ἐῶντες ἡμᾶς ὁμοειδοῦς ἀντίληψιν λαβεῖν ῥυθμοῦ, πολλὴν τὴν πρὸς τοὺς λόγους ὁμοιότητα κατασκευάζουσιν ἐν τοῖς μέλεσιν. ἔνεστί τε, καὶ τροπικῶν καὶ ξένων καὶ γλωττηματικῶν καὶ τῶν ἄλλων τῶν ποιητικῶν ὀνομάτων μενόντων ἐν τοῖς ποιήμασι, μηδὲν ἧττον αὐτὰ φαίνεσθαι λόγῳ παραπλήσια.

Μηδεὶς δὲ ὑπολαμβανέτω με ἀγνοεῖν, ὅτι καλία ποιήματος ἡ καλουμένη Λογοείδεια δοκεῖ τις

Digitized by Google

εἶναι· μηδὲ καταγινωσκέτω μου ταύτην τὴν ἀμαθίαν, ὡς ἄρα ἐγὼ κακίαν τινὰ ἐν ἀρεταῖς τάττω ποιημάτων, ἢ λόγων· ὡς δ' ἀξιῶ διαιρεῖν κἀν τούτοις τὰ σπουδαῖα ἀπὸ τῶν μηδενὸς ἀξίων, ἀκούσας μαθέτω. ἐγὼ τοῦ λόγου τὸν μὲν, ἰδιώτην ἐπιστάμενος ὄντα, τὸν ἀδολέσχην τοῦτον λέγω καὶ φλύαρον· τὸν δὲ πολιτικὸν, ἐν ᾧ πολὺ τὸ κατεσκευασμένον ἐστὶ καὶ ἔντεχνον· ὅ τι μὲν ἂν τῶν ποιημάτων ὅμοιον εὑρίσκω τῷ φλυάρῳ καὶ ἀδολέσχῃ, γέλωτος ἄξιον αὐτὸ τίθεμαι· ὅ τι δ' ἂν τῷ κατεσκευασμένῳ καὶ ἐντέχνῳ, ζήλου καὶ σπουδῆς ἐπιτήδειον τυγχάνειν οἶμαι. εἰ μὲν οὖν διαφόρου προσηγορίας τῶν λόγων ἑκάτερος ἐτύγχανεν, ἀκόλουθον ἦν ἂν καὶ τῶν ποιημάτων, ἃ τούτοις ἔοικε, διαφόροις ὀνόμασι καλεῖν ἑκάτερον· ἐπειδὴ δὲ ὅ τε σπουδαῖος, καὶ ὁ μηδενὸς ἄξιος ὁμοίως καλεῖται λόγος, οὐκ ἂν ἁμάρτοι τις, τὰ μὲν ἐοικότα τῷ καλῷ λόγῳ ποιήματα καλὰ ἡγούμενος, τὰ δὲ τῷ μοχθηρῷ πονηρὰ, [οὐδὲν ὑπὸ τῆς τοῦ λόγου ὁμοειδείας ταραττόμενος.] κωλύσει γὰρ οὐδὲν ἡ τῆς ὀνομασίας ὁμοιότης, κατὰ διαφόρων ταττομένη πραγμάτων, τὴν ἑκατέρου φύσιν ὁρᾶν. καὶ περὶ τούτων μὲν ἅλις.

Ὧν δὲ προὐθέμην τὰ παραδείγματα θεὶς, αὐτοῦ κατακλείσω τὸν λόγον. ἐκ μὲν οὖν τῆς ἐπικῆς ποιήσεως ταῦτ' ἀπόχρη·

Αὐτὰρ ὅ γ' ἐκλιμένος προσέβη τρηχεῖαν ἀταρπόν, ἓν μὲν δὴ τοῦτο κῶλον. ἕτερον δὲ·

Χῶρον ἂν' ὑλήεντα —

Digitized by Google

ἔλαττόν τε τοῦ προτέρου, καὶ δίχα τέμνον τὸν στίχον. τρίτον δὲ τουτί·

— δι᾽ ἄκριας —

ἔλαττον κώλου κομμάτιον.

— ᾗ οἱ Ἀθήνη

Πέφραδε δῖον ὑφορβὸν —

ἐξ ἡμιστίχων δύο συγκείμενον, καὶ τοῖς πρότέροις οὐδὲν ἐοικός. ἔπειτα τὸ τελευταῖον·

— ὃς οἱ βιότοιο μάλιστα

Κήδετο οἰκήων, οὓς κτήσατο δῖος Ὀδυσσεύς.

ἀπελῇ μὲν ποιοῦν τὸν τρίτον στίχον, τοῦ δὲ τετάρτου τῇ προσθήκῃ τὴν ἀκρίβειαν ἀφῃρημένον. ἔπειτ᾽ αἰθις·

Τὸν δ᾽ ἄρ᾽ ἐνὶ προδόμῳ εὗρ᾽ ἥμενον —

οὐ συνεκτρέχον οὐδὲ τοῦτο τῷ στίχῳ.

— ἔνθα οἱ αὐλὴ

Ψηλὴ δέδμητο —

ἄνισον καὶ τοῦτο τῷ προτέρῳ. κἄπειτα ὁ ἑξῆς νοῦς ἀπερίοδος ἐν κώλοις τε καὶ κόμμασι λεγόμενος. ἐπιθεὶς γάρ·

— περισκεπτῷ ἐνὶ χώρῳ,

πάλιν ἐποίσει·

Καλή τε μεγάλη τε —

βραχύτερον κώλου κομμάτιον. εἶτα·

— περίδρομος —

ὄνομα καθ᾽ ἑαυτὸ νοῦν τινα ἔχον. εἶθ᾽ ἑξῆς τὰ ἄλλα τοῦτον κατασκευάζει τρόπον· τί γὰρ δεῖ μηκύνειν τὸν λόγον;

Digitized by Google

Ἐκ δὲ τῆς ποιήσεως τῆς Ἰαμβικῆς τὰ Εὐριπίδου ταυτί·

Ὦ γαῖα πατρὶς, ἣν Πέλοψ ὁρίζεται,
Χαῖρ' —

τὸ πρῶτον ἄχρι τούτου κῶλον.

— ὅς τε πέτρον Ἀρκάδων δυσχειμέρων
Ἐμβατεύεις —

τὸ δεύτερον μέχρι τοῦδε.

— ἔνθεν εὔχομαι γένος.

τοῦτο τρίτον. τὰ μὲν πρότερα μείζονα στίχου· τοῦτο δ' ἔλαττον.

Λύγη γὰρ Ἀλέου παῖς με τῷ Τιρυνθίῳ
Τίκτει λαθραίως Ἡρακλεῖ —

μετὰ τοῦτο·

— ξύνοιδ' ὄρος
Παρθένιον —

οὐδέτερον αὐτῶν στίχῳ συμμετρούμενον. εἶτ' αὖθις ἕτερον στιχου τ' ἔλαττον καὶ στίχου μεῖζον

— ἔνθα μητέρ' ὠδίνων ἐμὴν
Εἶλυσεν Εἰλείθυια —

καὶ τὰ ἑξῆς τούτοις παραπλήσια.

Ἐκ δὲ τῆς μελικῆς τὰ Σιμωνίδεια ταῦτα. γέγραπται δὲ κατὰ διαστολὰς, οὐχ ὧν Ἀριστοφάνης, ἢ ἄλλος τις, κατεσκεύασε κώλων, ἀλλ' ὧν ὁ πεζὸς λόγος ἀπαιτεῖ. πρόσεχε δὴ τῷ μέλει, καὶ ἀναγίνωσκε ταῦτα κατὰ διαστολὰς, καὶ εὖ ἴσθ', ὅτι λήσεταί σε ὁ ῥυθμὸς τῆς ᾠδῆς, καὶ οὐχ ἕξεις συμβαλεῖν οὔτε στροφὴν, οὔτ' ἀντιστροφὴν, οὔτ' ἐπῳδόν· ἀλλὰ φανήσεταί σοι λόγος, οὕτωσὶ διειρόμενος

Digitized by Google

ἔστι δὲ ἡ διὰ πελάγους φερομένη Δανάη, τὰς ἑαυτῆς ἀποδυρομένη τύχας·

Ὅτε λάρναξι ἐν δαιδαλέᾳ ὄνεμος
βρέμῃ πνέων, κινηθεῖσα δὲ λίμνα
δείματι ἔριπεν· οὔτ' ἀδιάνταισι
παρειαῖς, ἀμφί τε Περσεῖ βάλλε
φίλαν χέρα, εἶπέν τε· Ὦ τέκνον,
οἷον ἔχω πόνον· σὺ δ' αὖτε χαλαθηνῷ
ἤτορι κνώσσεις ἐν ἀτερπεῖ δώματι,
χαλκεογόμφῳ δὲ, νυκτιλαμπεῖ,
κυανέῳ τε δνόφῳ. τὺ δ' αὐαλέαν
ὕπερθε τεὰν κόμαν βαθεῖαν
παριόντος κύματος οὐκ ἀλέγεις,
οὐδ' ἀνέμου φθόγγων, πορφυρέᾳ
κείμενος ἐν χλανίδι, πρόσωπον καλόν.
εἰ δέ τοι δεινὸν τό γε δεινὸν ἦν,
καί κεν ἐμῶν ῥημάτων λεπτὸν
ὑπεῖχες οὖας. κέλομαι, εὕδε, βρεφος,
εὑδέτω δὲ πόντος, εὑδέτω ἄμετρον κακόν.
μεταβουλία δέ τις φανείη,
Ζεῦ πάτερ, ἐκ σέο· ὅ τι δὴ θαρσαλέον
ἔπος, εὔχομαι τεκνόφι δίκας μοι.

Τοιαῦτά ἐστι τὰ ὅμοια τοῖς καλοῖς λόγοις μέτρα καὶ μέλη, διὰ ταύτας γινόμενα τὰς αἰτίας, ἃς προεῖπά σοι,

Τοῦθ' ἕξεις δῶρον ἡμέτερον, ὦ Ῥοῦφε, πολλῶν ἀντάξιον ἄλλων, εἰ βουληθείης ἐν ταῖς χερσί τ' αὐτὰ συνεχῶς, ὥσπερ τι καὶ ἄλλο τῶν πάνυ χρησίμων, ἔχειν. καὶ συνασκεῖν αὐταῖς καθ' ἡμέραν

Digitized by Google

γυμνασίαις. οὐ γὰρ αὐτάρκη τὰ παραγγέλματα τῶν τεχνῶν ἐστι δεινοὺς ἀνταγωνιστὰς ποιῆσαι τοὺς βουλομένους δίχα μελέτης τε καὶ γυμνασίας· ἀλλ' ἐπὶ τοῖς πονεῖν καὶ κακοπαθεῖν κεῖται, ἢ σπουδαῖα εἶναι τὰ παραγγέλματα καὶ λόγου ἄξια, ἢ φαῦλα καὶ ἄχρηστα.

Digitized by Google

ΔΙΟΝΥΣΙΟΥ
ΑΛΕΞΑΝΔΡΟΥ
ΤΟΥ
ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ
ΤΕΧΝΗ ΡΗΤΟΡΙΚΗ.

I.

De Oratione Panegyrica.

Πανήγυρις εὕρημα μὲν καὶ δῶρον θεῶν εἰς ἀνάπαυσιν τῶν περὶ τὸν βίον μειζόνων παραδιδομένη, ὥς που ὁ Πλάτων φησὶν, οἰκτειράντων τῶν θεῶν τὸ ἀνθρώπειον ἐπίπονον γένος. συνήχθησαν δὲ ὑπὸ ἀνθρώπων σοφῶν, κατεστάθησαν δὲ ὑπὸ πόλεων κοινῇ κοινῷ δόγματι, εἰς τέρψιν καὶ ψυχαγωγίαν τῶν παρόντων. ἀυντέλεια δὲ ἡ εἰς τὰς πανηγύρεις ἀλλήλων, παρὰ μὲν τῶν πλουσίων δαπάναι χρημάτων· παρὰ δὲ τῶν ἀρχόντων κόσμος περὶ τὴν πανήγυριν καὶ τῶν ἐπιτηδείων εὐπορία. οἱ δ' ἀθληταὶ τῇ ῥώμῃ τῶν σωμάτων κοσμοῦσι τὴν πανήγυριν, καὶ ὅσοι γε δὴ Μουσῶν καὶ Ἀπόλλωνος ὀπαδοὶ, τῇ μουσικῇ τῇ παρ' ἑαυτῶν. ἀνδρὶ δὲ περὶ λόγους ἐσπουδακότι, καὶ σύμπαντα τὸν ἑαυτοῦ βίον ἀνα-

Digitized by Google

τεθεικότι τούτοις, πρέποι ἄν, οἶμαι, τοῖς τοιούτοις λόγοις κοσμεῖν τὴν πανήγυριν, τέχνῃ μετιόντι τὸν λόγον, ὡς μὴ κατὰ τοὺς πολλοὺς εἴη αὐτῷ γινόμενος. φέρε οὖν εἰς τοῦτο, ὦ Ἑχέκρατες, λέγωμέν σοι, ὥσπερ ὁδοῦ τινος ἀστιβοῦς τοῖς πολλοῖς ἡγεμόνες γινόμενοι, ἣν πάλαι παρὰ τῶν πατέρων τῆς ἡμεδαπῆς σοφίας παραλαβόντες ἔχομεν· ἐκεῖνοι δὲ, καὶ οἱ ἔτι τούτων ἀνώτεροι, παρ' Ἑρμοῦ τε καὶ Μουσῶν λαβεῖν ἔφασαν, οὐ μεῖον, ἢ ὁ Ἀσκραῖος ποιμὴν ποίησιν παρὰ τῶν αὐτῶν τούτων ἐν τῷ Ἑλικῶνι.

2. Ἴθι δὴ οὖν σὺν τέχνῃ οὕτωσὶ μετιὼν τοὺς λόγους. Θεὸς μέν γέ που πάντως πάσης ἡστινοσοῦν πανηγύρεως ἡγεμὼν καὶ ἐπώνυμος· οἷον, Ὀλυμπίων μὲν, Ὀλύμπιος Ζεύς· τοῦ δ' ἐν Πυθοῖ, Ἀπόλλων. ἀρχὴ μὲν δὴ τοῦ λόγου τοῦδε, τοῦ θεοῦ, ὅστις ποτ' ἂν ᾖ, ἔπαινος ἡμῖν γενέσθω, ὥσπερ προσωπεῖόν τι τηλαυγὲς προκείμενος τοῦ λόγου. ἐπαινέσεις δ' ἀπὸ τῶν προσόντων τῷ θεῷ· εἰ μὲν Ζεὺς, ὅτι βασιλεὺς θεῶν, ὅτι τῶν ὅλων δημιουργός· εἰ δ' Ἀπόλλων, ὅτι μουσικῆς εὑρετής, ὅτι ὁ αὐτὸς Ἡλίῳ, Ἥλιος δὲ πάντων πᾶσιν ἀγαθῶν αἴτιος· εἰ δὲ Ἡρακλῆς, ὅτι Διὸς, καὶ ἃ παρέσχε τῷ βίῳ. καὶ σχεδὸν ὁ τόπος συμπληρωθήσεται, ἐξ ὧν ἕκαστος ἢ εὗρεν, ἢ παρέσχε τοῖς ἀνθρώποις. ἐν βραχεῖ δὲ ταῦτα, ὡς μὴ τοῦ ἐπιόντος ὁ λόγος ὁ προάγων μεῖζων γίγνοιτο.

3. Ἐφεξῆς ἐπιέναι χρὴ τὸν ἔπαινον τῆς πόλεως, ἐν ᾗ ἡ πανήγυρις· περὶ θέσεως αὐτῆς, περὶ γενέσεως· ἐν ᾧ, τίς ὁ κτίστης, θεὸς, ἢ ἥρως, καὶ εἴ τι ἔχεις περὶ αὐτοῦ εἰπεῖν· εἴ τι πέπρακται τῇ πόλει, ἢ ἐν

Digitized by Google

πολέμοις; ἢ ἐπ' εἰρήνης. ἁρμόσει δὲ καὶ περὶ μεγέθους λέγειν, εἰ μεγάλη ἢ σμικρά, ὅτι κάλλει διαφέρουσα, ὅτι, εἰ καὶ σμικρά, ἀλλὰ δυνάμει ἰσοῦται ταῖς μεγάλαις· ὅσα περὶ κόσμον, οἷον ἱερῶν, ἢ τῶν ἐν τούτοις ἀναθημάτων, δημοσίων οἰκοδομημάτων, ἰδιωτικῶν, ὡς που καὶ Ἡρόδοτος πεντόροφα καὶ ἑξόροφά φησιν εἶναι ἐν Βαβυλῶνι· ἂν ποταμὸς ᾖ μέγας, ἢ καθαρὸς, ἢ συμβαλλόμενος τοῖς ἐνοικοῦσι τὴν χώραν· εἰ δὲ δὴ καὶ μῦθος εἴη λεγόμενός τις περὶ τῆς πόλεως, οὕτω μὲν ἂν καὶ πολλὴν γλυκύτητα ἔχοι ὁ λόγος.

4. Λεκτέον δ' ἐπὶ τούτοις καὶ περὶ αὐτοῦ τοῦ ἀγῶνος, τίς ἀρχὴ καὶ κατάστασις αὐτοῦ, ἢ ἐφ' οἷς-τισιν ἐτέθη· εἴτε μῦθός τις εἴη, εἴτε ἄλλο τι ἀρχαῖον. ἐν τούτῳ δὲ γενόμενος, μὴ ἁπλῶς παρέλθῃς τὸν τόπον, ἀλλὰ παραβαλεῖν χρὴ πρὸς τοὺς ἄλλους ἀγῶνας. τοῦτο δ' εὐπορήσεις τῷ λόγῳ, οἷον ἀπὸ καιροῦ παραβάλλων· εἰ μὲν πρὸς ἔαρ ἄγοιτο, ὅτι ἐν τῷ συμμετροτάτῳ πρὸς ἑκάτερα· εἰ δ' ἐν χειμῶνι, ὅτι ἐν τῷ ἐρρωμενεστάτῳ καὶ ἀνδρειοτάτῳ, ὡς ἂν εἴποι τις, καιρῷ· εἰ δ' ἐν θέρει, ὅτι πρὸς ἄσκησιν καὶ θεωρίαν τῶν θεωμένων κατεστάθη, καὶ ὅτι ἔλεγχος τῆς προαιρέσεως, καὶ μὴ ὄντων ἀθλητῶν τοὺς θεωμένους ἀγωνίζεσθαι. ἔχοις δ' ἂν καὶ τὸ φθινόπωρον ἐπαινεῖν, καὶ [ὅτι] ἀπὸ συγκομιδῆς τῶν καρπῶν, καὶ ἀπὸ τοῦ ἤδη παύεσθαι τοὺς ἀνθρώπους τῶν πόνων.

5. Σκοπεῖσθαι δὲ καὶ τὸν τρόπον τῆς διαθέσεως τοῦ ἀγῶνος δεῖ. εἰ μὲν μουσικὸς καὶ γυμνικὸς

Digitized by Google

εἴη, ὅτι τελεώτατος ὁ ἀγών, καὶ ἀνενδεῶς κεκραμένος καὶ ῥώμῃ σωμάτων, καὶ καλλιφωνίᾳ, καὶ τοῖς λοιποῖς μέρεσι τῆς μουσικῆς· εἰ δὲ γυμνικός, ὅτι τὴν μουσικὴν ὡς ἐκθηλύνουσαν τὴν ψυχὴν παρῃτήσατο, τὴν δὲ ῥώμην τῶν σωμάτων παρέλαβε· καὶ ὅτι ὁ τρόπος τῆς ἀγωνίας χρήσιμος πρὸς τὴν ἀνδρείαν τὴν ἐν τοῖς πολέμοις.

6. Μὴ παρέργως δὲ μηδ' αὐτὸν τὸν στέφανον παρέλθῃς, ὅστις εἴη· οὐδὲ γὰρ ἐν τούτῳ γενόμενος ἀπορήσεις ἐπαίνου. τὴν μὲν δρῦν, ὅτι ἱερὰ Διός, καὶ ὅτι ἡ πρώτη καὶ πρεσβυτάτη τροφὴ τῶν ἀνθρώπων, καὶ ὅτι οὐκ ἄφωνος. ἀλλὰ καὶ ἐφθέγξατό ποτε ἐν Δωδώνῃ. εἰ δ' ἐλαία, ὅτι ἱερὰ τῆς Ἀθηνᾶς, καὶ ὅτι ἄκος πόνων, καὶ ὅτι τὰ τρόπαια ἀπὸ τούτου τοῦ φυτοῦ ἀνέθεσαν οἱ παλαιοὶ, καὶ ὅτι τῆς νίκης τοῦτο σύμβολον τὸ φυτόν, καὶ ὅτι ἡ Ἀθηνᾶ τούτῳ πρώτῳ ἐστέψατο νικήσασα τὸν Ποσειδῶνα, καὶ ὅτι οἰκειότατον τοῖς ἀγωνιζομένοις· τὰ γὰρ γυμνάσια διὰ τοῦ ἐλαίου διαπονεῖται· καὶ ὅτι συναγωνίζεται πρὸς τὸν λόγον, δι' οὗ πανηγύρεις κοσμοῦνται. καὶ τὴν δάφνην δ' ἐρεῖς, ὅτι καὶ ἱερὰ τοῦ Ἀπόλλωνος, καὶ μαντικὸν τὸ φυτόν. εἰ δὲ βούλει καὶ τοῦ μύθου ἐφάπτεσθαι τοῦ περὶ τῆς Δάφνης, οὐδὲ τοῦτό σοι ἄπο τρόπου εἴη ἂν εἰρημένον. ὁμοίως δὲ καὶ ἕτερον εἰ ἐπείη, οἷον οἱ καρποὶ Δημητριακοὶ, ἢ πίτυος. εὐπορήσεις δέ που καὶ περὶ τούτων ἑκάστου. οὐκ ἔξω δὲ φιλοτιμίας οὐδὲ τὸ παραβαλεῖν τὸν στέφανον πρὸς τοὺς παρ' ἄλλοις

Digitized by Google

7. Ὁ δέ σοι τοῦ παντὸς λόγου οἱονεὶ κολοφὼν ἐπήχθω τοῦ βασιλέως ἔπαινος, καὶ ὅτι τῷ ὄντι ἀγωνοθέτης πάντων ἀγώνων, ὁ τὴν εἰρήνην πρυτανεύων, δι' ἣν καὶ τοὺς ἀγῶνας ἐπιτελεῖν οἷόν τε. ἤδη δέ τινες καὶ τοὺς διατιθέντας τοὺς ἀγῶνας ἐπῄνεσαν, εἰ ἄρα ἔνδοξοί τινες οὗτοι, ὅτι καὶ ἐν ἄλλοις πρότερον γενόμενοι χρήσιμοι, καὶ ἐν τούτοις ὅτι φιλοτιμότατοι. εἰ δὲ μὴ ἄλλα ἔχεις πρεσβύτερα, ὅτι ἀρχὴ τῆς φιλοτιμίας τῆς περὶ τὴν πατρίδα μεγίστη καὶ Ἑλληνικωτάτη. ἡ δὲ λέξις ἄλλη μὲν κατὰ τὴν ἑκάστων φύσιν, ἢ βούλησιν.

8. Εἰ δὲ δὴ κρατεῖν χρὴ τὴν ἐμὴν γνώμην, οὐ μονότροπον ταύτην συμβουλεύσαιμ' ἂν εἶναι, ἀλλὰ ποικίλην καὶ μεμιγμένην, καὶ τὰ μὲν τῇ ἀφελείᾳ προάγοντα, τὰ δ' ἐν ἀντιθέτοις τε καὶ παρισώσεσιν Ἰσοκράτους, τὰ δὲ διῳρημένοις. ταύτην γὰρ τὴν ὁδὸν καὶ τὸν τοῦ ἡμεδαποῦ χοροῦ ἡγεμόνα τε καὶ κορυφαῖον οἶδα μετιόντα, ὡς ἔπος εἰπεῖν, ἢ ἐν τοῖς πλείστοις· εἰ μή τις πρὸς εἶδος γράφειν τι προὔθετο. ἑκάστης δ' ἰδέας ἔοικεν ἡ ὕλη τὴν ἁρμονίαν. δεῖ δὲ τοῖς νοήμασιν ἑπακολουθοῦσαν καὶ τὴν ἑρμηνείαν ἐπάγειν· οἷα τὰ μὲν ἀφηγηματικὰ καὶ μύθου τινὸς ἐχόμενα, ἀφελῶς προάγοντα· ὅσα δὲ περὶ βασιλέων, ἢ θεῶν, σεμνῶς· ὅσα δὲ περὶ παραβολῶν καὶ συγκρίσεων, πολιτικῶς· εἰ μή ἄρα τις πρὸς τὴν ἀξίαν τινὰ ἰδέαν λόγου διὰ πάντων παρίχοιτο. ἐπιδεικτικώτερον δὲ τὸ προειρημένον καὶ δημοτερπέστερον.

Digitized by Google

II.

De Oratione Nuptiali.

Ἐμοὶ μὲν ἦν τερπνόν, αὐτὸν παρόντα καὶ συγχορεύοντα καὶ ἀναβακχεύοντα μετά σου, τῆς φίλης ἐμοὶ κεφαλῆς, ὑμνεῖν τε καὶ ἀνυμνεῖν τὸν μικρὸν ὕστερον ἐπιτελεσθησόμενον γάμον, καὶ ᾄδειν γε τὸν Ὑμέναιον τὸν ἐπὶ τοῖς γάμοις πρέποντα λέγεσθαι. ἐπεὶ δ' ἔοικε δεσμός τις οὗτος ὁ πρὸς τοῖς λόγοις καὶ τῇ παιδεύσει τῇ παρούσῃ, διαιρεῖν ἡμᾶς τοῖς σώμασι καὶ τοῖς τόποις ἀπ' ἀλλήλων· μὴ γὰρ δὴ ταῖς ψυχαῖς τε καὶ διαθέσεσι, καὶ ἐννοίαις ταῖς ἐπ' αὐταῖς χωρισθείημέν ποτε· ἀλλ' οὖν ἔστω σοι ὥσπερ τε δῶρον παρ' ἐμοῦ εἰς συντέλειάν τε καὶ κόσμον τῶν γάμων, τὸ μηδὲ τῶν περὶ τούτων εἰωθότων λέγεσθαι, μηδ' αὐτῶν ἀπείρως ἔχειν, εἴτ' οὖν αὐτὸς καὶ παρὰ σεαυτῷ φυλάττειν βούλοιο, εἴτε καὶ ἑτέρῳ τινὶ τοῦτον οἷον ἔρανόν τινα εἰς χάριν συνεισφέρειν. τάχα μὲν οὖν καὶ αὐτὸς ἤδη ποτὲ καὶ ἄλλοτε προανεκρούσω ἐκ τοῖς τοιούτοις τῶν λόγων, ὁπηνίκα κομιδῇ νέος ὢν παρ' ἐμοὶ τὴν πρώτην ὁδὸν τῶν ῥητορικῶν μετῄεις, τά τ' ἄλλα γράφων καὶ συγγράφων γυμνάσματά τε καὶ ἀσκήματα τῆς ῥητορικῆς, καὶ δὴ καὶ τὰς θέσεις οὕτω λεγομένας, καὶ τούτων τὰ εἰς τὸν περὶ αὐτοῦ τοῦ γάμου λόγον συντείνοντα, καὶ τὴν προτροπὴν τὴν εἰς αὐτά.

2. Προκεχείρισται γὰρ ἐν τοῖς μάλιστα καὶ τοῦτο πρὸ πάντων τοῖς νεωτέροις εἰς γραφήν· εἰ γαμητέον. οὐ πόρρω δ' οὐδὲ νῦν ὁ ὑφ' ἡμῶν προχειρι-

Digitized by Google

ζόμενος λόγος τῆς περὶ τὰς τοιαύτας ἰδέας τῶν λόγων θήρας, ἀμέλει γέ τοι οὐδὲ τούτοις, οἷςπέρ που καὶ ἐν ταῖς θέσεσιν ἀπὸ θεῶν, καὶ ὅτι οὗτοι οἱ εὑρόντες καὶ δείξαντες τοὺς γάμους τοῖς ἀνθρώποις· Ζεὺς γὰρ καὶ Ἥρα, πρῶτοι ζευγνύντες τε καὶ συνδυάζοντες· οὕτω τοι ὁ μὲν καὶ Πατὴρ καλεῖται πάντων, ἡ δὲ Ζυγία, ἀπὸ τοῦ ζευγνύναι τὸ θῆλυ τῷ ἄῤῥενι. καὶ ἀπὸ τούτων τῶν θεῶν καὶ ὁ τῶν λοιπῶν θεῶν χορὸς παρῆλθεν εἰς τὸν βίον τῶν ἐπιφημισθέντων τοῖς γάμοις, γαμηλίων τε καὶ γενεθλίων οὕτως ὀνομαζομένων· καὶ ὅτι ὁ γάμος αἴτιος τοῦ τ' ὀνομασθῆναι τούτους τοὺς θεοὺς καὶ τιμᾶσθαι. ἄνευ γὰρ τῶν γάμων οὐδ' ἂν αἱ τιμαὶ τούτων παρῆλθον εἰς ἀνθρώπους.

3. Ἐφεξῆς ἐπάγειν χρὴ τὸν περὶ τῆς φύσεως λόγον, καὶ ὅτι ταῦτο αὐτῆς ἔργον, τό γεννᾶν τε καὶ κυΐσκειν· καὶ ὅτι διῆλθε διὰ πάντων τῶν ἔργων αὐτῆς καὶ ζώων καὶ φυτῶν. εἶτα τὴν διαφορὰν ἐπάξομεν τῆς ἐν τοῖς ἀνθρώποις μίξεως καὶ κοινωνίας, ὅτι τὰ μὲν ἁπλῶς καὶ ὡς ἔτυχε μίγνυται· ὁ δ' ἄνθρωπος τάξιν τινὰ καὶ νόμον ἐξεῦρε τοῦ γάμου, οὐκ ἀγεληδὸν δίκην θηρίων ἐπιτρέπων μίγνυσθαι, ἀλλὰ σύμμιξιν καὶ κοινωνίαν δυοῖν τοῖν προσφορωτάτοιν εἰς ἅπαντα τὸν βίον μεμηχανημένος. ἐν ᾧ, ὅτι τοῦ μὲν θηριώδους καὶ πεπλανημένου βίου ἀπηλλάγησαν, βίον δὲ ἥμερον καὶ τεταγμένον ἔσχον διὰ τοῦ γάμου· καὶ ὅτι θνητὸν ὄν γε τὸ ἀνθρώπειον, ἐκ τῆς μίξεως καὶ κοινωνίας τοῦ γάμου ἀθάνατον γέγονεν ἐκ τῆς διαδοχῆς τῶν ἐπιγινομένων· ὥσπερ φῶς ἀνα-

Digitized by Google

πτόμενον καὶ διαμένον καὶ τοῖς ἐπιγινομένοις, τῇ γεννήσει τοῦ ἀνθρώπου, καὶ μήποτε ἀποσβεννύμενον. καὶ τοῦτον ἄν τις εἴποι δικαίως ἔρανον κάλλιστον οὐ χρημάτων, οὐδὲ κτημάτων τινῶν, ἀλλ' αὐτῆς τῆς φύσεως καὶ τοῦ γένους.

4. Εἶτ' ἐξετάσεις ἐπὶ τούτοις, ὅσα προσγίνεται τοῖς γεγαμηκόσι. πρῶτον μὲν πρὸς δόξαν, ὅτι ἐνδοξότεροι· τὸ κάλλιστον μέρος τῆς ἀρετῆς, εὐθὺς ἀπὸ τῶν γάμων ἀρχόμενοι καρποῦσθαι, τὴν σωφροσύνην. ὁ γὰρ γάμος εὐθὺς καὶ σωφροσύνης δόξαν περιτίθησι τοῖς ἀνθρώποις· καὶ οἱ τοιοῦτοι δοκοῦσι τῆς μὲν ἀτάκτου μίξεως ἀπηλλάχθαι, πρὸς δὲ μίαν ἀφορᾷν μόνην τὴν ἑαυτοῦ ἕκαστος γυναῖκα. ἐκ δὲ τούτου καὶ ἐντιμοτέρους ἀνάγκη γίνεσθαι τοὺς ἀνθρώπους, καὶ πιστοτέρους δοκεῖν, καὶ εὐνουστέρους περὶ τὰς αὐτῶν πατρίδας ἐν παντὶ, διὰ τὸ ὥσπερ ὄμηρα δεδωκέναι ταῖς πατρίσι τοὺς ἑαυτῶν παῖδας, δι' οὓς ἀναγκαῖον καὶ μᾶλλον εἰς τὰς συμβουλίας παραλαμβάνεσθαι.

5. Καὶ πρὸς λύπας τε καὶ δυσχερῆ τὰ ἐν τῷ βίῳ γάμος χρησιμώτατος, κουφότερα ταῦτα παρασκευάζων, ὥσπερ φορτία, μεταδιδόντων ἡμῶν ταῖς ἑαυτῶν γυναιξὶ τῶν δυσχερῶν, καὶ τῆς κοινωνίας παρηγορουμένων. ἐν δὲ τούτῳ καὶ τὰ ἡδέα ἀνάγκη τερπνότερα φαίνεσθαι, μὴ αὐτῶν ἐφ' ἑαυτῶν εὐφραινομένων, ἀλλ' ἐχόντων καὶ τοὺς συμπανηγυρίζοντας καὶ τοὺς συνευφραινομένους παῖδάς τε καὶ γυναῖκας, καὶ τοὺς ἄλλους συγγενεῖς. καὶ ἑορταὶ δὲ καὶ πανηγύρεις διὰ τοῦτο τερπναὶ, ὅτι ἐν πολλοῖς

Digitized by Google

γίνονται. ἀνάγκη δ' ἐκ τούτων καὶ τὰς συγγενείας αὐξάνεσθαι. καὶ ὅτι ἐκ τούτου πρῶτον μὲν συνοικίαι ἐγένοντο, εἶτα καὶ κῶμαι, εἶτα καὶ πόλεις. ἐκ δὲ τῶν ἐπιγαμίων καὶ ἡ γνῶσις πλείων, καὶ ἡ συγγένεια ὑπεροψίοις. ἤδη παραθετέον καὶ μνησιέον καὶ ἐνδόξων γάμων, ἢ ἀρχαίων, καὶ ὅσα ἀπὸ τούτων ἀγαθὰ ἐγένετο τοῖς ἀνθρώποις, καὶ ὡς ἡ ἀποτροπὴ τῶν δυσχερῶν διὰ γάμου· οἷον ὅτι Μενέλεως ἀθάνατος ἐγένετο διὰ τὸν γάμον τῆς Ἑλένης, καὶ ὁ Πηλεὺς διὰ τὸν τῆς Θέτιδος· καὶ ὁ Ἄδμητος διὰ τὴν Ἄλκηστιν τὸν ἐκ τῆς εἱμαρμένης θάνατον διέφυγεν.

6. Ἐπειδὰν δ' ἱκανῶς περὶ τούτων διέλθῃς, εὐχῇ χρηστέον ἀγαθῶν μὲν αἴτησιν ἐχούσῃ περὶ τῶν γάμων καὶ τῆς παιδοποιΐας, ἀποτροπὴν δὲ τῶν κακῶν. εἶτα διατυπωτέον λόγῳ, οἷον προαναφωνοῦντα, ὁποῖος ἂν ὁ βίος ὁ μετὰ τῶν παίδων γένοιτο, ὅτι τερπνότατος χορὸς παίδων εἰ γένοιτο ὁρῶντι, καὶ ὅτι τρόπον τινὰ ἐξ ἀρχῆς ἀνανεάζεσθαι αὐτὸν καὶ ἀναβάσκειν σὺν τοῖς αὐτοῦ παισίν. ἐν τούτῳ δ' ἀνάγκη καὶ ἀναμιμνήσκειν, ὧν ποτε καὶ αὐτὸς ἐν νεότητι ἐποίησεν. ἡδεῖα δὲ καὶ ἡ μνήμη τῶν ἐν παισὶν ἡμῖν πεπραγμένων, καὶ ὅτι οὐδὲν ἕτερόν ἐστι τὸ ποιοῦν ἐξ ἀρχῆς πάλιν βεβιωκέναι. εἰ δ' εἰκόνα τις ὁρῶν ἑαυτοῦ ἄψυχον ἥδεται, ὅταν καὶ μὴ ἄψυχον ταύτην ὁρᾷ, ἀλλὰ καὶ ἔμψυχον, μηδὲ μίαν, ἀλλὰ πολλάς, ἂν οὕτω τύχῃ. ἀπακτέον δὲ πάλιν καὶ ἐνταῦθα ἱστοριῶν τινων μνημονεύοντα, ὅσοι ἀπὸ παίδων εὐτύχησαν, ὅσοι κακῶν ἀπεστροπὰς εὕραντο, οἷον τῷ Ἀγχίσῃ παρὰ τοῦ Αἰνείου. δεῖ δὲ μηδὲ τὰ πρόσωπα

Digitized by Google

τῶν γαμούντων τε καὶ γαμουμένων παρεῖναι, ἀλλὰ καὶ τούτων ἐπαίνους λέγειν. ποτὲ μὲν οὖν ἐν ἀρχῇ χρηστέον τῷ τύπῳ τούτῳ, ποτὲ δὲ καὶ ἐπὶ τέλει. ἐὰν μὲν οὖν πάνυ ἔνδοξα ᾖ, ἐν ἀρχῇ· ἐὰν δὲ ἧττονα, ὑποβάλλοντα καὶ ἐπὶ πᾶσι λέγοντα.

7. Ὁ δ' ἔπαινος ἅπερ ἐν τοῖς ἐγκωμίοις ἕξει, καὶ τόποι οἱ αὐτοὶ, ὁ ἀπὸ τῆς πατρίδος, ὁ ἀπὸ τοῦ γένους, ὁ ἀπὸ τῆς φύσεως, ὁ ἀπὸ τῆς ἀγωγῆς, καὶ ὅτι ἴσοι καὶ ὅμοιοι καὶ βέβαιοι ἀμφότεροι, καὶ ἐκ τούτων πατέρων καὶ προπατόρων· καὶ εἰ μὲν ἐκ τῆς αὐτῆς πατρίδος, ὅτι ἐκ πολλοῦ προσῳκειωμένοι ὑπὸ τοῦ τόπου· εἰ δ' ἐκ διαφόρων, ὅτι καὶ ὑπὸ θεῶν συνήχθησαν εἰς τὴν κοινωνίαν· εἰ δὲ δὴ ἐκ τοῦ αὐτοῦ γένους εἰσὶν, ὅτι αὔξησις καὶ οἰκειότης συγγενείας ἄλλη ἐπ' ἄλλῃ γέγονε, καὶ δεσμὸς βεβαιότερος καὶ ἰσχυρότερος. ὅταν δ' ἀπὸ διαφόρων ἐπιτηδευμάτων, ὁ μὲν ἀπὸ στρατείας, ὁ δ' ἀπὸ παιδείας, καὶ ἁρμονία αὕτη ἀρίστη, τὸ εἰς ταὐτὸν σοφίαν τε καὶ ἀνδρείαν τελεῖν, καὶ οἵους εἰκὸς τοὺς ἀπὸ τούτων γενέσθαι.

8. Εἰ δὲ δή αὐτὸς εἴης ὁ γαμῶν ὁ τὸν λόγον διαθέμενος, περὶ αὐτοῦ τούτου προοιμιαστέον χαριέντως, ὥσπερ οὖν καὶ σοὶ ποιητέον, ὅτι, εἰ καὶ οἳ ἔρασται τὰ αὐτῶν παιδικὰ ἐπαινοῦσι, πολὺ δή που μᾶλλον αὐτῷ πρέποι τὸν γάμον ἐπαινεῖν, ἢ τὰ ἑαυτοῦ παιδικά· καὶ ὅτι τῷ λόγῳ καὶ τῇ παιδείᾳ καὶ ἐκ τούτου χρηστέον, ὥσπερ ἤδη προοιμιαζομένου, καὶ προκαταμαντευόμενον περὶ τῶν παίδων, ὅτι καὶ αὐτοὺς εἰκὸς διαφέροντας περὶ παιδείαν γενέσθαι.

Digitized by Google

9. Λέξει δὲ χρησίμου ἀφελεῖ μᾶλλον, ἐγγὺς Ξενοφῶντός τε καὶ Νικοστράτου βαίνοντα, ὀλιγαχοῦ δ' ἐξαίροντα τὸν λόγον εἰς σεμνότητα, εἴ που τὰ ἐννοήματα ἀναγκάζει.

III.

De Oratione Natalitia.

Ἐχόμενος δέ σοι τούτου ὁ ἐπὶ ταῖς γενέσεσι τῶν παίδων λεγόμενος λόγος· γάμῳ γάρ που γένεσιν ἀνάγκη ἀκολουθεῖν· ὃν καὶ αὐτὸν τελεῖν χρὴ τοῦτον τὸν τρόπον. ἐπεὶ γὰρ ἀρχὴ τῆς γενέσεως τῆς ἑκάστου ἡ ἡμέρα, ἐφ' ἧς ἐγένετο, ἀναγκαῖόν που ὀλίγα ἄττα καὶ περὶ τῆς ἡμέρας εἰπεῖν, οἷον ἐγκωμιάζοντα τὸ προσόν, εἰ ἄρα ἴδιόν τι ἔχει παρὰ τὰς ἄλλας ἡμέρας ἐπισημαινόμενον. εἰ μὲν τῇ νουμηνίᾳ, ὅτι ἀρχὴ τοῦ μηνός· ἀρχὴ δὲ κράτιστον, καὶ ἐξ ἀρχῆς τὰ πάντα· καὶ ὅτι ἥμισυ τοῦ παντός, ἢ τὸ πᾶν, κατὰ τὸν Πλάτωνα. εἰ δὲ ἑβδόμῃ, ἢ ἕκτῃ, ὅτι ἱεραὶ τοῖν θεοῖν, καὶ ὅτι κοινωνία πρὸς τὸ κρεῖττον κατὰ τὸ τῆς γενέσεως. ἔχοις δ' ἂν καὶ περὶ τῆς ἐννάτης λέγειν, ὅτι ἱερὰ τοῦ Ἡλίου, καὶ ὅτι εἰκὸς ἐπίσημον τὸν τοιοῦτον γενέσθαι, τάχα δὲ καὶ εὐεργετικὸν κατὰ τὴν τοῦ Ἡλίου φύσιν. εἰ δὲ πεντεκαιδεκάτῃ εἴη, ὅτι καὶ αὐτὴ τῆς Ἀθηνᾶς, καὶ ὅτι τέλειος ἐν τούτῳ ὁ κύκλος, καὶ εἰκὸς ἀνενδεῆ τὴν τοιαύτην εἶναι γένεσιν τοῦ ἀνδρός. ὁμοίως δ' εἰ καὶ ἄλλη τις ἡμέρα, ἢ τῇ ἀρχῇ, ἢ τῷ τέλει προσβιάζοντας, καὶ τὸ προσὸν θεωροῦντας, οὕτω πειρᾶσθαι τὸν ἔπαινον ποιεῖσθαι.

Digitized by Google

2. Ἐπὶ δὲ τῇ ἡμέρᾳ τὸν καιρὸν ἐπιθεωρεῖν ἀναγκαῖον, ὁποῖός τις οὗτος· καὶ τοῦ καιροῦ τὸ μὲν κατὰ τὴν ὥραν, οἷον ἐν χειμῶνι, ἢ ἐν ἦρι, ἢ ἐν τοῖς ἑτέροις μέρεσι τοῦ ἔτους, ὥσπερ ἐν τοῖς περὶ τοῦ ἀγῶνος ἐπαίνοις ἐπεσημαινόμεθα τὰς ἰδιότητας τῶν καιρῶν, τῷ μὲν τὸ ἀνδρεῖον, τῷ δὲ τὸ φαιδρὸν ἀπονέμοντας, καὶ τῷ θέρει τὸ πεπληρῶσθαι τὴν γῆν ἐν τούτῳ τῶν ἀγαθῶν, καὶ τῷ λοιπῷ δὲ τὸ ἐν ἀνέσει καὶ ἀναπαύλῃ τῶν ἔργων γενέσθαι. ἐπισημαίνεσθαι δὲ καὶ τὰ συμβεβηκότα ἐνίοτε τοῖς καιροῖς· οἷον εἰ ἐν ἑορτῇ τις γέγονεν, οἷον ἐν Διονυσίοις, ἢ ἐν μυστηρίοις, ἢ ἐν πανηγύρεσίν τισιν. ἅπαντα γὰρ ταῦτα ἀφορμὰς παρέξει σοι εἰς τὸν ἔπαινον.

3. Ἀπὸ δὲ τούτου ἰτέον καὶ ἐπὶ τοὺς τόπους, ἐν οἷς τις γέγονε. πρῶτον μὲν ἀπὸ τοῦ περιέχοντος τὸ ἔθνος, Ἀσίαν, Εὐρώπην· καὶ τούτου αὖ πάλιν, Ἑλληνικὸν, ἢ βάρβαρον· ἢ σοφίαν, ἢ ἀνδρείαν τοῦ ἔθνους, ἢ τι τοιοῦτον ἐπισημαινόμενον. εἶτα ἐπὶ τὸ περιεχόμενον· τίς ἡ πόλις, καὶ ἡ μητρόπολις αὐτῶν· ἐχομένη ἡ πόλις μητροπόλεως τῇ τιμῇ τῇ μεγάλῃ, πολυάνθρωπος, εὔφορος πρὸς ἀνδρῶν ἀρετὴν, ἢ ἄν τι ἕτερον ἀνδραγάθημα τῆς πόλεως. ἔπειτα τὰ μὲν περιεχόμενα ἐν τῇ πόλει· ποίας τινὸς οἰκίας, ὅτι οὐ φαύλης, ὅτι οὐκ ἀδόξου, γένους ἐνδόξου, προγόνων τινῶν καὶ πατέρων, καὶ ἔπαινον ἐν βραχεῖ τούτων ἀπὸ τῶν προσόντων.

4. Μετὰ ταῦτα δὲ καὶ ἐπ' αὐτὸν ἤδη τὸν ἔπαινον ἰέναι τοῦ ἐγκωμιαζομένου, καὶ οὗ ἡ γενέθλιος· ποίας τινὸς φύσεως κατὰ σῶμα, κατὰ

Digitized by Google

ἰσχύν. εἰ μέγας ἐστὶ, κατὰ τὸν Αἴαντα· εἰ καλὸς καὶ ἀνδρεῖος, κατὰ τὸν Ἀχιλλέα. καὶ εἰ εὔβουλος, ἢ δίκαιος, ἢ σώφρων εἴη, τὰ ἁρμόζοντα πρόσωπα, τὸν Νέστορα, τὸν Θεμιστοκλέα, τὸν Ἀριστείδην, τὸν Φωκίωνα. εἰ χρηστὸς, ὅτι θυμοειδὴς μετὰ τοῦ πρᾴου, καὶ ὅτι ὀξὺς ἐνθυμηθῆναι. κἂν ᾖ μικρὸς, ὅτι μείζων τὴν τῆς ψυχῆς ἀρετὴν, κατὰ τὸν Τυδέα, κατὰ τὸν Κόνωνα.

5. Οἷός τις τὰ περὶ τὸν βίον, εἰ φιλόκαλος εἰ φιλοπρεπής· οἷος πρὸς τοὺς ἰδιώτας, πρὸς τὴν, πόλιν, κατὰ τὰς φιλοτιμίας τὰς πρὸς τὴν πόλιν. κἂν εἰ ἐπιστήμης τινὸς ἐπῆβολος εἴη, οἷον ἰατρικῆς, ἢ ῥητορικῆς, ἢ φιλοσοφίας, θετικῶς ἐπάγοντα τὸν ἐν τούτοις ἔπαινον, εἰς ὅσα τούτων ἕκαστον χρήσιμον. οὕτω γὰρ ἂν ἀμφιλαφὴς ὁ λόγος γένοιτο· ποῖος ἤδη γέγονε, ποῖός ἐστιν ἐν τῷ παρόντι, καὶ ποῖον εἰκὸς ἔσεσθαι εἰς τὸν μέλλοντα χρόνον. ἐν τούτῳ δὲ γενόμενοι, οὐκ ἄπο τρόπου ἂν ποιοῖμεν καὶ εὐχόμενοι τοῖς τε ἄλλοις καὶ τοῖς γενεθλίοις θεοῖς περὶ τοῦ μέλλοντος βίου, καὶ τοῦ ἀμείνω τοῦ παρεληλυθότος γενέσθαι τοῦτον, καὶ πολλὰς περιόδους χρόνων τελέσαντα, εἰς λιπαρὸν καὶ εὔδαιμον γῆρας παρελθεῖν.

IV.

De *Oratione Epithalamia.*

Πρὸ δὲ τοῦ περὶ τῆς γενέσεως λόγου· μικροῦ γάρ με παρῆλθεν ὑπὸ τοῦ θορύβου καὶ τῆς ταραχῆς τῆς περὶ τὴν ἔξοδον· ὁ ἐπὶ τῷ θαλάμῳ λεγόμε-

Digitized by Google

νος λόγος· ἐχόμενος δέ τοι μάλιστα καὶ ἀκόλουθος εἴη τοῖς ἀμίκτοις τῶν λόγων σχεδὸν, εἷς καὶ ὁ αὐτὸς ὢν τῷ γαμικῷ, πλὴν τῷ χρόνῳ διαφέρων, ἐπὶ τετελεσμένοις τοῖς γάμοις λεγόμενος οὗτος· οὐ μὴν τοῖς γ' ἄλλοις ἁπάσῃ τοῦ προειρημένου, καὶ ὥσπερ ἀντὶ Ὑμεναίων ἐπᾴδόμενος τοῖς γάμοις ἐστίν. ἦν μὲν οὖν καὶ παρὰ Σαπφοῖ τῆς ἰδίας ταύτης παραδείγματα ἐπιθαλαμίοις οὕτως ἐπιγραφομένοις ταῖς ᾠδαῖς· ἀλλ' ἐπειδὴ οὐχ ἡ αὐτὴ μεταχείρησις ποιήσεώς τε καὶ πεζοῦ λόγου, ἀλλ' ὥσπερ τοῖς μέτροις, οὕτωσὶ δὲ καὶ τοῖς ἐννοήμασι διενήνοχε ταῦτα, τοῦτον ἄν μοι δοκεῖ τὸν τρόπον κἀὶ τοῦτον τὸν λόγον προσφόρως μεταχειρίσασθαι, εἰ ἐν μὲν τῷ προοιμίῳ εὐθὺς αὐτὸ τοῦτο ἐπισημαίνοιο, ὅτι οἱ μὲν ἄλλοι τὸν Ὑμέναιον ᾄδουσιν, ἡμεῖς δ' ἀντὶ τοῦ Ὑμεναίου τὸν λόγον, οὐχ ὑπ' αὐλοῖς, ἢ πηκτίσιν, ἢ νὴ Δία καλλιφωνίᾳ τινὶ τοιαύτῃ, ἀλλ' ἐπαίνοις καὶ ὕμνοις τῶν γεγαμηκότων.

2. Εἶτ' ἐπὶ τούτοις ἐπάγειν, ὅτι ἀναγκαῖος ὁ γάμος ἀνθρώποις γ' οἶσι· σωτηρία γὰρ τοῦ γένους· καὶ ὅσα ἀγαθὰ ἐκ τοῦ γάμου. εἶτα μετάβῃση ἐπὶ τὰ πρόσωπα τῶν συνόντων εἰς τὸν γάμον, ὁποῖοί τινες οὗτοι· ἐν ᾧ περὶ γένους ἐρεῖς αὐτῶν καὶ τροφῆς, καὶ περὶ κάλλους σωμάτων καὶ ἡλικίας· ὅσα ἐκ τύχης αὐτοῖς πρόσεστιν· καὶ περὶ ἐπιτηδευμάτων, ὅτι σπουδὴν ἔσχον περὶ τὸν γάμον καὶ τὴν σύζευξιν αὐτήν· ὅπως διάκεινται ἐπὶ τῷ γάμῳ οἱ οἰκεῖοι, οἱ ἀλλότριοι, ἡ πόλις αὐτὴ δημοσίᾳ· ὅτι πᾶσι διὰ σπουδῆς ὁ γάμος ἐστί· καὶ ὁ γάμος ἔοικε

Digitized by Google

πανηγύρει τινὶ, καὶ νουμηνίᾳ, καὶ δημοτελεῖ ἑορτῇ τῆς πόλεως. ὥσπερ δ' ἐν τοῖς γαμικοῖς ἠξιοῦμεν πρὸς τοῖς ἄλλοις ἐπισκοπεῖν, οἷον, εἰ ἐκ τῆς αὐτῆς πατρίδος, εἰ ἐκ τοῦ αὐτοῦ γένους, οὕτωσὶ δὲ μηδ' ἐν τούτῳ παρὰ φαῦλον ποιεῖσθαι τὸ μέρος τοῦ λόγου τούτου.

3. Ἐπὶ δὲ τοῖς ἐπαίνοις καὶ τοῖς ἐγκωμίοις καὶ προτροπή τις ἔστω τοῖς γαμοῦσι πρὸς τὸ σπουδάζειν περὶ ἀλλήλους καὶ ὁμονοεῖν ὅτι μάλιστα· καὶ ὅσα ἀγαθὰ ἐκ τῆς τοιαύτης ὁμονοίας καὶ φιλίας ἀνάγκη συμβαίνειν, ἀπὸ τοῦ καθόλου ἐπὶ τὸ ἴδιον ἄγοντα τὸν λόγον· ὅτι ὁμόνοια πᾶσι μὲν ἀνθρώποις ἡγεῖται τῶν ἀγαθῶν, μάλιστα δὲ τοῖς γεγαμηκόσι. καὶ εἰς τοῦτο καὶ τὸ τοῦ Ὁμήρου παραληπτέον ἐνδόξῳ χρήσει χρώμενον, ὅτι οὐδὲν μεῖζον ἀγαθὸν,

Ἢ ὅθ' ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον
Ἀνὴρ ἠδὲ γυνή. —

τίνα μὲν ἐκ τούτου τοῖς ἐχθροῖς ἀνιαρὰ, τίνα δὲ ἡδέα τοῖς φίλοις. ἐπὶ τέλει δὲ καὶ εὐχῇ χρῆσθαι, ὅπως ὅτι τάχιστα παῖδες γένοιντο, ἐξ καὶ τούτων ἐπιδεῖν γάμους, καὶ ᾄσαι τὸν Ὑμέναιον, καὶ ὑπόθεσιν ἔχειν αὖθις τοιούτων λόγων.

V.

De Oratione Compellatoria.

Ἰσοκράτης μὲν, ὁ σὸς ἑταῖρος καὶ ἐμὸς, ὦ Ἐχέκρατες, εἴπερ ἄλλο τι, φησὶ χρῆναι προσεῖναι τοῖς σπουδαίοις ἀνθρώποις, ἐν τῇ παραινέσει τῇ

Digitized by Google

πρὸς τὸν Ἱππονίκου, καὶ τὴν φιλοπροσηγορίαν· ὅπερ ἐστὶ τὸ προσφωνεῖν τοὺς ἀπαντῶντας, ὡς αὐτός φησιν. εἰ δὲ καὶ ἰδίᾳ χρῆν πρὸς ἕκαστον τοῦτο παιεῖν, ὅπως καὶ τοὺς ἰδιώτας ὡς ὅτι μάλιστα οἰκειοτέρως καὶ εὐμενεστέρως ἔχειν πρὸς ἡμᾶς παρασκευάζοιμεν ἐκ τῆς τοιαύτης φιλοπροσηγορίας· πολλῷ δή που ἀναγκαιότερον τὸ πρᾶγμα, καὶ ὁ τοιοῦτος τρόπος τῆς προσφωνήσεως, εἰ πρὸς τοὺς ἐν τέλει καὶ ἐν ἀρχαῖς γεγονότας ἀφ' ἡμῶν γίνοιτο, μάλιστά γε δὴ τοὺς ἑκάστοτε ἐκ βασιλέων εἰς τὰ ἔθνη καὶ τὰς πόλεις τὰς ἡμετέρας παραγινομένους, ὅπως καὶ αὐτοὺς διὰ τοιούτου τρόπου, καὶ πρὸς ἡμᾶς καὶ πρὸς τὰς αὖτῶν πατρίδας οἰκειοτέρως διακεῖσθαι παρασκευάσαιμεν. ἀμέλει γέ τοι καὶ τὸ πρᾶγμα ἤδη ἐπιχωριάζει ἐπὶ πᾶσι, καὶ καθάπερ τις οὗτος ὁ νόμος καὶ θεσμὸς διειλήλυθε διὰ πάντων, ὡς εὐθὺς ἅμα τε τῇ πρώτῃ τῶν πυλῶν, ὡς ἂν εἴποι τις, εἰσόδῳ προσφωνεῖν τούτους δημοσίᾳ τὰς πόλεις ὑφ' ἑνὸς ὁτουοῦν τῶν ἀρίστων κατὰ τὴν παιδείαν, ὥσπερ δημοσίᾳ τινὶ φωνῇ καὶ κοινῷ προσαγορεύματι προσαγορεύοντος. φέρε οὖν εἴπωμέν τι καὶ περὶ τούτων τῶν λόγων, ὅπως ἂν καὶ τούτους ἄριστα καὶ ῥᾷστα μεταχειριζοίμεθα.

2. Καθόλου μὲν ὁ τρόπος αὐτῶν τοιοῦτος, ὡς συστασίν τινα ἔχειν τῆς αὐτῶν πατρίδος πρὸς τοὺς ἄρχειν μέλλοντας. δεῖ δ' οὐκ αὐτὸ τοῦτο μόνον πραγματεύεσθαι ἐν τῷ λόγῳ, ἀλλὰ μηδ' αὐτῶν ἐν τῷ τοιῷδε ὀλιγώρως ἔχειν. ἀρχὴ οὖν ἐμοὶ δοκεῖ ἀναγκαιοτάτη ἂν αὐτὴ γενέσθαι περὶ αὐτοῦ τ' εἰ-

Digitized by Google

πεῖν, καὶ τῆς ἑαυτοῦ προαιρέσεως, καὶ δι' ὅ τι προκεχείρισται ἐκ πάντων ἐπὶ τὸν λόγον, καὶ ὅ τι ἀναγκαία αὐτῷ ἡ ὑπόθεσις τοῦ λόγου. ἐχέτω δ' ἐν τούτῳ καὶ θεραπείαν τινὰ τοῦ ἄρχοντος, ὡς ἀποδεχομένου τοὺς τοιούτους ἅπαντας, καὶ οἷον αὐτοῦ χεῖρα ὀρέγοντος, διόπερ καὶ ἑτοιμότερον ὑπήκουσε· καὶ ὅτι ἦν μὲν καὶ ἀκούειν τοῦτο εὐθὺς περὶ αὐτοῦ, πολὺ δ' ἔτι ἐναργέστερον τῇ ὄψει αὐτῇ πέφηνεν ἀτεχνῶς, οἷον ἐκ τοῦ προσώπου καὶ τῆς φαιδρότητος, ὥσπερ ἐν κατόπτρῳ, τοῦ ἤθους καὶ τῆς πρὸς ταῦτα δεξιότητος φανερῶν γινομένων. οὕτω δὲ προκαταστησάμενον τὸν λόγον, ἐξῆς ἰτέον ἐπὶ τὸ ἐγκώμιον τοῦ βασιλέως, ἐν βραχεῖ τοῦτο ποιησάμενον, καὶ αὐτὸ τοῦτο ἐπισημηνάμενον, ὅτι οὐδὲ ὁ σύμπας χρόνος ἐξαρκέσαι πρὸς τοῦτο, καὶ ὅτι ἑτέρου καιροῦ, οὐ τοῦ παρόντος. καταπλείσας δὲ τὸ ἐγκώμιον εἰς τοῦτο, ὅτι ἕν τι τῶν καλῶν τῶν βασιλέως καὶ τοῦτο, τὸ τοιοῦτον ἄνδρα ἐπιλεξάμενον καταπέμψαι ἐπὶ τὸ αὐτὸ ἔθνος οὐ πόρρω βαίνοντα τῆς αὐτοῦ προαιρέσεως.

3. Καὶ ἐντεῦθεν ἀρχέσθω σοι τὸ ἐγκώμιον τοῦ ἡγουμένου. χρήσῃ δὲ καὶ ἐνταῦθα τοῖς ἐγκωμιαστικοῖς λόγοις, ἀπὸ γένους, ἀπὸ φύσεως, ἀπὸ ἀνατροφῆς, εἰ μὲν φανερὰ εἴη, καθ' ἕκαστον ἀκριβῶς διεξιόντα· εἰ δ' ἄδηλα, κατὰ τὸ πιθανὸν προάγοντα, ὅτι ἀνάγκη τῶν τηλικούτων καὶ τοιούτων κατηξιωμένον, οὐ γένει, οὔτε φύσει, οὔτ' ἀνατροφῇ λείπεσθαί τινων, ἀλλὰ διὰ ταῦτα προκεκρίσθαι. τὰ γε μὴν φανερὰ ἀκριβέστερον ἐπισημαινόμενον, οἷον, ἐν νέᾳ ἡλικίᾳ τοιοῦτος, τὶ

Digitized by Google

χρὴ προσδοκᾶν εἰς τὸν μέλλοντα χρόνον; καὶ ὅτι νέος μὲν τὴν ἡλικίαν, πρεσβύτερος δὲ τὴν φρόνησιν. εἰ δὲ πρεσβύτης, ὅτι ἐν πολλοῖς δοὺς πεῖραν ἑαυτοῦ τῆς ἀρετῆς, εἰκότως καὶ τὴν ἀρχὴν ταύτην ἐπιστεύθη· καὶ ὅτι καὶ τοῦτο τῆς εὐμοιρίας τῆς περὶ αὐτόν, τὸ ἐν τῇ γήρᾳ ἀκμάζειν. εἰ δὲ δὴ καὶ σεμνότης τις προσείη τῷ προσώπῳ, μηδὲ τοῦτο παρέργως παρατρέχειν. εἰ φιλολόγος εἴη, ἐγκώμιον παιδείας, καὶ ὅτι οἱ πεπαιδευμένοι μάλιστα ἄξιοι ἀρχῆς καὶ τοιαύτης ἡγεμονίας. καὶ εἴ γε τὴν Ῥωμαϊκὴν διάλεκτον εἴη πεπαιδευμένος, τοῖς ἀρίστοις τῶν Ῥωμαίων παραβάλλειν· εἶτα τὴν Ἑλληνικὴν, τοῖς τῶν Ἑλλήνων· διὰ τοῦτο δὲ καὶ δίκαιος, καὶ σώφρων, καὶ περὶ τὰς δίκας ἀκριβής. παραδείγμασι δὲ καὶ ἐπὶ τούτῳ χρηστέον προσώποις, τῷ Ἀριστείδῃ, τῷ Θεμιστοκλεῖ ἐφαρμόζοντα, καὶ παραβάλλοντα, καὶ τούτων ἄμεινω ἀποφαίνοντα.

4. Ἐὰν δ' ἔχωμεν καὶ πράξεις τινὰς αὐτοῦ προγεγενημένας, καὶ ἀρχὰς προηνυμένας λέγειν, ἢ ἐν στρατείαις, ἢ ἐν διοικήσεσι, καὶ ταύτας παρατιθέναι. ἐὰν δὲ καὶ τιμὰς ἔχωμεν αὐτῷ πατέρων γενομένας λέγειν, καὶ τούτων χρὴ μνημονεύειν. καὶ ἐντεῦθεν προτροπὴ καὶ παράκλησις πρὸς εὔνοιαν τῆς πόλεως, ἐπισημηνάμενον, ὅτι χρηστὴν ἐλπίδα περὶ τούτου ἔχουσι. φανερὸν γάρ τοι ἀπὸ τοῦ οὕτως ἀποδέξασθαι τὴν πόλιν, ἀπὸ τοῦ φιλανθρώπως καὶ εὐπροσηγόρως ἅπασι προσενεχθῆναι καὶ ὁμιλῆσαι, ὅτι εἰκότως τοῦτο ἐποίησεν. τοιαύτη γὰρ ἡ πόλις, οἵα ἀμείβεσθαι τοὺς εὖ χρησαμένους ἑαυτῇ.

Digitized by Google

5. Καὶ ἐντεῦθεν ὁ ἔπαινος ὁ περὶ τῆς πόλεως, ἐὰν λέγῃς περὶ γένους αὐτῆς, περὶ δυνάμεως τῆς ἐν ταῖς προσόδοις, περὶ παιδείας τῶν ἐνοικούντων, περὶ χώρας τῆς ὑποτελοῦς, ἀφ' ἧς ἡ πρόσοδος, εἰ μὲν πολλὴ εἴη, εἰς ἰσχὺν τῆς πόλεως ἀναφέροντα· εἰ δ' ὀλίγη, ὅτι ἀρκεῖται καὶ ταύτῃ. ὅπουπερ ἂν οἰκιστὴν ἀναγκαῖον εἰπεῖν, ἐάν τε θεός, ἐάν τε ἥρως εἴη, εἴτ' οὖν τῶν ἀρχαίων τις, εἴτ' οὖν τῶν ἔναγχος γεγενημένων βασιλέων. εἰ οὖν καὶ μύθους τινὰς ἔχοιμεν προσόντας τῇ πόλει, μηδὲ τούτους παραλιπεῖν. μετὰ ταῦτα περὶ μεγέθους τῆς πόλεως, περὶ κάλλους, περὶ θέσεως, εἴτ' ἠπειρωτικὴ εἴη, εἴτ' ἐπιθαλαττίδιος, ἢ νησιῶτις. καὶ εἴ τινας τιμὰς ἔχοιμεν παρὰ βασιλέων, μηδὲ ταύτας παραλιπεῖν, κἂν εἰ πράξεις τινὰς προγεγενημένας, ἢ παλαιὰς, ἢ νέας, ἢ εἰ τιμὰς προϋπαρξάσας παρ' ἡμῶν πρὸς τοὺς ἄρχοντας τοὺς προγεγενημένους.

6. Ἐν ἅπασι δὲ τούτοις μεμίχθω ἡ προτροπὴ καὶ παράκλησις πρὸς εὔνοιαν τῆς πόλεως· δεῖν γὰρ τοὺς ἀγαθοὺς ἄρχοντας ταῖς τοιαύταις πόλεσι τὰς παρ' ἑαυτῶν εὐνοίας προσνέμειν. ἐπὶ δὲ τῷ τέλει εὐχῇ χρησόμεθα ὑπὲρ τοῦ βασιλέως, καὶ ὑπὲρ αὐτοῦ τοῦ ἄρχοντος. καὶ ὑπὲρ ἡμῶν δ' αὐτῶν. πάλιν μνησθησόμεθα, εἰ μὲν τῶν ἀρχομένων εἴημεν, ὅτι ἀπὸ τοῦ τοιούτου ἡμεῖς τιμῆς καὶ δόξης τευξόμεθα· εἰ δὲ τῶν ἤδη προσυδοκιμηκότων καὶ πρυειρηκότων ἀνεπαχθῶς περὶ αὐτῶν, εἰπόντες τὸ μὴ φυλαχθήσεσθαι μόνον ἐπὶ τούτων τὴν δόξαν ἑαυτοῖς, ἀλλὰ καὶ πολλῷ ἀμείνω πρὸς τὸ λοιπὸν ἔσεσθαι.

Digitized by Google

7. Ἀπαγγελία δὲ πρέποι ἂν μάλιστα μεμιγμένη τῷ τοιούτῳ λόγῳ, ἐνιαχοῦ μὲν συνεστραμμένη, ἐνιαχοῦ δὲ διῃρημένη, τῆς ἐν τοῖς μύθοις ἀφελεστέρα. τὸ δὲ σαφὲς τῆς ἑρμηνείας δι' ὅλου τοῦ λόγου μάλιστα ἐν σπουδῇ ἔστω τῷ λέγοντι. καθόλου ὁ περὶ τῶν πανηγυρικῶν λόγος. ὧδέ πως περαίνοιτο ἄν.

VI.

De Oratione Funebri.

Οὐ μὴν δὴ οὐδὲ τούτων ἀπείρους ἔχειν τὸν γε δὴ ὁδῷ τινι καὶ ἐπιστήμῃ μετιόντα λόγους χρή. ἀπευκτὰ μὲν γὰρ τὰ τοιαῦτα· ἀναγκαῖα δ' ἀνθρώποις γ' οὖσι, καὶ παρελθοῦσιν εἰς τὸν ἀνθρώπινον βίον. ἀνθρώπῳ γὰρ γενομένῳ, κατὰ τὸν τοῦ Καλλαίσχρου τὸν τῶν τριάκοντα, βέβαιον μὲν οὐδέν, ὅτι μὴ τὸ θανεῖν καὶ γενομένῳ, καὶ ζῶντι, εἰ μὴ οἷόν τ' ἐκτὸς ἄτης βαίνειν. ἐπειδὴ τοίνυν ἀμφοῖν δύο λόγοι μεμηχάνηνται, ὁ μὲν κοινὸς πρὸς πόλιν ἅπασαν καὶ δῆμον, ὁ ἐπὶ τοῖς ἐν πολέμῳ πεσοῦσιν· ἰδίᾳ δὲ καὶ καθ' ἕκαστον πρὸς αὐτοῖν, οἷα δὴ τὰ πολλὰ ἐν εἰρήνῃ συμπίπτειν ἀνάγκη, ἐν διαφόροις ἡλικίαις ἑκάστῳ τῆς τελευτῆς συμπεσούσης· ὄνομά γε μὴν ἀμφοῖν ἓν καὶ τὸ αὐτό, ἐπιτάφιος οὕτως ὀνομαζόμενος· παραδείγματα αὐτῶν ἔστί που καὶ παρὰ τοῖς ἀρχαίοις, τοῦ μὲν κοινοῦ καὶ πολιτικοῦ παρά γε τῷ τοῦ Ὀλόρου, καὶ παρὰ τῷ τοῦ Ἀρίστωνος· Λυσίας τε, καὶ Ὑπερίδης, καὶ ὁ Παιανιεὺς, καὶ ὁ τοῦ Ἰσοκράτους ἑταῖρος, Ναυ-

Digitized by Google

κράτης, πολλὰς ἡμῖν τοιαύτας ἰδέας παρέσχοντο. οὐκ ἀποῤῥήσομεν δ' οὐδὲ τῶν πρὸς ἕκαστον· ἐπεί τοι καὶ τὰ ποιήματα μεστὰ τούτων, οἵ ἐπικήδειοι οὑτωσὶ ὀνομαζόμενοι, θρῆνοί τε αὐαύτως οὕτως. πολὺς τε καταλογάδην ἐστὶ τοιούτων λόγων, ἔν τε τοῖς πάλαι καὶ τοῖς ὀλίγον τι πρὸ ἡμῶν γενομένοις. λήξομεν δ' οὐδὲ νῦν, ἔστ' ἂν γένος ἀνθρώπων καὶ τὸ χρεὼν ἐπικρατοῦν ᾖ. μετίοιμεν οὖν αὐτοῖν ἑκάτερον τὸν τρόπον τοῦτον.

2. Συνελόντι μὲν οὖν ἐπιτάφιος ἔπαινός ἐστι τῶν κατοιχομένων. εἰ δὲ τοῦτο, δῆλόν που, ὡς καὶ ἀπὸ τῶν αὐτῶν τόπων ληπτέον, ἀφ' ὧνπερ καὶ τὰ ἐγκώμια, πατρίδος, γένους, φύσεως, ἀγωγῆς, πράξεως· ἄχρι μὲν οὖν τινος τὴν αὐτὴν ἰτέον. οἷον περὶ πατρίδος λέγοντα, ὅτι μεγάλη καὶ ἔνδοξος καὶ ἀρχαία, καὶ εἰ τύχοι αὐτὴ πρώτη παρελθοῦσα εἰς ἀνθρώπους, οἷα καὶ Πλάτων περὶ τῆς Ἀττικῆς διεξεισιν· εἰ δὲ μικρά, ὅτι διὰ τούτους ἤδη καὶ τὴν ἀρετὴν τὴν τούτων καὶ δόξαν ἔνδοξος καὶ αὐτὴ ἐγένετο, οἷον ἡ Σαλαμὶς διὰ τὸν Αἴαντα, ἢ τὴν ἀρετὴν τῶν ναυμαχησάντων, καὶ ἡ Αἴγινα διὰ τὸν Αἰακόν. ἢ εἴ τι βέλτιον περὶ αὐτῆς ἔχοιμεν λέγειν εὑρημένον· ὥσπερ θείαν τὴν Σαλαμῖνα εἶπεν ὁ Πύθιος· ὅτι ἐκ θεοῦ ἐκτίσθη, ὥσπερ Ἰωνία, Βυζάντιον, ἢ εἰ δή τις ἑτέρα πόλις ἦν. ἐπὶ μὲν οὖν τῶν ἐν πολέμοις πεσόντων κἂν ἐπιδαψιλεύσαιτό τις ἐν τούτοις. ἐπὶ δὲ τῶν καθ' ἕκαστον οὐ πάνυ τι ἀναγκαῖος ὁ πολὺς περὶ τῆς πατρίδος λόγος· ἰτέον οὖν ἐπὶ τοὺς προγόνους; εἰ οἱ πρόγονοι μὴ ἐπήλυ-

Digitized by Google

δες, ἀλλ' αὐτόχθονες· καὶ εἰ ἐπήλυδες, ἀλλὰ κρίσει τὴν ἀρίστην γῆν λαβόντες, οὐ τύχῃ· καὶ ὅτι ἢ ἐκ τοῦ Δωρικοῦ γένους, ὅπερ ἀνδρειότατον· ἢ ἐκ ταὐ Ἰωνικοῦ, ὅπερ σοφώτατον, καὶ ὅτι Ἕλληνες. εἰ δ' ἐπί τινος εὐκλείας λόγος γίνοιτο, ὅτι πατρὸς ἀγαθοῦ, καὶ προγόνων, καὶ ἐν βραχεῖ περὶ αὐτῶν εἰπεῖν τὸν ἔπαινον, ὁποῖοι δημοσίᾳ, ὁποῖοι ἰδίᾳ, ὁποῖοι ἐν λόγοις, ὁποῖοι ἐν βίῳ, καὶ εἴ τι ἐν ἔργοις, ἢ ἐν πράξεσιν, ἢ τινα τοιαῦτα, ἢ ποιότης τοῦ προσώπου παρέχοι ἐκ τῆς φύσεως, ὅτι εὐφυὴς εἰς πάντα. κοινὸς δὲ ὁ τοιοῦτος.

3. Ἐν δὲ τῇ ἀγωγῇ γενόμενοι, ἐπὶ μὲν τῶν κοινῶν τὴν πολιτείαν ληψόμεθα, ὅτι ἢ δημοκρατία, ἢ ἀριστοκρατία. ἐν δὲ τοῖς ἰδίοις τὴν ἀνατροφὴν, καὶ τὴν παιδείαν, καὶ τὰ ἐπιτηδεύματα· ἐν δὲ ταῖς κοιναῖς πράξεσιν ὁ μὲν κοινὸς ἕξει τὰ κατὰ πολέμους ἔργα, καὶ ὅπως ἐτελεύτησαν, ὥσπερ ἀμέλει καὶ ὁ Πλάτων γε, καὶ ὁ Θουκυδίδης· καὶ τοῖς ἄλλοις εἴρηται. ὁπόταν δὲ περὶ ἑνός τινος λέγωμεν, περὶ τῆς ἀρετῆς ποιησόμεθα τὸν λόγον, οἷον περὶ ἀνδρείας, περὶ δικαιοσύνης, περὶ σοφίας, ὁποῖος περὶ τὴν πόλιν· ἐν τούτοις ὁποῖος ἰδίᾳ περὶ ἕκαστα, ὁποῖος περὶ φίλους, ὁποῖος περὶ ἐχθρούς· καὶ ἔτι προστεθείσθω, οἷος περὶ γονέας, οἷος ἐν ἀρχαῖς ἐπί τινά ἦρξεν.

4. Μετὰ ταῦτα δ' ἐν μὲν τοῖς κοινοῖς ἐπὶ τὸ προτρεπτικὸν μεταβησόμεθα, προτρέποντες ἐπὶ τὰ ὅμοια τοὺς ὑπολειπομένους. καὶ πολὺς ὁ τόπος οὗτος. εἶτα οὕτως ἐπὶ τὸ παραμυθητικὸν τῶν πατέ-

Digitized by Google

ρων, ὅσοι τ' ἔτι παιδοποιεῖσθαι ἱκανοὶ, ὅσοι τ' ἔξω τῆς ὥρας ταύτης· καὶ εἴρηται ταῦτα καὶ παρὰ τῷ Θουκυδίδῃ. ἐν δὲ τοῖς ἰδίοις τὸ μὲν προτρεπτικὸν ἐνίοτε μὲν οὐδὲ ὅλως παραλαμβάνομεν, διὰ τὸ τάχα ἄν, εἰ τύχοι, παῖδας εἶναι τοὺς κατοιχομένους· ἐνίοτε δ' ἐπὶ βραχὺ, πλὴν ἐπὶ τοῖς πάνυ ἐνδόξοις. ἐνταῦθα γὰρ οὐδὲν κωλύει καὶ ἐπὶ πλεῖον χρῆσθαι τῷ εἴδει· οἷον ἐπὶ ἄρχοντός τινος καὶ τοιούτου προσώπου ἐπιτάφιος γίνοιτο, ἀναγκαῖον παρακελεύεσθαι τοῖς παισὶ μιμεῖσθαι τοὺς ἑαυτῶν τοκέας, καὶ ἐπὶ τὰ ὅμοια σπεύδειν. ἀναγκαιότερος δὲ ὁ παραμυθητικὸς παραμυθουμένων ἡμῶν τοὺς προσήκοντας. δεῖ δ' εἰδέναι καὶ τὴν μέθοδον τοῦ παραμυθητικοῦ. οὐ γὰρ θρηνεῖν, οὐδ' ἀπολοφύρεσθαι τοὺς ἀποθανόντας. οὐ γὰρ ἂν παραμυθοίμεθα τοὺς ὑπολειπομένους, ἀλλὰ μεῖζον τὸ πένθος παρασκευάζοιμεν· καὶ οὐ δόξει εἶναι τῶν κατοιχομένων ἔπαινος, ἀλλ' ὀλοφυρμὸς, ὡς τὰ δεινότατα παθόντων. πειρᾶσθαι δ' ἐν τῷ παραμυθεῖσθαι καὶ ἐκδιδόναι τοῦ πάθους τοῖς ὑπολειπομένοις, καὶ μὴ ἀντιτείνειν εὐθύς· ῥᾷον γὰρ ἐπαξόμεθα. ἅμα δὲ καὶ ἔπαινος ἔξει ὁ λόγος, εἰ λέγοιμεν, ὅτι οὐ ῥᾴδιον ἐπὶ τοῖς τοιούτοις ῥᾷον φέρειν. ἐπειδὴ δὲ οἱ ἐν πολέμῳ τελευτήσαντες ὅμοιοι ταῖς ἡλικίαις, οὐδὲν ἀπὸ τούτων ἔξομεν εἰς παραμυθίαν ἐπιχειρεῖν, πλὴν ὅτι ἐνδόξως ἀπέθανον ὑπὲρ τῆς πατρίδος· καὶ οὕτως ὅτι ταχὺς καὶ ἀναίσθητος ὁ τοιοῦτος θάνατος, καὶ ἐκτὸς βασάνων καὶ τῶν κακῶν τῶν ἐκ τῆς νόσου· ὅτι δημοσίας ταφῆς ἔλαχον·

Digitized by Google

ζηλωτὸν δὲ τοῦτο καὶ τοῖς μετὰ ταῦτα· καὶ ἀθάνατος αὐτῶν ἡ δόξα.

5. Ἐπὶ δὲ τοῖς καθ' ἕκαστον καὶ ἀπὸ τῶν ἡλικιῶν πολλὰς ἀφορμὰς παρέξει ὁ λόγος εἰς παραμυθίαν· εἰ μέν τις ἄφνω τελευτήσειε καὶ ἀλύπως, ὅτι μακαρίως αὐτῷ ἡ τελευτὴ συνηνέχθη· εἰ δέ τις νόσῳ καὶ πολὺν χρόνον νοσήσας, ὅτι γενναίως ἐνεκαρτέρησεν ἐν τῇ νόσῳ· ἢ εἴ τις ἐν πολέμῳ, ὅτι ὑπὲρ τῆς πατρίδος ἀγωνιζόμενος· ἢ εἴ τις ἐν πρεσβείᾳ, ὅτι ὑπὲρ τῆς πόλεως· κἂν ᾖ ἐν ἀποδημίᾳ, ὅτι οὐδὲν διενήνοχε· „Μία γὰρ καὶ ἡ αὐτὴ οἶμος, κατὰ τὸν Αἰσχύλον, εἰς ᾅδου φέρουσα·“ εἰ δέ τις ἐν τῇ πατρίδι, ὅτι ἐν τῇ φιλτάτῃ καὶ τῇ γειναμένῃ, καὶ τοῖς οἰκειοτάτοις παισίν. ἀπὸ ἡλικίας, εἰ μὲν νέος ὢν τοῦτο πάθοι, ὅτι θεοφιλής· τοὺς γὰρ τοιούτους φιλοῦσιν οἱ θεοί· καὶ ὅτι καὶ τῶν παλαιῶν πολλοὺς ἀνήρπασαν, οἷον τὸν Γανυμήδην, τὸν Τιθωνὸν, τὸν Ἀχιλλέα, μὴ βουλόμενοι αὐτοὺς ἐν τοῖς κακοῖς τοῖς ἐν τῇ γῇ κυλινδεῖσθαι, ἢ πολὺν χρόνον ἐγκατορωρύχθαι τὴν ψυχὴν ἐν τῷ σώματι, ὥσπερ ἐν τάφῳ, ἢ ἐν δεσμωτηρίῳ, μηδὲ δουλεύειν δεσπόταις κακοῖς, ἀλλ' ἐλευθεροῦν· καὶ μακάριοι φεύγοντες τὰ ἀλγεινὰ τοῦ βίου, καὶ τὰ πάθη τὰ συμπίπτοντα τοῖς ἀνθρώποις, μυρία ταῦτ' ὄντα καὶ ἄπειρα, ὀφθαλμῶν πηρώσεις, ποδῶν, ἑτέρου τινὸς μέρους τοῦ σώματος, καὶ ὅτι τῷ ὄντι ἡ νόσος ἀλγεινοτάτη. εἰ δὲ μέσην τὴν ἡλικίαν, ὅτι ἐνακμάσας τῷ βίῳ, καὶ ἐν ᾧ δεῖγμα τῆς ἀρετῆς τῆς ἑαυτοῦ παρέσχε· καὶ ὅτι ποθούμενος, οὐκ ἀηδὴς ἤδη διὰ

Digitized by Google

τὸ γῆρας γενόμενος, ἀπῆλθε τοῦ βίου, ἀλλ' ἐν ἡλικίᾳ. εἰ δ' ἐν γήρᾳ τις τελευτήσειεν, ὅτι εἰς πᾶσαν ἀπόλαυσιν τῶν ἐν τῷ βίῳ καλῶν συνεμετρήθη αὐτῷ ὁ χρόνος. ἐν τούτῳ παρατιθέναι ἀναγκαῖον, ὁπόσα ἐν πανηγύρεσι τερπνά, ὅσα ἐν γάμοις, παιδοποιΐαις, τιμαῖς παρὰ τῆς πατρίδος· ταῦτα γὰρ ἡ πλείων περίοδος τοῦ χρόνου παρέχειν εἴωθεν· καὶ ὅτι λιπαρὸν γῆρας κατὰ τὸν Νέστορα ἐβίωσεν, ὃς τούτου ἕνεκεν ἐνδιέτριψεν, ἵνα παραδείγμα γένηται τοῖς ἄλλοις, καὶ μάλιστα εἰ ἔνδοξον εἴη τὸ πρόσωπον. ἐπὶ τέλει δὲ περὶ ψυχῆς ἀναγκαῖον εἰπεῖν, ὅτι ἀθάνατος, καὶ ὅτι τοὺς τοιούτους ἐν θεοῖς ὄντας ἄμεινον εἰκὸς ἀπαλλάττειν. ἀρχὰς δ' ἐνίοτε αὐτὸ παρέξει τὸ πρόσωπον ἰδίας καὶ μὴ κοινάς· οἷον εἰ ἀπὸ λόγου εἴη, ὅτι ἀκόλουθον τοῖς λόγοις εὐφημεῖν αὐτόν· ἢ εἴπερ ἐπὶ ἑτέροις αὐτός τι τοιοῦτον εἰρηκὼς εἴη, ὅτι τὸν αὐτὸν ἔρανον καὶ τούτῳ ἀποδοτέον· ἢ ὅτι ποτ' ἂν ἡ ἰδιότης τοῦ προσώπου παρέχει.

6. Ἡ δ' ἀπαγγελία ποικίλη, ἐν μὲν τοῖς ἀγωνιστικοῖς συνεστραμμένη· ἐν δὲ τοῖς ἐνδόξοις καὶ μέγεθος ἔχουσιν, οἷον ὅσα περὶ ψυχῆς, διηρημένη καὶ μέγεθος ἔχουσα καὶ ἐγγὺς βαίνουσα τῆς τοῦ Πλάτωνος.

VII.

De Exhortatione ad Athletas.

Ἀκόλουθος ἂν εἴη, καὶ, ὡς εἴποι τις, συναφὴς, ὦ Ἐχέκρατες, καὶ ὁ ἐν ταύταις ταῖς πανηγύ-

Digitized by Google

ρεσι λεγόμενος λόγος, οὐκ εις αὐτὴν μέντοι τὴν πανήγυριν, ἀλλ' εἰς τοὺς ἀνταγωνιστὰς τοὺς ἐν τῇ πανηγύρει, καὶ τοῖς ἀγωνισταῖς ἀθληταῖς δή που ὁ προτρεπτικὸς οὗτος λεγόμενος. σκεπτέον οὖν πρῶτον εὐθὺς, ὅστις ποτὲ ὁ ἀγών· ὡς ἔγωγ' οἶδα καὶ Ὀλυμπιάσι καὶ ἐπ' ἐμοῦ τοῦτο γενόμενον, καὶ Πυθοῖ, καὶ ἄλλοθι πολλαχοῦ εἰσι· νῦν μὲν γὰρ ἴσως πολίτης, νῦν δὲ καὶ αὐτῶν τῶν περὶ τὸν ἀγῶνά τις. ἐγὼ δ' ἤδη καὶ τὸν ἀγωνοθέτην εἶδον ἀγωνιστὴν τούτου τοῦ λόγου γεγενημένον.

2. Τὰς γὰρ ἀρχὰς ἴσως που καὶ ἐντεῦθέν τις οὐκ ἀπὸ καιροῦ ποιήσεται. εἰ μὲν πολίτης εἴη, ὅτι καὶ αὐτὸς, πεισθεὶς τοῖς ἀγωνοθέταις καὶ τῷ τῆς πόλεως νόμῳ, εἰς τὸν ἀγῶνα καθῆκεν ἑαυτὸν, καὶ παρεβάλετο κινδύνῳ οὐχ ἧττον ὄντι ἐργώδει· ἐκεῖνος μὲν γὰρ σώματος, ὁ δὲ ψυχῆς· χαλεπώτεροι δὲ οἱ ἀγῶνες οἱ τῆς ψυχῆς, ἢ τοῦ σώματος. ἐπὶ μὲν γὰρ τῆς ἀγωνίας τῶν σωμάτων καὶ φανερὰ ἡ νίκη καὶ ὑπὸ τοῖς ὀφθαλμοῖς, ἥπερ ἐναργεστάτη τῶν αἰσθήσεων· ἔτι δὲ καὶ βραβευτὴς ἐφέστηκεν ἐπ' αὐτῷ τούτῳ κρείττων τοῦ παρὰ τῶν ἄλλων φθόνου. ἡ δὲ κρίσις οὐκ ἐφ' ἑνὶ, ἀλλ' ἐπὶ πολλοῖς· καὶ οὐκ ὀφθαλμοῖς κρίνουσιν, ἀλλὰ γνώμῃ, ἐν ᾗ πολλὰ τὰ ἀντιστατοῦντα, ἄγνοια, καὶ φιλοτιμία, καὶ φθόνος· ἐφ' ἅπασι δὲ τὸ μὴ βούλεσθαι τοὺς ἀκούοντας μείζονα εἶναι τὰ ἐπαινούμενα τοῦ περὶ αὐτῶν λόγου. τούτοις δὲ ὑποβάλλειν καὶ κεῖνο ἀναγκαῖον, τὸ ἀνελεῖν ὡς ἀντικείμενον ἐκ τῆς τοῦ προσώπου ποιότητος, εἰ μὴ καταφρονητέον λόγου τοῖς ἀθλη-

Digitized by Google

ταῖς, ὅτι ἐν ἔργοις δοκοῦσι, λόγος γὰρ εἰς πάντα ἐπιτήδειος, καὶ πρὸς πᾶν ἐπιῤῥώννυσιν· οὕτω καὶ ἐπὶ πολέμου καὶ ἐπὶ παρατάξεως δέονται στρατιῶται τοῦ παρὰ τῶν στρατηγῶν λόγου καὶ τῆς προτροπῆς, καὶ αὐτοὶ αὑτῶν ἐῤῥωμενέστεροι ἐγένοντο. μάλιστα δὲ οἱ ἀθληταὶ δέοιντο ἂν τῆς ἀπὸ τοῦ λόγου προτροπῆς καὶ ἐπικελεύσεως, ὄντες μὲν καὶ αὐτοὶ Ἑρμοῦ τε καὶ Ἡρακλέους μαθηταί τε καὶ ζηλωταί· ὧν ὁ μὲν εὑρετὴς τοῦ λόγου, ἢ αὐτόχρημα λόγος· ὁ δὲ σὺν τῇ Ἀθηνᾷ πάντα κατώρθωσε τὰ ἐπιταχθέντα· ἡ δὲ τί ἄν ἄλλο εἴη, ἢ νοῦς τε καὶ λόγος; καὶ δσημέραι δ' ἐπὶ ταῖς γυμνασίαις ἑκάστοτε τοιούτους τοὺς ἐπικελευομένους ἔχοντες αὐτοῖς.

3. Εἶτα διαφορὰν ἐρεῖς, ὅσῳ κρείττων οὕτως ὢν ἐκείνων, εἰδέναι καὶ ταῦτα· ὅτι ὁ μὲν ἐκ τῶν ἐπιτυχόντων· οὗτος δ' ἀπὸ τῶν δεδοκιμασμένων καὶ βίῳ καὶ λόγῳ καὶ δόξῃ· καὶ ἐκεῖνος μὲν ἔθει τινί· οὗτος δὲ νόμῳ πόλεως καὶ δόγματι ἀρχόντων· κἀκεῖνος, δι' ὃν ἐπιβόησίς τις, μηδὲν τῶν ἦχων διαφέρων· οὗτος δὲ, μετὰ ἐπαίνων καὶ ἀποδείξεων παράκλησις. εἰ ἀκόλουθον τοῖς περὶ τὸ τοῦ σώματος καλὸν σπουδάσουσι, καὶ περὶ τὸ καλὸν τὸ ἐπὶ τῇ ψυχῇ σπουδάσαι καὶ μᾶλλον, ὅσῳ τιμιώτερον ψυχὴ σώματος, εἰ μὴ καὶ αὐτοὺς ἀσκοῦντας, ἀλλὰ τοῖς ἀσκήσασι πειθομένους· ὅπερ οὐδὲ δυσχέρειάν τινα ἔχει, οὐδὲ πόνον, ἄλλως τε καὶ ἐπὶ συμφέροντι τῶν πεισθέντων τῆς πειθοῦς γινομένης. ὥσπερ γὰρ καὶ ἐν στρατοπέδῳ οἱ γνησιώτατοι, παρὰ

Digitized by Google

τῶν στρατηγῶν λόγους ἀκούσαντες, μάλιστα φιλοτιμοῦνται περὶ τὴν νίκην, οὕτω καὶ οἱ ἐπὶ τοῖς ἀγῶσι προτρεπτικοὺς λόγους οἰκείως ἀναδεξάμενοι· μάλιστα γὰρ ὀρέγοιντο τοῦ περιγενέσθαι. καὶ ὅτι τοῖς ἐπαγγελλομένοις τὴν σωτηρίαν τοῦ σώματος προσήκει καὶ ἀψευδεῖν ἐν τούτῳ. εἰ δή που τις, καίτοι τῆς ἀπὸ τούτων δόξης ἀδήλου τυγχανούσης, ὅμως ἐφίεται τούτου ἄλλως μηδὲ ἀνάγκης οὔσης, πόσῳ μᾶλλον τοὺς ἐπ' αὐτὸ τοῦτο παρόντας καὶ παραδεδωκότας ἑαυτοὺς, καὶ τούτου ἕνεκεν ἐπὶ τοσοῦτον τοῖς γυμνασίοις χρησαμένους, καὶ ὑπευθύνους ἑαυτοὺς καταστήσαντας, πειθομένους φαίνεσθαι τῷ ἐπὶ τοῦτο ὑπὸ τῆς πόλεως καὶ τῶν ἀγωνοθετῶν καὶ τοῦ νόμου προκεχειρισμένῳ; εἰ δὲ δὴ καὶ ἀγωνοθέτης εἴη ὁ λέγων, πρὸς τούτοις, ἢ πρὸ ἁπάντων τούτων ἁρμόσει εἰπεῖν, ὅτι διατιθεὶς τὸν ἀγῶνα οὐκ ὤκνησεν ἀγωνιστὴν καὶ ἑαυτὸν καταστῆσαι, καὶ ὑποβαλεῖν τῇ τῶν ἀκουόντων κρίσει, ἕνεκα τοῦ ἀγῶνος καὶ τοῦ ἔνδοξον καὶ μέγαν καὶ περισπούδαστον τοῦτον γενέσθαι, πολλῷ δή που ἀναγκαιότερον αὐτοῖς ἀγωνιζομένοις καὶ κληρονομεῖν μέλλουσι τῆς τοῦ ἀγῶνος δόξης. τῷ δὲ ξένῳ καὶ τούτῳ ἂν ἁρμόζοι λέγειν, ὅτι προσήκων αὐτῷ ὁ λόγος διὰ τὴν ἐπιδημίαν καὶ τὴν μετουσίαν τῆς θέας. οἱ γὰρ τῆς θέας μεταδόντες καὶ τοῦ λόγου τοῦ περὶ αὐτῆς μετέδοσαν· ἄλλως τε καὶ ἐπὶ τῷ ἐνδοξοτέραν τὴν πανήγυριν γενέσθαι. καὶ ὅτι γνήσιος πολίτης οὐχ ὁ ἐγγεγραμμένος μόνον, ἀλλὰ πολλῷ μᾶλλον ὁ εὔνους τῇ πόλει, καὶ περὶ τὰ καλὰ μόνον τὰ τῆς

Digitized by Google

πόλεως σπουδάζων. εἰ δὲ δὴ καὶ μὴ πολίτης ὢν ἐπείσθη τοῖς ἐπιτάξασι καθεῖναι ἑαυτὸν εἰς τὸν ἀγῶνα, πολλῷ δή που μᾶλλον τοῖς ἀθληταῖς σπουδαστέον περὶ αὐτὸν τοῖς, ὡς ἂν εἴποι τις, πολίταις τοῦ ἀγῶνος οὖσι.

4. Τούτων δὲ τῶν ἀφορμῶν τάχα ἄν τινες καὶ εἰς τὸν πανηγυρικὸν λόγον ἁρμόζοιεν, τοιούτων πρυσώπων πανηγυριζόντων, καὶ τοιούτων ποιητῶν ἐμπεριειλημμένων. τοιαύτης δὲ προκαταστάσεως γινομένης, ὑποβλητέον καὶ τὸν περὶ τῶν πανηγύρεων καθόλου λόγον ἔπαινον ἔχοντα τῶν προκαταστησαμένων, ὅτι τῶν πολέμων καὶ τῶν πρὸς ἀλλήλους διαφόρων καταπαύσαντες τὰς πόλεις συνήγαγον, ὥσπερ εἰς μίαν πόλιν, τὴν πατρίδα πάντων, ὡς κοινῇ συνελθόντας θύειν καὶ ἑορτάζειν, λήθην ἁπάντων τῶν πρότερον ποιησαμένους· καὶ οὐ ταῦτα ἀπέχρησε μόνον, ἀλλὰ καὶ θεάματα καὶ ἀκροάματα μυρία ἐπὶ μυρίοις προέθεσαν, οὐκ εἰς ψυχαγωγίαν μόνον, ἀλλὰ καὶ πρὸς ὠφέλειαν· διὰ μὲν τῶν μουσικῶν ἀκροαμάτων παιδεύοντες ἡμᾶς, διὰ δὲ τῶν γυμνικῶν συνασκοῦντες εἰς τοὺς πολέμους. καλὸν μὲν οὖν καὶ τοῖς ἐπιδημοῦσι σπουδάζειν περὶ τὴν θέαν, πολὺ δὲ κάλλιον τοῖς ἀγωνιζομένοις αὐτοῖς. τοῖς μὲν γὰρ πρόσκαιρος ἡ τέρψις, τοῖς δ' ἀθάνατος ἡ δόξα· καὶ παραχρῆμα μὲν γίνεται ἑκάστῳ τούτων εὐφημεῖσθαι καὶ δακτυλοδεικτεῖσθαι ἐπὶ τοῖς καλλίστοις, νικᾶν, στεφανοῦσθαι, ἀναγορεύεσθαι, διὰ μιᾶς πράξεως καὶ νίκης, οὐ μιᾶς πόλεως γενόμενον, ἀλλὰ σχεδὸν ἁπάσης τῆς οἰκουμένης. ἕκαστος γὰρ τῶν παρόντων τῆς ἀρετῆς ἀποδεχόμενος τῇ εὐνοίᾳ,

Digitized by Google

ὡς πολίτην αὐτοῦ προσοικειοῦται. τὸ τοῦ Ὁμήρου δὴ τοῦτο· „Ἐρχόμενον δ' ἀνὰ τὴν πανήγυριν θεὸν „ὡς εἰσορόωσιν·" οὐ μόνον γε, ἀλλὰ καὶ μετὰ τὴν πανήγυριν ὅποι ἂν αὐτὸν ἴδωσι μόνον. καὶ ἀγωνιζομένῳ ταῦτα καθ' ἕκαστον ἀγῶνα· παυσαμένῳ δὲ παραμένουσι τὸν βίον σύμπαντα οἱ καρποὶ ἀπὸ τῆς νίκης, τὴν περιουσίαν τοῦ βίου ἄφθονον παρέχοντες. μετὰ δὲ τὴν τελευτὴν ἡ μνήμη ἀπὸ τῶν ἀνδριάντων καὶ τῶν εἰκόνων, εἰς τὸ ἀνάγραπτον ἔχειν τὴν δόξαν, οὐκ ἐν ταῖς μνήμαις σωζομένην μόνον, ἀλλὰ καὶ διὰ τῶν συγγραμμάτων συμπαραμένουσαν ἅπαντι τῷ χρόνῳ.

5. Εἶτ' ἐπὶ τούτοις προσάξεις καὶ τὸν περὶ τῆς πόλεως λόγον, ὅτι καὶ διὰ τὴν πόλιν αὐτὴν σπουδαστέον περὶ τὸν ἀγῶνα. σύμμετρος δὲ γινέσθω ὁ ἔπαινος, ἐπειδὴ οὐ περὶ αὐτοῦ νῦν πρόκειται. ἀφορμαὶ δ' εἰς τοῦτ' ἔσονται δή που ἱκαναὶ αἱ προειρημέναι ἐν ταῖς περὶ τοῦ πανηγυρικοῦ λόγου μεθόδοις. ὁμοίως δὲ καὶ περὶ αὐτῆς τῆς πανηγύρεως ἐρεῖς ἐφεξῆς, καὶ πόθεν ἤρξατο, καὶ τίς ὁ καταστήσας, καὶ τίνων θεῶν ἐπάγεται, καὶ τίς ὁ ἐπώνυμος αὐτῆς· καὶ ἔπαινος διὰ βραχέων διὰ τῶν αὐτῶν ἀφορμῶν τῶν ἐκεῖ παραδεδομένων. ἀναγκαῖον δ' ἐνταῦθα γενόμενον καὶ σύγκρισιν ποιήσασθαι πρὸς τοὺς ἄλλους ἀγῶνας. ἡ δὲ σύγκρισις ἔσται καὶ ἀπὸ τόπου τοῦ ἀγῶνος, οἷον ἀπὸ χρόνου, ὅτι ἀρχαιότατος· ἢ εἰ νέος, ὅτι, ὅσον τῷ χρόνῳ ἀποδεῖ, τοσοῦτον τῇ δόξῃ προέχει· καὶ ὅτι εἰ νῦν περισπουδαστός ἐστι, πολλῷ περισπουδαστότερος ἔστιν ἀ-

Digitized by Google

βὼν τὸν χρόνον. εἰ θεὸς εἴη ὁ ἐπώνυμος, τὰ προσόντα τῷ θεῷ· ἢ εἰ τῶν ἡρώων τις, ὁμοίως τὰς πράξεις· εἰ ἐπιτάφιος, ὅτι καὶ αὐτὸς διὰ τὴν ἀρετὴν τοῦ ἀγῶνος καὶ τῆς τούτου θέσεως ἠξιώθη. ἔτι καὶ τὴν πόλιν παραβαλεῖς πρὸς τὰς ἄλλας, ἀπὸ μεγέθους, ἀπὸ κάλλους, ἀπ' οἰκιστοῦ, ἀπ' οἰκειώματος. εἴρηται δὲ καὶ ταῦτα ἤδη. τούτων δὲ ῥηθέντων, οἰκειότατα ἂν ἐπαχθείη ὁ πρὸς τοὺς ἀθλητὰς λόγος κατὰ τὸν Θουκυδίδην. περὶ τοιαύτης οὖν πόλεως καὶ τοιούτου ἀγῶνος πολλοὶ μὲν καὶ ἄλλοι καὶ πάλαι ἐφιλοτιμήσαντο, καὶ ἐπόνησαν νικηφόροι γενέσθαι.

6. Ἐπειδὴ δὲ διάφορα τὰ πρόσωπα, τὰ μὲν ἔνδοξα, τὰ δὲ ἧττον, καὶ τὰ μὲν ἀπὸ στεφάνων πολλῶν, τὰ δὲ νῦν πρῶτον ἀρχόμενα, πειρασόμεθα ἕκαστον ἀπὸ τῶν οἰκείων καὶ προσφόρων προτρέψασθαι· οἷον τοὺς μὲν πολλοὺς ἔχοντας στεφάνους, ὅτι καλόν, μὴ ὅπως καταισχῦναι τούτους, ἀλλὰ καὶ προσθεῖναι καὶ πλείους ἀποφῆναι· συναύξεται γὰρ τοῖς στεφάνοις καὶ ἡ δόξα· τοὺς δ' ὀλίγους, ὅτι δεῖ μὴ τούτοις ἀρκεῖσθαι, ἀλλὰ καὶ βεβαιώσασθαι τούτους, ὅτι καὶ μετὰ τῆς ἀληθείας, καὶ προῖκα τῷ ἐπαγωνίσασθαι καὶ προσλαβεῖν ἑτέρους. τοὺς δὲ νῦν πρῶτον ἀρξομένους· „Ἀρχὴ δέ „τοι ἥμισυ παντός“· καὶ τοῖς ἡττημένοις πρότερον καλὸν ἀγωνίζεσθαι, ἵνα μὴ καὶ ψυχῇ καὶ σώματι, ἀλλὰ τύχῃ μᾶλλον, δοκῶσι τῇ ἥττῃ κεχρῆσθαι. εἶτα συμπροτρέψεις τοὺς μὲν κατὰ τὸ αἰσχρόν, τοὺς δὲ κατὰ τὸ καλόν, ὅτι τοῖς μὲν πολλοὺς ἔχουσι καὶ

Digitized by Google

προνενικηκόσιν αἰσχρὸν τὸ ἡττηθῆναι τῶν μήπω νενικηκότων, τοῖς δ' ἄλλοις ἔντιμον, καὶ οὐδὲ ὑπερβολὴν εἰς δόξης λόγον ἔχον, τοὺς νενικηκότας κρατῆσαι, καὶ δι' ἑνὸς στεφάνου προσλαβεῖν τὴν τούτων δόξαν. εἶτα πειρασόμεθα ἀναιρεῖν, δι' ἃ ἐπὶ τὸ διαφθείρεσθαί τινες τρέπονται, τῷ αἰσχρῷ καὶ ἀδόξῳ, ὅτι αἰσχρὸν χρημάτων προέσθαι τὴν νίκην, κατ' ἀμφότερα τὰ πρόσωπα τὸ αἰσχρὸν προσάπτοντες, καὶ κατὰ τὸ τῶν διδόντων καὶ κατὰ [τὸ] τῶν λαμβανόντων, ὅτι οἱ μὲν χρήματα ἀντὶ δόξης ἀντιλλάσσονται· ἐν ᾧ, οἷα μὲν τὰ χρήματα, οἷα δὲ ἡ δόξα· τὰ μὲν πρόσκαιρα, ἡ δ' ἀθάνατος· καὶ τὰ μὲν τύχη, καὶ χρόνος, καὶ πόλεμος ἀφεῖλεν· ἡ δ' ἀναφαίρετος ὑπὸ τούτων· καὶ τὰ μὲν ζῶντα εὐφραίνει, ἡ δὲ μετὰ τὴν τελευτὴν ζηλωτοὺς ἀποφαίνει· καὶ τὰ μὲν ἀπὸ κακίας περιγίνεται, ἡ δ' ἀπ' ἀρετῆς καὶ ἀνδραγαθίας. ἔπειτα καὶ οἱ δόντες τῷ μὲν δοκεῖν νενικήκασι, τῇ δ' ἀληθείᾳ ἐώνηνται τὴν νίκην· καὶ ὅτι οὐ δόξαν κτῶνται, ἀλλ' αἰσχύνην. τὸ γὰρ μὴ μετὰ ἀληθείας κρατῆσαι, πρὸς αἰσχύνην μᾶλλον τῷ κρατήσαντι, ἢ δόξαν. καὶ ὅτι εἰ καὶ λανθάνοιεν τοὺς ἄλλους, ἀλλ' ἑαυτοῖς συνίσασι· καὶ παρὰ τοῖς ἄλλοις μὲν δοκοῦσι κρατεῖν, παρὰ δὲ ἑαυτοῖς ἥττηνται. καὶ ὅτι οὐδὲ ἡδονὴ ἐπὶ τῆς τοιαύτης νίκης· καὶ ὅτι ὁ τῆς αἰσχύνης ἔλεγχος ἀεὶ συμπάρεστιν αὐτοῖς τῆς ἐπονειδίστου νίκης. καὶ ὅτι χείρους τῶν προδοτῶν· ἐκεῖνοι μὲν γὰρ τοὺς ἄλλους πωλοῦσιν, οὗτοι δὲ καὶ ἑαυτούς· καὶ ὅμοιοι τοῖς πόρνοις εἰσὶν, ἐπὶ τοῖς σώμασι τοῖς ἑαυτῶν

Digitized by Google

λαμβάνοντες· ἐκεῖνοι μὲν ἴσως καὶ δι' ἡλικίαν ἐξαπατηθέντες, αὗτοι δὲ δι' αἰσχροκέρδειαν ἑαυτοὺς ἐκδόντες. εἶτα ὅτι οὐδὲ λανθάνουσι· ῥᾳδίως γὰρ ὁρῶνται, καὶ ἐκ τῶν σωμάτων, καὶ ἐκ τῶν γυμνασίων, καὶ ἐκ τῶν προγεγενημένων ἀγώνων. ἐν ᾧ, τίνα τὰ ἐπὶ τούτοις, μάστιγες, ὕβρις, αἰκίαι σωμάτων, ἃ δοὺλων καὶ οὐκ ἐλευθέρων· τὸ παρὰ τοῖς θεαταῖς βλασφημεῖσθαι, ἀντὶ τοῦ ἐπαινεῖσθαι. κροτεῖσθαι, στεφανοῦσθαι· ἐνίοτε δὲ καὶ ζημία κατὰ τὸ ἐκβαλέσθαι καὶ ἐκ τῶν σταδίων καὶ ἀγώνων· μέγιστον δ' ἐπ' ἐλευθερίᾳ φρονοῦντας, εἰς τὰς τῶν δούλων τιμωρίας περιορᾶν αὐτοὺς ἐμπίπτοντας καὶ ἂν μὲν δούλων αἰσθάνωνταί τινα τῶν ἀγωνιζομένων εἶναι, κατηγορίαν αὐτοῦ καὶ ὡς ἀναξίου τοῦ ἀγῶνος ἐκκρίνειν· αὐτοὺς δὲ, τὰς παρὰ τῶν ἀθλοθετῶν ψήφους τῆς ἐλευθερίας λαμβάνοντας, τὴν τῆς δουλείας οἴκοθεν [αὐτὸν] φέρειν.

7. Ἐν δὲ τούτῳ τῷ τόπῳ γενομένους ἀναγκαῖον καὶ τῶν ἀρχαίων μνημονεύειν, καὶ παραδείγματα φέρειν, ὅσοι ἔνδοξοι, οἱ μὲν, ὅτι ἥττητοι, σὶ δὲ, ὅτι πλείστας νίκας ἦραντο, οἱ δὲ, ὅτι εἰ καὶ ὀλίγας, ἀλλὰ τὰς ἐνδοξοτάτας, καὶ ὅτι πάσας προῖκα, καὶ ὅτι ἀπὸ σωφροσύνης, ἀπ' ἐγκρατείας, ἀπ' ἀσκήσεως, τοιοῦτοι ἐγένοντο· καὶ ὅτι αὐτοῖς τοιοῦτο συνέβη, ὅτι πολλοὶ καὶ ἰσάθεοι ἐνομίσθησαν, οἳ δὲ καὶ ὡς θεοὶ τιμῶνται καὶ τῶν ποιητῶν.

Digitized by Google

VIII.

De Oratione Figurata tract. 1.

Ἀγῶνας ἐσχηματισμένους παντάπασιν οὔ φασιν εἶναί τινες, ἀλλὰ μέρη μὲν ἀγώνων ἐσχηματίσθαι συνομολογοῦσι· τὸ δὲ ὅλας ὑποθέσεις διὰ τούτου τοῦ τρόπου τῶν λόγων περαίνεσθαι, οὐχ οἷόν τ' εἶναί φασι. μὴ γὰρ δυνατὸν εἶναι, μὴ σαφῶς ἀκούοντας τοὺς ἀκροωμένους συνιέναι, περὶ οὗ ὁ λόγος ἐστίν· οὔτε τοὺς παλαιοὺς κεχρῆσθαι τῷ τοιούτῳ εἴδει τῶν λόγων καὶ τῶν ἀγώνων. ἡμεῖς δὲ, καὶ ὅσοι τρόποι τῶν ἐσχηματισμένων ἀγώνων, φράσομεν, καὶ τῆς μεταχειρήσεως αὐτὴν τὴν μέθοδον δηλώσομεν, αὐτοὺς τοὺς παλαιοὺς, οὓς οὔ φασί τινες κεχρῆσθαι τῷ τρόπῳ τῶν λόγων, μαρτυρόμενοι.

2. Ἔστι γὰρ τῶν καλουμένων σχημάτων εἴδη τρία· τὸ μέν ἐστι σχῆμα λέγον μὲν, ἃ βούλεται, διόμενον δ' εὐπρεπείας, ἢ δι' ἀξίωσιν τῶν προσώπων, πρὸς οὓς ὁ λόγος, ἢ δι' ἀσφάλειαν πρὸς τοὺς ἀκούοντας. καὶ τούτῳ μὲν τῷ εἴδει οὐκ ἀντιλέγουσιν οἱ ῥητορικοὶ, ἀλλὰ καλοῦσιν αὐτὸ Χρῶμα. τοὺς γὰρ εὐπροσώπους λόγους, οὐκ οἶδα, ὁπόθεν ὁρμηθέντες, οὕτως ὀνομάζουσιν, ὅταν ἢ πρὸς πατρίδα τις διαλέγηται, ἢ πρὸς ἀριστέα, ἢ πρὸς στρατηγὸν, ἢ πρὸς ἀρχήν τινα, ἢ πρὸς ὅλην πόλιν. τὸ δέ τι σχῆμα ἐστι πλαγίως ἕτερα μὲν λέγον, ἕτερα δ' ἐργαζόμενον ἐν λόγοις. τρίτον σχῆμά ἐστι, τὸ οἷς λέγει τὰ ἐναντία πράχθῆναι πραγματευόμενον.

Digitized by Google

3. Τοῦ μὲν οὖν καλουμένου ὑπὸ τῶν πολλῶν χρώματος οὔτε ἀποκεκρυμμένη, οὔτε χαλεπὴ μέθοδος. ἐπιείκεια γὰρ προστεθεῖσα τοῖς λόγοις, καὶ τὸ ὑποστέλλεσθαι τῇ παῤῥησίᾳ, καὶ αὐτὸ τοῦτο τὸ αἰδεῖσθαι προσποιεῖσθαι, καὶ τὸ ὁμολογεῖν μὴ βούλεσθαι τολμηρῶς, μηδ' ἀποκεκαλυμμένως λέγειν, ἡ μέθοδός ἐστι τῶν τοιούτων λόγων. μεγίστη δὲ καὶ βαθυτάτη ἐν τούτοις τοῖς λόγοις μέθοδος, τὸ ἑτέρας αἰτίας ὑποβαλέσθαι εὐσχήμονας πρὸ τῶν λυπούντων λόγων. οἱ δὲ ἕτερα μὲν λέγοντες, ἕτερα δὲ βουλόμενοι, τίνι μεθόδῳ χρῶνται; πρωτείνουσι μὲν γὰρ ἕτερα κεφάλαια τοῖς ἀκροωμένοις· ἃ δὲ βούλονται πεῖσαι, τοῖς πρατιθεῖσι συγκατασκευάζουσι. καὶ τρόπον τινὰ διπλοῦν ἀγῶνα ἀγωνίζονται· τῷ μὲν γὰρ λόγῳ τὸ κοινὸν προτείνουσι, τέχνῃ δὲ, οὗ τὴν χρείαν ἔχουσιν. ὁ δὲ οἷς λέγει τὰ ἐναντία βουλόμενος λόγος ἀκοῦσαι, οὕτωσὶ ἄτοπόν τινα τὴν μέθοδον ἔχειν δόξει. δεῖ γὰρ εἰς ἐναντιώσεις ὑποπίπτοντα φαίνεσθαι τοῖς ἀκούουσι· καὶ ἐν τούτῳ τῷ εἴδει τὸ κοινότατον δὴ φαίνεται, τέχνη ῥήτορος οὖσα, τὸ ἐναντία λέγειν. τίς ὁ λόγος; βραχὺς καὶ σαφής. ὥσπερ γὰρ ἐν τοῖς ἁπλοῖς τῶν ἀγώνων ὠφέλειαν ἔχει τὸ μὴ δοκεῖν ἐναντία λέγειν, αὖτως ἐντεῦθα κέρδος αἱ ἐναντιώσεις ἔχουσι· τὸ δὲ μὴ ἐναντία λέγειν, ζημίαν καὶ πάνυ. δικαιώσει γὰρ οἷς λέγει τις τὰ ἐναντία. οἷς γὰρ βούλεται, ἂν λέγων πείσῃ, τὰ ἐναντία πράξει· ἂν δὲ, ἃ βούλεται, κατεργάζηται, ἐναντία οἷς λέγει πείθειν δόξει. μέθοδος δὲ τούτων τίς; ὥσπερ ἐν τοῖς ἁπλοῖς ἀγῶσι.

Digitized by Google

τὰς προτάσεις τὰς οἰκείας ἀσθενεῖς εἶναι δεῖ, τὰς δὴ τοῦ ἀντιδίκου ἰσχυράς, καὶ τὰ μὲν παρ' αὐτοῦ εὐδιάλυτα προβάλλεσθαι, τὰ δὲ παρὰ τοῦ ἐναντιουμένου δυσκαταγώνιστα· αὕτη μία μέθοδος. δευτέρα δέ, ὥσπερ ἐν τοῖς ἁπλοῖς ἀγῶσιν οὐ χρὴ στρεφόμενα λέγειν, οὐδ' οἷς ἂν καὶ ὁ ἀντίδικος χρήσαιτο, οὕτως ἐν τοῖς τοιούτοις τῶν ἀγώνων τοιαῦτα λέγειν δεῖ, οἷς καὶ ὁ ἀντιλέγων χρήσεται. οἱ μὲν οὖν κυριώτατοι τρόποι τῶν ἐσχηματισμένων λόγων οὗτοι.

4. Ἤρτηνται δὲ τοῦτον τὸν τρόπον καὶ εἶναι· τὰ αὐτὰ δοκοῦντα λέγειν ἑτέρῳ πράγματι, ἑτέραν ὑπόθεσιν διοικεῖσθαι· τὸν ἐναντιοῦσθαι δοκοῦντα τῷ λόγῳ, βοηθεῖν τῷ ἔργῳ, προκατασκευάσαντος τοῦ σχήματος τὴν χρείαν τὸ ἐν ἄλλῳ λόγῳ ὑπερβάλλεσθαι τὴν ὑπὲρ αὐτοῦ παρρησίαν εἰς ἕτερον καιρόν. τούτων δεῖ καὶ τὰ παραδείγματα λαβεῖν ἐκ τῶν βιβλίων. λημψόμεθα δὲ παρὰ Δημοσθένους, Θουκυδίδου, Ξενοφῶντος, Πλάτωνος, Εὐριπίδου, τῆς κωμῳδίας, Ὁμήρου, ἀπὸ πασῶν ἰδεῶν τῆς ῥητορικῆς, συμβουλευτικῆς, δικανικῆς, παρηγυρικῆς. μεμνῆσθαι χρή, ὅτι τῇ μεθόδῳ καὶ περὶ τῶν σχημάτων τῶν ἐναντία βουλομένων οἷς λέγουσιν ἀγωνιζομένοις, εἴ τις πορίσηται, ὡς ἔφαμεν, δι' ἐναντιώσεων, μέγας κίνδυνος πρόσεστι τῷ μὴ φωραθῆναι ὑπὸ τῶν ἀκροωμένων, ὅτι τεχνάζει τῆς ἐναντιώσεως εἰς δόξαν ἐμπεσεῖν. εἰ γὰρ διαληφθείη ἡ τέχνη, συμβήσεται φιλονικοῦντας, ὑπροσποιεῖσθαι λέγειν, συγχωρεῖν τῷ ῥήτορι, οὐχ, ἃ βούλονται,

Digitized by Google

ταῦτα ψηφίζεσθαι. φράσωμεν οὖν καὶ ὅπως τις ἂν λάθοι μεταχειριζόμενος τὸν δι' ἐναντιώσεων λόγον.

5. Δημοσθένης τοίνυν ὁ ῥήτωρ· ἵνα πρῶτον καὶ τὸ ὄνομα τοῦ σχήματος καὶ τὴν χρείαν δείξωμεν παρ' αὐτῷ δεικνύντες· ἐν τῷ περὶ τοῦ Στεφάνου διηγούμενος λόγον, ὃν συνεβούλευσεν διαθέσθαι πρὸς Θηβαίους, οὐχ ἁπλοῦν, ἀλλά τινα τεχνικὸν, ὧδέ πως λέγει, καὶ ἐπὶ τῷ λόγῳ τὸ ὄνομα ἐπάγει τῆς τέχνης. „Ἐπειδὰν δ' ἔλθωσιν οἱ πρέσβεις εἰς „Θήβας, πῶς χρήσασθαι τῷ πράγματι παραινῶ, „τούτῳ πάνυ μοι προσέχετε τὸν νοῦν. μὴ δεῖσθαι „Θηβαίων μηδέν· αἰσχρὸς γὰρ ὁ καιρός· ἀλλ' ἐπαγ„γέλλεσθαι βοηθήσειν, ὡς ἐκείνων μὲν ὄντων ἐν „τοῖς ἐσχάτοις, ἡμῶν δ' ἄμεινον, ἢ ἐκεῖνοι, καὶ τὸ „μέλλον προορωμένων, ἵν', ἐὰν μὲν δέξωνται ταῦτα „καὶ πεισθῶσιν ἡμῖν, καὶ, ἃ βουλόμεθα, ὦμεν διω„κημένοι, καὶ μετὰ σχήματος ἀξίου τῆς πόλεως „ταῦτα πράξωμεν." Ὁρᾷς καὶ τὸ ἔργον τῆς διοικήσεως, καὶ τὸ ὄνομα ἐπιφερόμενον τῷ ἔργῳ, τὸ Σχῆμα. ὁ αὐτὸς τοίνυν Δημοσθένης ἐν μὲν τῷ περὶ τῆς Παραπρεσβείας· ἀπὸ δικανικοῦ λόγου ἀρξόμεθα· ἄλλα προτείνων, ἄλλα κατασκευάζει, δι' ὅλου τοῦ βιβλίου διοικούμενος διοίκησίν τινα τοιαύτην. κεφάλαιά ἐστιν, ἅπερ ἀσθενῆ ὄντα τῷ Δημοσθένει, ἐὰν ἀπ' αὐτῶν προτείνηται, ἐλέγχεται. ταῦτα ἵνα πιθανὰ ποιήσῃ, ἕτερα μὲν προτείνει, λαβὼν δὲ τὸν ἀκροατὴν προσέχοντα τοῖς προτιθεῖσι, συμπλέκει τὰς πίστεις τῶν ἀσθενῶν τοῖς προτεινομένοις. οἷον, ἵνα ὁ λόγος ἔχῃ παράδειγμα, ἔροιτ' ἂν εἰκότως ὅ

Digitized by Google

Αἰσχίνης τὸν Δημοσθένην, διά τί τῆς προτέρας πρεσβείας οὐ κατηγορεῖς; καίτοι τὰ πεπραγμένα πάντα ἐν τῇ προτέρᾳ πέπρακται· ὅ φησιν ὁ Αἰσχίνης ἐν τῇ ἀπολογίᾳ· ἡ δὲ δευτέρα ἀπαίτησιν ὅρκων εἶχε μόνην. ἡ μὲν οὖν ἀληθὴς αἰτία τοῦ μὴ κατηγορεῖν, ἐκείνη· ἐπήνεσεν ὁ Δημοσθένης τὰ ἐν τῇ προτέρᾳ πρεσβείᾳ πάντα πεπραγμένα, καὶ ψηφίσματα ἔγραψε, καλέσαι ἐπὶ δεῖπνον εἰς τὸ Πρυτανεῖον τοὺς πρέσβεις. αὕτη μὲν οὖν ἡ ἀληθὴς αἰτία ἐστὶ τοῦ μὴ ἐγκαλεῖν ἐν τῇ προτέρᾳ πρεσβείᾳ. ἄλλὰ μὴν αἰτίαν ἱκανὴν οὐδεμίαν ἔχει κατὰ τῆς δευτέρας πρεσβείας· δεῖ οὖν αὐτὸν ἐφάπτεσθαι καὶ τῆς προτέρας. [κατηγορᾶν οὖν ἅμα τῆς προτέρας πρεσβείας,] οὐ κατηγορεῖ· δεῖ δ' αὐτῷ προφάσεως. τίς οὖν ἡ πρόφασις; φησὶν, ἠγνοηκέναι τὸν Αἰσχίνην πεπρακότα αὐτὸν ἐν τῇ προτέρᾳ πρεσβείᾳ. τοῦτο οὕτωσὶ μὲν πρὸς ἐρώτησιν τὴν παρ' Αἰσχίνου ἐν παραιτήσεως σχήματι λεγόμενον, ἀσθενὲς καὶ γελοῖόν ἐστιν. ἄλλο δ' οὐδὲν ἔχων εἰπεῖν ὁ Δημοσθένης, ὅπερ ἔφαμεν, ἑτέρου προφάσει τοῦτο συγκατασκευάζει. . . . . .

. . . . . .

φησὶ γὰρ, ἀποδείξειν τὸν Αἰσχίνην αὐτὸν ὑφ' ἑαυτοῦ ἐλεγχόμενον, ὅτι δῶρα εἴληφε· καὶ διέξεισι λόγους, οὓς εἶπε πρότερον κατὰ Φιλίππου· εἶτά φησιν αὐτὸν πρότερον κατὰ Φιλίππου πολιτευσάμενον, ὕστερον μεταβεβλῆσθαι, οὐκ ἂν μεταβαλόντα, εἰ μὴ δώροις πεισθεὶς τοῦτ' ἐποίει. ταύτην τὴν ἀπόδειξιν ὑποθεὶς, συγκατασκευάζει τὸ, ὅτι εἰκό-

Digitized by Google

τως ἔλαθέ με ὦρα λαβὼν ἐπὶ τῆς ἑτέρας πρεσβείας· ᾤμην γάρ, αὐτὸν χρηστὸν εἶναι, τῷ πρότερον κατὰ Φιλίππου πολιτεύεσθαι. αὕτη μὲν ἡ συμπλοκὴ τοῦ ἕτερα συγκατασκευάζειν ἕτερα προτείνοντα.

6. Ποιεῖ δὲ αὐτὸ πῶς, ἀκούσωμεν τῆς λέξεως τοῦ ῥήτορος. φησὶ γὰρ ὧδε· „Βούλομαι δὲ πρὸ „πάντων, ἂν μέλλω λέγειν, μνημονεύσαντας ὑμῶν „οἶδ' ὅτι τοὺς πολλοὺς, ὑπομνῆσαι, εἰς τίνα τάξιν „αὐτὸν ἔταξεν Αἰσχίνης ἐν τῇ πολιτείᾳ τὸ πρῶτον, „καὶ τίνας λόγους κατὰ τοῦ Φιλίππου δημηγορεῖν „ᾤετο δεῖν· ἵν' εἰδῆτε, ὅτι τοῖς ὑφ' ἑαυτοῦ πεπραγ„μένοις καὶ δεδημηγορημένοις ἐν ἀρχῇ μάλιστα ἐξ„ελεγχθήσεται θῶρα ἔχων. ἔστι τοίνυν ὁ πρῶτος „Ἀθηναίων αἰσθόμενος Φίλιππον, ὡς τότε δημηγο„ρῶν ἔφη, ἐπιβουλεύοντα τοῖς Ἕλλησι καὶ διαφθεί„ροντά τινας τῶν ἐν Ἀρκαδίᾳ προεστηκότων, καὶ „ἔχων Ἰσχανδρον τὸν Νεοπτολέμου δευτεραγωνιστὴν, „προσιὼν μὲν τῇ βουλῇ, προσιὼν δὲ τῷ δήμῳ περὶ „τούτων, καὶ πείσας ὑμᾶς πανταχοῦ πρέσβεις πέμ„ψαι τοὺς συνάξοντας δεῦρο τοὺς βουλευσομέ„νους περὶ τοῦ πρὸς Φίλιππον πολέμου, καὶ ἀπαγ„γέλλων. μετὰ ταῦθ' ἥκων ἐξ Ἀρκαδίας, τοὺς καλοὺς „ἐκείνους καὶ μακροὺς λόγους ἐν τοῖς μυρίοις ἐν τῇ „Μεγάλῃ πόλει πρὸς Ἱερώνυμον τὸν ὑπὲρ Φιλίππου „λέγοντα, ὑπὲρ ὑμῶν ἔφη δεδημηγορηκέναι· καὶ „διεξιὼν, ἡλίκα τὴν Ἑλλάδα πᾶσαν, οὐχὶ τὰς ἰδίας „ἀδικοῦσι μόνον πατρίδας οἱ δωροδοκοῦντες καὶ „χρήματα λαμβάνοντες παρὰ Φιλίππου, ἐπειδὴ τοί„νυν ταῦτα πολιτευομένου τούτου τότε, καὶ τοῦτο

Digitized by Google

„τὸ δεῖγμα ἐξενηνοχότος περὶ αὐτοῦ, τοὺς περὶ τῆς „εἰρήνης πρέσβεις πέμπειν ὡς Φίλιππον ἐπείσθητε „ὑπ' Ἀριστοδήμου καὶ Νεοπτολέμου, καὶ τῶν ἄλλων „τῶν ἐκεῖθεν ἀπαγγελλόντων οὐδ' ὁτιοῦν ὑγιές, γί- „νεται τῶν πρέσβεων τούτων εἷς καὶ οὗτος, οὐχ ὡς „τῶν ἀπαδωσομένων τὰ ὑμέτερα, οὐδ' ὡς τῶν πε- „πιστευκότων τῷ Φιλίππῳ, ἀλλ' ὡς τῶν φυλαξόν- „των τοὺς ἄλλους. διὰ γὰρ τοὺς προειρημένους λό- „γους καὶ τὴν πρὸς Φίλιππον ἀπέχθειαν, ταύτην „εἰκότως περὶ αὐτοῦ πάντες εἴχετε τὴν δόξαν." Αὕτη μὲν ἡ μέθοδος τοῦ κατασκευάσαι· ἤδη γὰρ τὸν δῆμον συνεπεσπάσατο ὡς συνεξηπατημένον ἑαυτῷ ὁ Δημοσθένης. εἶτ' ἐπήγαγε τῆς τέχνης τὸ δεινόν· „Προσελθὼν τοίνυν ἐμοὶ μετὰ ταῦτα συν- „ετάττετο καινῇ πρεσβεύειν, καὶ ὅπως τὸν μιαρὸν „καὶ λίαν ἀναιδῆ φυλάξωμεν ἀμφότεροι τὸν Φιλο- „κράτην, πολλὰ παρεκελεύσατο, καὶ μέχρι τοῦ δεῦρο „ἐπανελθεῖν ἀπὸ τῆς πρώτης πρεσβείας. ἐμὲ γοῦν, „ὦ Ἀθηναῖοι, διεφθαρμένος καὶ πεπρακὼς ἑαυτόν, „ἐλάνθανεν." Ὡς θαυμαστὴ γε ἡ τέχνη πάντας αὐτοὺς ἐξηπατημένους ἀπέδειξεν. ἐπήγαγε δ' εὐθὺς τὸ μὲν· „Ὥσπερ ὑμεῖς ἐξηπάτησθε, κἀγώ·" διὰ μέσου τὸ περὶ Φιλοκράτους εἰπών, αὐτὸς ἐφ' αὑ- τὸν ἤγαγε τὴν αἰτίαν, ἁπλότητος προσχήματι κλέπτων τὴν πανουργίαν τῆς κατασκευῆς τῷ λέγειν· „Ἐμὲ γοῦν, ὦ Ἀθηναῖοι, διεφθαρμένος καὶ πε- „πρακὼς ἑαυτόν, ἐλάνθανεν·" ἀλλὰ μὴ φάναι· „Κἀμέ·" ἵνα μὴ δοκῇ τὸ πᾶν ἐπιχείρημα οἰκείας διοικήσεως ἐξειργάσθαι. οὕτω μὲν ἕτερα προτείνων,

Digitized by Google

ἕτερα κατασκευάζει ὁ Δημοσθένης· καὶ ἐξῆς τὸ αὐτὸ ποιεῖ ἐν τῷ λόγῳ, καὶ πάλιν ἐξῆς, καὶ ἄχρι τέλους τοῦ παντὸς ἀγῶνος. τοῦτο μέν σοι δικανικῶν λόγων τὸ παράδειγμα, λόγων ἐσχηματισμένων ἕτερα προτεινόντων, ἕτερα κατασκευαζόντων.

7. Συμβουλευτικῶν δὲ πάλιν αὐτὸς ὁ Δημοσθένης ἐν τῷ περὶ τῶν Συμμοριῶν δι' ὅλου τὴν τοιαύτην τέχνην ἐξεργάζεται. ἔχει δὲ οὕτως· οἱ μὲν Ἀθηναῖοι ὡρμήκασι μὲν πρὸς βασιλέα τῶν Περσῶν, τοιαῦτα τῶν ῥητόρων συμβουλευόντων καὶ ἐπαιρόντων αὐτοὺς ἐκ τοῦ ἐπαινεῖν τοὺς προγόνους, καὶ μεμνῆσθαι τῶν πεπραγμένων πρὸς τοὺς βαρβάρους ἔργων· πρὸς δὲ τὸν Φίλιππον, τὸν τῶν Μακεδόνων βασιλέα, ὀκνοῦσι πολεμεῖν. ὁ δὲ Δημοσθένης αὐτὰ τὰ ἐναντία, πρὸς μὲν τὸν βασιλέα πολεμεῖν αὐτοὺς οὐ βούλεται, πρὸς δὲ τὸν Φίλιππον βούλεται. ὁρᾷς δύο ὑποθέσεις ἐναντίας ἀλλήλαις; πῶς οὖν τοῦτο ποιεῖ; διπλῷ γὰρ τῷ σχήματι χρῆται· πρὸς μὲν τὸν βασιλέα οὐ φησι μὴ δεῖν πολεμεῖν, ἀλλὰ μηδέπω πολεμεῖν· εἰ γὰρ ἁπλῶς ἐκέλευε μὴ πολεμεῖν, οὐκ ἂν αὐτῷ προσεῖχον τὸν νοῦν, ὁρμηκότες πρὸς τὸν πόλεμον. ὁ δὲ φησὶ μὲν πολεμεῖν δεῖν, ἐνδιδοὺς αὐτοῖς, ὃ βούλονται· πρότερον δ' ἀξιοῖ παρασκευάζεσθαι, ἵν' ἀσφαλέστερος καὶ δικαιότερος ὁ πόλεμος γένοιτο, τέχνῃ τοῦτο ποιῶν. οἶδε γὰρ, ὅτι ἡ ἀναβολὴ ἐκλύσει τὴν ὁρμήν. καὶ εὐθύς γε κατὰ τὸ προοίμιον, κλέπτων τὸ δοκεῖν συναγορεύειν βασιλεῖ τι, φησὶν· „Ἐγὼ νομίζω, „κοινὸν ἐχθρὸν ἁπάντων τῶν ὄντων Ἑλλήνων εἶναι

Digitized by Google

„βασιλέα: οὐ μὴν διὰ ταῦτα παραινέσαιμ' ἂν μό-
„νοις τῶν ἄλλων ὑμῖν πόλεμον πρὸς αὐτὸν ἄρα-
„σθαι." Οὕτω μὲν ἐπέχει τὴν ὁρμήν, τῇ αὐτῇ τέχνῃ Θουκυδίδῃ χρώμενος. καὶ γὰρ παρὰ τῷ Θουκυδίδῃ Ἀρχίδαμος, ὃν φησιν ὁ Θουκυδίδης συνετὸν εἶναι καὶ σώφρονα, ἐπειδὴ ἑώρα τοὺς Λακεδαιμονίους καὶ τοὺς Πελοποννησίους ὡρμημένους πρὸς τὸ πολεμεῖν τοῖς Ἀθηναίοις, οὐχὶ μὴ πολεμεῖν κελεύει· ἤδει γὰρ οὐ πεισομένους· ἀλλὰ μηδέπω ταῦτα ποιεῖν, ἀλλὰ πρότερον παρασκευάζεσθαι. οὕτω μὲν γὰρ, ὅπερ ἔφαμεν, ἐμποδίζει τὴν ὁρμὴν αὐτῶν ὁ Δημοσθένης ὁμοίως τῷ Θουκυδίδῃ. διδάσκει δὲ προελθεῖν τοῦ λόγου τὸν τρόπον· ἧς παρασκευασθείσης, εὐπρεπὴς γίνεται κατὰ Φιλίππου. καὶ οὕτως ἑκάτερος λόγος τεχνικῶς παραίνεται τῷ Δημοσθένει, τῷ βασιλεῖ μὲν μηδέπω πολεμεῖν, τῇ δ' ἐπὶ βασιλέα παρασκευῇ ἔχειν χρῆσθαι κατὰ Φιλίππου. οὕτω μὲν δι' ὅλου τοῦ λόγου συμβουλευτικοῦ ἕτερα προτείνεται, καὶ ἕτερα κατασκευάζεται, καὶ ὑποθέσεις [ὑποθέσεσι] συμπλέκονται. ἔχεις δύο ταῦτα παραδείγματα ἀγώνων ἑτέρων προτεινομένων, ἑτέρων συγκατασκευαζομένων, τὸ μὲν δικανικοῦ εἴδους, τὸ δὲ συμβουλευτικοῦ.

8. Ἐπεὶ μέντοι συμβουλευτικῶν καὶ δικανικῶν ἐμνήσθημεν, λάβε καὶ παρὰ Πλάτωνος παραδείγματα ἀγώνων πλειόνων συμπεπλεγμένων, καὶ τρόπον τινὰ πάντων μερῶν τῆς ῥητορικῆς συναγομένων. ἡ Σωκράτους Ἀπολογία τὴν μὲν πρότασιν ἔχει, ὡς τὸ ἐπίγραμμα δηλοῖ, ἀπολογίαν· ἔστι δὲ καὶ Ἀθη-

Digitized by Google

ναίων κατηγορία, εἰ τοιοῦτον ἄνδρα εἰς δίκην ὑπήγαγον. καὶ κέκρυπται τὸ πικρὸν τῆς κατηγορίας τῷ ἐπιεικεῖ τῆς ἀπολογίας· ἃ γὰρ ὑπὲρ αὐτοῦ ἀπολογεῖται, Ἀθηναίων κατηγορεῖ. δύο μὲν αὗται συμπλοκαί. τρίτη δέ, ὁ λόγος ἐστὶ Σωκράτους ἐγκώμιον, καὶ τὸ ἐπαχθὲς τοῦ λόγου ἐπεσκίασται τῷ ἀναγκαίῳ τῆς ἀπολογίας· τρίτη αὕτη συμπλοκή. καὶ γεγόνασι δύο μὲν δικανικαὶ ὑποθέσεις συνημμέναι, ἡ ἀπολογία καὶ ἡ κατηγορία· μία δ' ἐγκωμιαστική, ὁ ἔπαινος ὁ Σωκράτους. τετάρτη συμπλοκή· ἥπερ μεγίστη ὑπόθεσις τῷ Πλάτωνι· ἔχουσα, συμβουλευτικῆς ἰδέας δύναμιν, φιλόσοφον δὲ τὴν θεωρίαν. ἔστι γὰρ τὸ βιβλίον παράγγελμα, ὁποῖον εἶναι δεῖ τὸν φιλόσοφον. τοῦτο, ὡς μὲν ἐν ῥητορικῇ, συμβουλευτικὴ ἰδέα· ὡς δ' ἐν φιλοσοφίᾳ, δόγμα παραδιδόμενον· τοιοῦτον γὰρ εἶναι τὸν φιλόσοφον, ὁποῖος ἐν τῇ Ἀπολογίᾳ φαίνεται Σωκράτης. ταύτην τὴν κρᾶσιν τῶν τεττάρων ὑποθέσεων ζηλώσας ὁ Δημοσθένης, ἐν τῷ περὶ τοῦ Στεφάνου τὴν μίμησιν ἐξήνεγκε. καὶ γὰρ ἀπολογίαν ἔχει ὑπὲρ ὧν κατηγορεῖται, καὶ κατηγορίαν ἐλέγχοντος τοὺς ἠδικηκότας καὶ τῶν κακῶν αἰτίους, καὶ φανερῶς ἐγκώμιον δεικνύντος ἐφ' οἷς ἄξιός ἐστι τοῦ στεφάνου, καὶ τὸ δόγμα, ὡς ἐν λόγῳ δικανικῷ καὶ πολιτικῷ, ὁποῖον εἶναι τὸν πολιτικὸν ἄνδρα καὶ σύμβουλον ἀγαθὸν δεῖ. λέγει γοῦν αὐτὸς ἐν τῷ λόγῳ σαφῶς· „ταῦτα καὶ τοιαῦτα πράττειν, „Αἰσχίνη, τὸν καλὸν κἀγαθὸν πολίτην [δεῖ]."

9. Ταῦτα μὲν δή σοι παρὰ Δημοσθένους καὶ

Digitized by Google

Πλάτωνος. ἀλλὰ καὶ Θουκυδίδης δύο ἐπιθέσεις συμπλέκει, ἐν τῷ ἐπιγραφομένῳ Ἐπιταφίῳ. τῆς μὲν γὰρ ἐγκωμιαστικῆς ἰδέας ἐστὶν ὁ ἐπιτάφιος, συμπλέκεται δ' ἰδέα συμβουλευτική. δὺ γὰρ μᾶλλον ἐπαινεῖ τοὺς τεθνεῶτας, ἢ τοὺς ζῶντας ἐπὶ τὸν πόλεμον παρακαλεῖ. τοῦτο μέντοι ἀναγκαίως ποιεῖ. ὁ γὰρ λέγων ἐστὶ τὸν ἐπιτάφιον Περικλῆς, ἀνὴρ τοῦ πολέμου αἴτιος. ἔτι μέντοι τριῶν ὄντων κεφαλαίων τοῦ ἐπιταφίου, ἐπαίνου, θρήνου, παραμυθίας, τὸ ἓν τῶν κεφαλαίων ὑπερβαίνει, τὸν θρῆνον· οὐ γὰρ συνέφερε τῷ συμβουλευτικῷ, οὐδὲ τῇ προτροπῇ, τὸ θρηνεῖν, ὡς φησιν αὐτὸς ὁ Θουκυδίδης, λέγων ὧδε· „Διόπερ καὶ τοὺς τῶνδε νῦν το„κέας, ὅσοι πάρεστε, οὐκ ὀλοφύρομαι μᾶλλον, ἢ „παραμυθήσομαι.“ ποιεῖ δὲ τοῦτ' ἀναγκαίως· ἐπειδὴ ἀρχομένου τοῦ πολέμου τὸν λόγον ποιεῖται· ὡς εἰ ἐθρήνησε τοὺς πρώτους ἀποθανόντας, ἀθύμους ἂν ἐποίησε τοὺς μέλλοντας πολεμεῖν. αὕτη μὲν δὴ τῆς διπλῆς ὑποθέσεως ἡ χρεία. πῶς δ' ἔμιξε τὰς κατασκευάς, καὶ πῶς μίξας αὐτὸς ὁμολογεῖ, φέρε θεασώμεθα. ἡ γὰρ κρῆσίς ἐστιν ἡ τέχνη τοῦ σχήματος ἐν τοῖς λόγοις. κεφάλαιόν ἐστι τοῦ ἐγκωμίου, ὁ ταῦ γένους λόγος. οἱ οὖν προτρέποντες εἰς τοὺς πολέμους, τὰ τῶν προγόνων ἔργα διεξιόντες, παροξύνουσι τοὺς ἀκούοντας. οὕτω συνετέλεσεν ὁ ἔπαινος τοῦ γένους εἰς τὴν συμβουλήν. πάλιν αὖ κεφάλαιόν ἐστιν ἐν τοῖς ἐγκωμίοις ἡ παραβολή, τὸ παρεξετάζειν τοὺς ἐπαίνους ἑτέροις τοῖς εὐδοκιμοῦσιν. ἀλλὰ μὴν ἐν τοῖς συμβουλευτικοῖς λόγοις, ὅτι

Digitized by Google

ῥᾴδιος ὁ πόλεμός ἐστιν, ἐκ τοῦ παραβαλλεῖν τὰ τῶν οἰκείων τοῖς τῶν ἐναντίων ἀποδείκνυται, χρώμενος οὖν τῷ τῆς παραβολῆς λόγῳ, καὶ τὸ ἐγκώμιον ὁμοῦ καὶ τὴν συμβουλὴν περαίνει. τοῦτο γὰρ ὑπέστη μὲν ἀποδείξειν ἀρχόμενος τοῦ λόγου· ἐπὶ τέλει δὲ βεβαιούμενος, ὅπου καὶ ἐναλλάττει τὴν τάξιν τῶν κεφαλαίων, καὶ δείκνυσιν, ὅτι πρεσβύτερον ἦν τῷ ῥήτορι τὸ τῆς συμβουλῆς τοῦ ἐγκωμιαστικοῦ λόγου. λέγει δὲ ὧδε· „Ἀπὸ οἵας τ' ἐπιτηδεύσεως ἦλθον ἐπ' „αὐτὰ, καὶ τρόπων ἐξ ὧν μεγάλα ἐγένετο, ταῦτα „δηλώσας πρῶτον, εἶμι καὶ ἐπὶ τὸν τῶνδε ἔπαινον, „νομίζων, ἐπί τε τῷ παρόντι οὐκ ἂν ἁπρεπῆ λεχθῆ„ναι δεῖν αὐτὰ, καὶ τὸν πάντα ὅμιλον, καὶ ἀστῶν „καὶ ξένων, σύμφορον εἶναι ἐπακοῦσαι αὐτῶν." Ταῦτα μὲν ἐπ' ἀρχῇ· προϊόντος δὲ τοῦ λόγου, ἀποδείξας καὶ περάνας, ἐπάγει λέγων· „Καὶ εἰ ἐμή„κυνα τὰ περὶ τῆς πόλεως, διδασκαλίαν τε ποιού„μενος, μὴ περὶ ἴσου ἡμῖν εἶναι τὸν ἀγῶνα, καὶ „οἷς τῶνδε μηδὲν ὑπάρχει, καὶ τὴν εὐλογίαν ἅμα „ἐφ' οἷς νῦν λέγω φανερὰν σημείοις καθαστάς." τὸ γὰρ· „Ἐπί τε τῷ παρόντι οὐκ ἂν ἁπρεπῆ λεχθῆναι „αὐτὰ·" τῆς ἐγκωμιαστικῆς ἰδέας ἐστίν. τὸ γὰρ κεφάλαιον ἐγκωμίου τόδε. „Καὶ τὸν πάντα ὅμιλον, „καὶ ἀστῶν καὶ ξένων, σύμφορον εἶναι ἐπακοῦσαι „αὐτῶν," τῆς συμβουλευτικῆς ἰδέας ἐστί· κυριώτατον γὰρ ἐν συμβουλῇ κεφάλαιον τὸ συμφέρον. „Διδασκαλίαν ποιούμενος μὴ περὶ ἴσου ἡμῖν εἶναι „τὸν ἀγῶνα, καὶ οἷς τῶνδε μηδὲν ὑπάρχει," τῆς συμβουλῆς ἀπόδειξιν ἔχει. τὸ δὲ· „Τὴν εὐλογίαν

Digitized by Google

„ἅμα ἐφ' οἷς νῦν λέγω φανερὰν σημείοις καθι-
„στάς·" τοῦ ἐγκωμίου δείκνυσι τὴν ἰσχύν· τὴν δὲ
κρῖσιν αὐτῶν τὸ „Ἅμα" δηλοῖ. ταῦτά σοι καὶ
παρὰ Θουκυδίδου.

10. Ἀλλὰ καὶ Εὐριπίδης ὁ ποιητὴς ἐν ὅλῳ δρά-
ματι λόγον ἐσχηματισμένον περαίνει, ἐν τῇ Με-
λανίππῃ τῇ σοφῇ. κἀκεῖ δὲ τὸ σχῆμα διπλοῦν, τὸ
μὲν αὐτοῦ τοῦ ποιητοῦ· τὸ δὲ τοῦ ὑποκειμένου
προσώπου τῆς Μελανίππης. συγγέγονεν Ἀναξαγό-
ρᾳ ὁ Εὐριπίδης· δόγμα δ' ἦν Ἀναξαγόρου, τὸ
„Ὁμοῦ πάντα χρήματα." μετὰ ταῦτά συγγενόμε-
νος Σωκράτει, καὶ κρείττονος λόγου μετασχών,
ἀξιώσας, ὡς ἐμοὶ δοκεῖ, καὶ τὸν Ἀναξαγόρου λόγον
μνήμης ἐν τοῖς δράμασιν, ἐξήγαγεν αὐτὸ τὸ δόγμα
ἐν τῇ Μελανίππῃ τῇ σοφῇ. ἡ γοῦν ἀρχὴ τοῦ λόγου
αὐτῷ αἰνίττεται τὴν πρὸς τὸν διδάσκαλον εὔνοιαν·
φησὶ γὰρ ἡ Μελανίππη·

Καὶ οὐκ ἐμὸς ὁ μῦθος, ἀλλ' ἐμῆς μητρὸς πάρα.
[ὡς οὐρανός τε γαῖά τ' ἦν μορφὴ μία.]

ὁ μὲν Εὐριπίδου σχηματισμὸς οὗτος· ὁ δὲ τῆς Με-
λανίππης, ἥτις τὰ παιδία ἐξέθηκεν εἰς τὰ τοῦ
πατρὸς βουφόρβια. ὁ δὲ πατὴρ, οἰόμενος εἶναι
τοῦτο τέρας, γνώμην ποιεῖται κατακαῦσαι τὰ παι-
δία· ἡ δὲ, σῶσαι βουλομένη τὰ τέκνα, ὅτι μηδέν
ἐστι τὸ τέρας, φιλοσοφεῖ. καὶ οὕτω τὴν αὐτῆς
χρείαν διοικεῖται ἐν παραινέσεως σχήματι φιλοσο-
φοῦσα.

11. Ἡ δέ γε κωμῳδία ὅτι πολιτεύεται ἐν τοῖς
δράμασι καὶ φιλοσοφεῖ, ἡ τῶν περὶ τὸν Κρατῖνον καὶ

Digitized by Google

Ἀριστοφάνην καὶ Κύπολιν, τί δεῖ καὶ λέγειν; ἡ γάρ τοι κωμῳδία αὐτὴ, τὸ γελοῖον προστησαμένη, φιλοσοφεῖ. Ξενοφῶν δὲ ὁ καλὸς, ὡς ἐν τῇ Παιδείᾳ βουλόμενος τοὺς ἐκ τοῦ δήμου τῶν Περσῶν ὁμοσκεύους ποιῆσαι τοῖς ὁμοτίμοις, καὶ πάλιν βουλόμενος κοινὸν ἀγῶνα ἀρετῆς τοῖς ἄριστα στρατευσαμένοις προθεῖναι, τοῖς δὲ ὁμοτίμοις διαλεγόμενος ἐν Κύρου λόγῳ, ὡς αὐτοῖς χαριζόμενος, καὶ τοῖς δημοτικοῖς, ὡς ἐκείνων προνοούμενος ἐν ἑκατέρῳ τῷ λόγῳ, παρίημι λέγειν. ἐν δὲ τῇ Ἀναβάσει ὑποπτεύουσι μὲν οἱ στρατιῶται, ὡς ἐπὶ βασιλέα ὁ στόλος ἐστὶ, καὶ οὐκ ἔτι ἕπεσθαι Κύρῳ βούλονται. ὁ δὲ Κλέαρχος ἐν τοῖς στρατιώταις δημηγορεῖ, ὑπισχνούμενος μὲν ἕψεσθαι τοῖς στρατιώταις πανταχόσε, ἐν δὲ τῷ λόγῳ κατασκευάζων τὸ ἀναγκαῖον εἶναι μένειν, μιμούμενος τὸν Ὁμήρου Φοίνικα. καὶ γὰρ ἐκεῖνος ἐν ταῖς λιταῖς προτείνεται τὴν ὑπόθεσιν τῶν λόγων τοῦ Ἀχιλλέως, ὡς οὐ δυνατὸν αὐτῷ μένειν, ἂν ἐκεῖνος ἀπείη, ἀλλὰ πάντως ἕψόμενος τῷ Ἀχιλλεῖ. τὰς δ' αἰτίας λέγων, δι' ἃς οὐκ ἂν ἀπολειφθείη τοῦ Ἀχιλλέως, ὅτι χρὴ μένειν τὸν Ἀχιλλέα, κατασκευάζει· τῷ μὲν δοκεῖν δεικνὺς, καθ' ἃς προφάσεις οὐ μενετέον αὐτῷ, ἔργῳ δ' ἀπαιτῶν τὰς χάριτας, ἃς εἰς τὸν Ἀχιλλέα κατέθετο, θρέψας καὶ παιδεύσας, Ἀγαμέμνονι δὲ χάριν φέρων τῷ λόγῳ. καὶ ὅτι ταῦτα διανοούμενος, τὸ σχῆμα τῶν λόγων ἐποιήσατο, αὐτὸς Ἀχιλλεὺς ἐπεκδιδάσκει. ὅπερ Ὁμήρῳ ἔθος· καὶ ὅστις ἄλλος μετεχειρίσατο τὸ εἶδος τοῦτο, παρ' Ὁμήρου μαθὼν τοῦτο ποιεῖ, τὸ ἐν ταῖς τῶν ἀποκρι-

Digitized by Google

μένων ῥήσεσι τῶν προειπόντων τὰς τέχνας διδάσκειν. λέγει τοίνυν ὁ Ἀχιλλεύς·

Μή μοι σύγχει θυμὸν ὀδυρόμενος καὶ ἀχεύων,
Ἀτρεΐδη ἥρωϊ φέρων χάριν. —

ὁρᾷς, ὡς τὴν τέχνην ὁ μαθητὴς τοῦ διδασκάλου ἀπεκάλυψε, δεικνὺς, ὅτι συνῆκεν, ὃν πάντα εἰς χάριν Ἀγαμέμνονος λέγεται, καὶ ἐπὶ τῷ τὸν θυμὸν μαλάξαι τοῦ Ἀχιλλέως. εἶτ' ἐπειδὴ χάριτας αὐτῷ κατελογίσατο ὁ Φοίνιξ, ἵνα μὴ δοκοίη ἀχάριστος εἶναι καὶ αὐτὸς, πλαγίως ἀπολύεται τὴν αἰτίαν.

Ἶσον ἐμοὶ βασίλευε, καὶ ἥμισυ μείρεο τιμῆς.

12. Ταῦτα μὲν τὰ παραδείγματα ἕτερα προτείνοντος τοῦ ῥήτορος. ὑπολείπεται δὲ ἡμῖν ὁ λόγος ὁ περὶ τῶν τὰ ἐναντία λεγόντων οἷς βούλονται· ἐπειδὴ οὗτος ὁ λόγος τὸ τελειότατον σχῆμά ἐστι. πρότερον δείξωμεν παρὰ Ὁμήρῳ, καὶ ἄλλα σχήματα ὑποθώμεθα. ἦν δὲ τάδε, τὸ δοκεῖν τὰ αὐτὰ λέγοντα, ἑτέραν ὑπόθεσιν περαίνειν, καὶ δοκεῖν ἐναντιούμενον, ὡς ἐν ἑτέρῳ λόγῳ τὰς τῶν ἐσχηματισμένων ἀγώνων κατασκευὰς ποιησάμενον, ἀναβολῇ τὸ σχῆμα παραδοῦναι. τούτων τοίνυν τὰ παράδειγματα τὰ ἐν τῷ δευτέρῳ τῆς Ἰλιάδος, ὅτε κατέχουσι τὸ Ἑλληνικὸν ὅ τ' Ὀδυσσεὺς καὶ Νέστωρ, δοκοῦσι μὲν ἀμφότεροι εἰς τὴν αὐτὴν ὑπόθεσιν λέγειν, οὐ μόνον γε, ἀλλὰ καὶ τὰ αὐτὰ λέγειν·

Ὥστε γὰρ ἢ παῖδες νεαροὶ, χῆραί τε γυναῖκες
Ἀλλήλοισιν ὀδύρονται οἶκόνδε νέεσθαι.

ταῦτα μὲν Ὀδυσσεύς· ὁ δέ γε Νέστωρ·

Digitized by Google

Ὦ τόποι, ἦ δὴ παισὶν ἐοικότες ἀγοράασθε
Νηπιάχοις, οἷς οὔ τι μέλει πολεμήϊα ἔργα.

πάλιν Ὀδυσσεύς·

Οὐ δέ τοι ἐκτελέουσιν ὑπόσχεσιν, ἣν περ ὑπέσταν,
Ἐνθάδ' ἔτι στείχοντες ἀπ' Ἄργεος ἱπποβότοιο.

εἶτα ὁ Νέστωρ·

Ἐν πυρὶ δὴ βουλαί τε γενοίατο, μήδεά τ' ἀνδρῶν.

καὶ πάλιν Ὀδυσσεὺς τὴν Κάλχαντος μαντείαν λέγει, καὶ τὸ τέρας τὸ περὶ τὸν δράκοντα, καὶ τὰ τῆς στρουθοῦ τέκνα.

ὁ δέ γε Νέστωρ·

Φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα.

καὶ λέγει τὰ οὐράνια σημεῖα καὶ τὰς δεξιὰς ἀστραπάς. ὅθεν καὶ παρέσχητο τοῖς πολλοῖς ζήτησις, πότερος ἀμείνων ὁ ῥήτωρ ἐν τοῖς λόγοις τούτοις, Ὀδυσσεὺς, ἢ Νέστωρ· καὶ μαρτύρονταί γε τὸν Ὅμηρον ἑκάτεροι λέγοντα, ὃς τὸν μὲν Ὀδυσσέα ἐπῄνεσε τὸ πλῆθος, τὸν δὲ Νέστορα ὁ Ἀγαμέμνων· οἱ μὲν

Μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο·

ὁ δ' εἰπών·

Τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν.

καὶ ἄλλην πολλὴν φλυαρίαν περὶ τὴν παραβολὴν τῶν λόγων φλυαροῦσι. τόδ' ἦν ἄρα τέχνη· τοσοῦτον γὰρ ἀπέχουσι τοῦ ταὐτὰ λέγειν, ὥστ' οὐδ' εἰς τὴν αὐτὴν ὑπόθεσιν λέγουσι. σόφισμα δὲ τοῦτό ἐστι καὶ πάλαισμα τῶν ἀκουόντων. τί τοῦτο τὸ σόφισμα;

Digitized by Google

ὁ μὲν Ὀδυσσεὺς κατασχεῖν βούλεται τοὺς Ἕλληνας ὡρμημένους ἀπιέναι· ὁ δὲ Νέστωρ κατεσχημένους ὑπὸ τοῦ Ὀδυσσέως καὶ μένοντας ἐκστρατεῦσαι βούλεται καταὶ πάντε ἑκάστους ὑπὸ τῷ οἰκείῳ ἡγεμόνι· καὶ ἔστιν αὐτῷ ἡ τῶν λόγων ὑπόθεσις οὐχ ἧπερ τῷ Ὀδυσσεῖ· γελοῖος γὰρ ἂν ἦν πεπεισμένοις ἔτι διαλεγόμενος. ἀλλὰ τίς ἡ ὑπόθεσις τοῦ Νέστορος;

Κρῖν' ἄνδρας κατὰ φῦλα, κατὰ φρήτρας, Ἀγάμεμνον·

Ὡς φρήτρη φρήτρῃφιν ἀρήγει, φῦλα δὲ φύλοις. καὶ τὰ τούτοις ἑφεξῆς εἰρημένα. διὰ τοῦτο καὶ πάνυ ἀρέσκει τῷ Ἀγαμέμνονι ὁ λόγος ὁ Νέστορος. ὃ γὰρ Νέστωρ, ὃ μάλιστα βούλεται ὁ Ἀγαμέμνων, τοῦτο περαίνει. βούλεται δ' ἐκστρατεῦσαι τοὺς Ἕλληνας· διὸ καὶ τὴν ἀπόπειραν πεποίηται·

Ἀλλ' ἄγετ', αἴκέν πως θωρήξομεν υἷας Ἀχαιῶν.

διὰ τοῦτο ἐπαινεῖ τὸν Νέστορα, βουλόμενος πάντα τοὺς ἡγεμόνας καὶ τὸν δῆμον τῶν στρατιωτῶν ὁμοίως ὁμογνώμονας αὐτῷ γενέσθαι, λέγων·

Τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν.

ἔνθα δὴ καὶ παραμυθούμενος τοὺς Ἕλληνας ὑπὲρ Ἀχιλλέως ἀγανακτοῦντας, ὁμολογίαν ἤδη ποιεῖται τοῦ ἁμαρτήματος, ἐπάγων τάδε τὰ ἔπη·

Καὶ γὰρ ἐγὼν Ἀχιλεύς τε μαχησάμεθ' εἵνεκα κούρης
Ἀντιβίοις ἐπέεσσιν· ἐγὼ δ' ἦρχον χαλεπαίνων.
Εἰ δέ ποτ' ἐς γε μίαν βουλεύσομεν, οὐκέτ' ἔπειτα
Τρωσὶν ἀνάβλησις κακοῦ ἔσσεται, οὐδ' ἠβαιόν.

Digitized by Google

αὕτη οὖν ἡ τέχνη· ἐπειδὴ κατεσχημένους ὁρᾷ τοὺς Ἕλληνας ὑπὸ τοῦ Ὀδυσσέως, μέλλει δὲ ἕτερον ἐπάξειν λόγον, τὸν τοῦ, πῶς δεῖ στρατεύεσθαι ἑκάστους, διὰ τῶν πεπεικότων ἤδη λόγων πορεύεται, ἵνα, δεξαμένων τῶν ἀκροατῶν, ἃ ἐπῄνεσαν, λάθῃ ἐπαγαγὼν τὴν ἰδίαν ὑπόθεσιν. τοῦτο μὲν τὸ παράδειγμα τοῦ τὰ δοκοῦντα ἑτέρῳ λέγειν, ἕτερα ἀγωνίζεσθαι.

13. Ὁ δὲ Διομήδης τί ποτ' αὐτῷ βούλεται, ἀθυμοῦντι τῷ Ἀγαμέμνονι λοιδορούμενος ἀκαίρως, ὡς ἄν τις οἰηθείη καὶ ἀσυμφώνως τῇ αὐτοῦ γνώμῃ καὶ ἀνακολούθως τῇ τοῦ προοιμίου θεραπείᾳ;

Ἀτρεΐδη, σοὶ πρῶτα μαχήσομαι ἀφραδέοντι,
Ἥ θέμις ἐστὶν ἄνακτ' ἀγορῇ· σὺ δὲ μή τι χολωθῇς.

τὸ μὲν προοίμιον ἀνδρὸς πράου, τὴν μέλλουσαν παρρησίαν ὡς ἐπὶ συμφέροντι γενησομένην παραμυθουμένου· ἃ δ' ἐπιφέρει·

Ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας ἐν Δαναοῖσι,
Φὰς ἔμεν ἀπτόλεμον καὶ ἀνάλκιδα. ταῦτα δὲ πάντα
Ἴσασ' Ἀργείων ἠμὲν νέοι, ἠδὲ γέροντες.
Σοὶ δὲ διάνδιχ' ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω.
Σκήπτρῳ μέν τοι δῶκε τετιμῆσθαι περὶ πάντων·
Ἀλκὴν δ' οὔ τοι δῶκεν, ὅ τε κράτος ἐστὶ μέγιστον.

πῶς οὖν ταῦτα ἂν ἀλλήλοις συνᾴδοιτο, αἰτιῶντι μνησικακεῖν τῷ Ἀγαμέμνονι τὸν Διομήδην. καὶ ὅτε

Digitized by Google

μὲν ὠνείδισε, πρέπον ἐνεγκεῖν, καὶ τῷ χαλεπαίνοντι Σθενέλῳ ἐπιτιμῆσαι;

Τέττα, σιωπῇ ἧσο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ·

Οὐ γὰρ ἐγὼ νεμεσάω Ἀγαμέμνονι, ποιμένι λαῶν ἐνταῦθα. δ' ἀπομνημονεύειν; εἰ γάρ τις φαίη, διὰ τὸ ἠριστευκέναι τὸν Διομήδην ταῦτα ποιεῖν, ἀποφαίνει τὸν ἄνδρα ἀπαίδευτον, οὐ μετρίως τῇ εὐτυχίᾳ χρώμενον. ἀλλὰ τί ταῦτά ἐστι; αὐτὴ ἡ κατηγορία Ἀγαμέμνονος μεγίστη παρὰ τοῦ Διομήδους τῷ βασιλεῖ συνηγορία ἐστί. βουλόμενος γὰρ αὐτῷ βοηθῆσαι καὶ παυσχεῖν τοὺς Ἕλληνας, ἐν προσποιήσει τῆς πρὸς αὐτὸν ὀργῆς καὶ παῤῥησίας ἀναμένειν παραινεῖ, καὶ ὡς ἀγανακτῶν, εἰ αἴτιος ὁ Ἀγαμέμνων τοὺς Ἕλληνας πεισθήσεσθαι ἀποπλεῖν, ταῦτα πρὸς αὐτὸν παῤῥησιάζεται, ἐπιφέρων ταῖς λοιδορίαις τὴν ἔντεχνον ὑπόθεσιν·

Δαιμόνι', οὕτω που μέλα ἔλπεαι υἷας Ἀχαιῶν
Ἀπτολέμους τ' ἔμεναι καὶ ἀνάλκιδας, ὡς ἀγορεύεις;
καὶ ὅσα ἐξῆς ἐπιλέγει, τὸν Ἀγαμέμνονα κελεύων, εἰ βούλεται, ἀποπλεῖν, τοὺς δὲ Ἕλληνας οὐκ ἀνασχέσθαι ἀπελθεῖν φάσκων· ἐπὶ τέλει δὲ νεανικῶς πάνυ ἐπαπειλῶν·

— εἰ δὲ καὶ αὐτοί,
Φευγόντων —
Νῶϊ δ', ἐγὼ Σθένελός τε, μαχησόμεθ', εἰσόκε τέκμωρ
Ἰλίου εὕρωμεν· σὺν γὰρ θεῷ εἰλήλουθμεν.

τοῦτό τοι τὸ παράδειγμα τοῦ κατηγοροῦντα συναγορεύειν, ἐσχηματισμένῳ τῷ λόγῳ χρώμενον.

Digitized by Google

14. Ὁ δὲ Νέστωρ, διαδεξάμενος τὸν λόγον παρὰ τοῦ Διομήδους, τί ποιεῖ θεασώμεθα, καὶ τῶν λόγων τὴν τέχνην ἐξετάσωμεν· πρότερον τὴν ἀτοπίαν, ἂν ἁπλῶς ἢ λεγόμενος ὁ λόγος, καταμαθόντες. ἐπαινεῖ μὲν γὰρ τὸν Διομήδην τῶν εἰρημένων· ἐπαινέσας δὲ αὖ φησι πάντα ἐκτελέσαι τὸν λόγον, καὶ τοῦ μὴ ἐκτελέσαι τὰ ῥητέα, τὴν ἡλικίαν αἰτιᾶται. ὑπισχνεῖται δ' αὐτὸς ἐρεῖν καὶ πάντα διεξελεύσεσθαι· εἶτα μακρὰ προοιμιασάμενος καὶ ἐπανατεινάμενος, λόγους τινὰς θαυμαστοὺς ὡς ἐρῶν, τοὺς μὲν φύλακας ἐκπέμπει ἐπὶ τὴν φυλακήν, τῷ δ' Ἀγαμέμνονι συμβουλεύει ταῦτα παρασκευάζειν τοῖς γέρουσι· κἀκεῖ φησι, πολλῶν λεγόντων, τὰ παρὰ τοῦ ἄριστα λέγοντος αἱρήσεσθαι τὸν Ἀγαμέμνονα. ταῦτα οὕτωσὶ μὲν ἀκοῦσαι ἄτοπά ἐστιν. ἀλλ' εἰδέναι χρὴ, ὅτι Νέστωρ καὶ αὐτὸς σχηματίζει, καὶ δέχεται μὲν τὰ παρὰ τοῦ Διομήδους εἰρημένα, οὐχ ᾗ γνώμῃ Διομήδης εἶπεν, ἀλλ' ὡς αὐτῷ συμφέρει πρὸς τὸν λόγον. ὁ γὰρ Διομήδης, χαριζόμενος τῷ Ἀγαμέμνονι, ἐπέπληξεν αὐτῷ· ὁ δ' ἐπῄνεσεν αὐτοῦ τὴν παῤῥησίαν, ὡς καλῶς αὐτὸν λοιδορησάμενον τῷ Ἀγαμέμνονι. τί οὖν τοῦτο βούλεται; παρασκευάσαι βούλεται τὸν Ἀγαμέμνονα ἱκετεῦσαι τὸν Ἀχιλλέα, καὶ διὰ τοῦτο ἀποδέχεται τοῦ νεανίσκου τὴν εἰς τὸν βασιλέα παῤῥησίαν.

— ἀτὰρ οὐ τέλος ἴκεο μύθων, φησίν·
Ἦ μὴν καὶ νέος ἐσσι, —
— ἀτὰρ πεπνυμένα βάζεις
Ἀργείων βασιλῆϊ —

Digitized by Google

Ἀλλ' ἄγ', ἐγών, ὃς σεῖο γεραίτερος εὔχομαι εἶνα,
Ἔξειπω καὶ πάντα διΐξομαι. —

τήρει καὶ τὰ ὀνόματα· τὸ γὰρ „Ἔξειπω" ὥσπερ ἀποῤῥήτου λόγου ἐξαγόρευσιν ἔχει.

— οὐδέ κε τίς μοι
Μῦθον ἀτιμήσει, οὐδὲ κρείων Ἀγαμέμνων.

εἶτα πάλιν ἐπάγει τὸ σχῆμα, ὡς διὰ κοινοῦ δόγματος καθαπτόμενος τοῦ Ἀγαμέμνονος:

Ἄφρητωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,
Ὅς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.

εἶτα δείξας τῷ Ἀχαμέμνονι τὴν ὁρμὴν τοῦ λόγου, τὸ μὲν ἀποκαλύπτειν τὸν λόγον καὶ σαφῶς ἐλέγχειν αὐτὸν παρίησιν· ἀποπέμπεται δὲ τοὺς νεωτέρους, ὡς ἂν μὴ αἰσχύνοιτο ὁ Ἀγαμέμνων ἐκείνων ἀκουόντων ἐλεγχόμενος·

Ἀλλ' ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ,
Δόρπα τ' ἐφοπλισόμεσθα· φυλακτῆρες δὲ ἕκαστοι
Λεξάσθων παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός.

εἶτ' ἀποπέμψας τοὺς νέους, ἰδίαν σύνοδον πρὸς τὴν παῤῥησίαν αὐτῷ μηχανᾶται φέρων·

Κούροισιν μὲν ταῦτ' ἐπιτέλλομαι· αὐτὰρ ἔπειτα,
Ἀτρεΐδη, σὺ μὲν ἄρχε· σὺ γὰρ βασιλεύτερος ἐσσί·
Δαίνυ δαῖτα γέρουσιν· ἔοικέ τοι οὔ τι ἀεικές.
Πολλῶν δ' ἀγρομένων τῷ πείσεαι, ὅττι κε θυμὸς
Βουλὴν βουλεύσῃ. —

εἶτ' ἀναβαλλόμενος, ὡς εἰς τοῦτ' ἐρῶν πάλιν, ὑπαινίττεται, καὶ τὰς ἀνάγκας τοῦ ἱκετεῦσαι δεῖν

Digitized by Google

τὸν Ἀχιλλέα, ἐπάγει βιαίως πρὸς τὸν Ἀγαμέμνονα λέγων·

— μάλα δὲ χρεὼ πάντας Ἀχαιοὺς
Ἠσθλῆς καὶ πυκινῆς, ὅτι δὴϊοι ἐγγύθι νηῶν
Καίουσι πυρὰ πολλά, τίς ἂν τάδε γηθήσειε;

καὶ ἐπάγει τὴν ἀνάγκην τῆς ἱκετείας, ὡς οὐδ' εἰς ἀναβολὰς δέον αὐτὴν, ἀλλ' ἤδη γενέσθαι·

Νὺξ δ' ἦδ' ἠὲ διαρρήσεται στρατὸν, ἠὲ σαώσει.

ταῦτ' εἰπὼν ἐν κοινῷ· ἐπειδὰν δὲ καθ' αἵτινας οἱ γέροντες γένωνται, ὥσπερ ἀποδείξας καὶ οὐ διόμενος μαχῶν λέγων, ἀποκαλύπτει τὸ σχῆμα φανερῶς λέγων·

Οὐ γάρ τις νόον ἄλλον ἀμείνονα τοῦδε νοήσει.
Οἷον ἐγὼ νοέω, ἠμὲν πάλαι, ἠδ' ἔτι καὶ νῦν,
Ἐξέτι τοῦ, ὅτε διογενεὺς Βρισηΐδα κούρην
Χωομένου Ἀχιλῆος ἔβης κλισίηθεν ἀπούρας,
Οὔ τι καθ' ἡμέτερόν γε νόον· μάλα γάρ τοι ἔγωγε
Πολλὰ ἀπεμυθεόμην· σὺ δὲ σῷ μεγαλήτορι θυμῷ
Εἶξας, ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν,
Ἠτίμησας· ἑλὼν γάρ ἔχεις γέρας —

εἶτ' ἐπάγει·

— ἀλλ' ἔτι καὶ νῦν
Φραζώμεσθ', ὡς κέν μιν ἀρεσσάμενοι πεπίθοιμεν
Δώροισίν τ' ἀγανοῖσιν, ἔπεσί τε μειλιχίοισιν.

Digitized by Google

καὶ πείθεται τούτοις ὁ Ἀγαμέμνων, οὗτός σοι ὁ τρόπος τοῦ καὶ ὡς ἀναβαλλόμενον ἐρεῖν, ἤδη λέγειν τὸν ἐσχηματισμένον λόγον.

15. Ἐπανέλθωμεν ἐπὶ τὸν ὑπόλοιπον λόγον τὸν περὶ τῶν τὰ ἐναντία λεγόντων, καὶ τὰ ἐναντία βουλομένων οἷς λέγουσι. τούτου τοίνυν τοῦ λόγου παράδειγμα ὁ τοῦ Ὁμήρου ἐστὶν Ἀγαμέμνων, ἐν τῇ ἀποπείρᾳ τῶν Ἑλλήνων τὸ εἶδος τῶν λόγων ἡμῖν παραδοὺς, καὶ πρῶτον μὲν προτείνας τὴν ὑπόθεσιν·

Ἀλλ' ἄγετ' αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν·
Πρῶτα δ' ἐγὼν ἔπεσιν πειρήσομαι, ἣ θέμις ἐστὶ,
Καὶ φεύγειν σὺν νηυσὶ πολυκληῖσι κελεύσω·
Ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν.

ἐπάγει τὴν τέχνην, ἐν τῇ δημηγορίᾳ ἀσθενεῖς προτάσεις προτείνων, καὶ λαβὰς ἀντιλογίας διδοὺς τῷ βουλομένῳ ἐναντιοῦσθαι, καὶ στρεφόμενα λέγων. εἴδωμεν δ' αὐτὰ τὰ ἔπη·

Ζεὺς μὲ μέγας Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ
Σχέτλιος· ὃς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσεν
Ἴλιον ἐκπέρσαντ' εὐτείχεον ἀπονέεσθαι.

ἔχοι τις ἂν ἀντειπεῖν πρὸς τὸν Ἀγαμέμνονα· εἰ τοίνυν ὑπέσχετο καὶ κατένευσεν, ὅπερ ἐστὶ μέγιστον σημεῖον τοῦ ἀψευδεῖν τὸν Δία, ὡς αὐτὸς ὁ Ζεὺς ὁ Ὁμήρου λέγει·

Εἰ δ' ἄγε τοι κεφαλῇ κατανεύσομαι, ὄφρα πεποίθῃς·
Τοῦτό γὰρ ἐξ ἐμέθεν γε μετ' ἀθανάτοισι μέγιστον

Digitized by Google

Τίμων. οὐ γὰρ ἐμὸν παλινάγρετον. οὐδ' ἀπατηλὸν,
Οὐδ' ἀτελεύτητόν γ' ὅτι κεν κεφαλῇ κατανεύσω.

εἰ τοίνυν ὁ Ζεὺς ὑπέσχετό σοι, καὶ κατένευσε, πῶς ἀξιοῖς ἀποπλεῖν; εἶτα πάλιν ἐπάγει·

Νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει

Δυσκλέα Ἄργος ἰκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν. πάλιν ἀντιλαβὴν δίδουσιν ἐν τῷ ,, Δυσκλέα·" δικαίως γάρ ἄν τις ἀντείποι πρὸς αὐτόν; ὅτι οὐ χρὴ αἰσχρῶς ἀπαλλάττεσθαι. εἶτα ἐξῆς λέγει·

Οὕτω που Διὶ μέλλει ὑπερμενεῖ φίλον —

τὴν φωνὴν αὐτὴν, ὅτι στοχασμὸν ἔχει, οὐκ ἀπόφασιν σαφῆ. εἶτ' ἐφεξῆς·

Ὅς δὴ πολλάων πολίων κατέλυσε κάρηνα,
Ἠδ' ἔτι καὶ λύσει —

πάλιν εἴποι τις ἂν πρὸς αὐτόν. Εἰ τοίνυν κατέλυσε πόλεις, καὶ καταλύσει· πιστευτέον τῷ Διΐ, καὶ μενετέον. Τὸ δ' ἐφεξῆς θαυμασίως στρεφόμενόν ἐστιν, ᾧ χρῆται καὶ ὁ ἀντιλέγων·

Αἰσχρὸν γὰρ τόδε γ' ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι,
Μάψ οὕτω τοσσόνδε τοσόνδε τε λαὸν Ἀχαιῶν
Ἄπρηκτον πόλεμον πολεμίζειν, ἠδὲ μάχεσθαι.

αὐτὸ γὰρ τοῦτο τὸ αἰσχρὸν ὃ μένειν ἀξιῶν προτείνει, καὶ ταῦτ' αὐτὰ Ὀδυσσεύς λέγει. τὸ δὲ τέλος τῶν λόγων ἰσχυρῶς ἐναντία βουλομένου ἐστὶν οἷς λέγει·

Digitized by Google

Ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες,
Φεύγωμεν αὖν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν.

τὸ γὰρ αἰσχρὸν τοῦ ὀνόματος κατέχει μᾶλλον, ἢ ἀποπέμπει τοὺς Ἕλληνας. τούτῳ γέ τοι τῷ ὀνόματι καὶ Ἥρα πρὸς τὴν Ἀθηνᾶν χρῆται, τούτῳ ἡ Ἀθηνᾶ πρὸς τὸν Ὀδυσσέα, τούτῳ Ὀδυσσεὺς πρὸς τὸ πλῆθος, καὶ ὁ Ἀγαμέμνων πρὸς τὸν Ἀχιλλέα τούτῳ κέχρηται, καὶ ὅλως Ὅμηρος πανταχοῦ τὸ τῆς φυγῆς ὄνομα ἐπ' αἰσχροῦ καὶ θεμιτίας τάττει. οὕτω μὲν δὴ καὶ ἐνδόσιμα καὶ εὐδιάλυτα προτείνει, καὶ στρεφόμενα καὶ ἐναντία λέγει.

16. Δοιπὸς δὲ ἡμῖν ἐστι λόγος τοῦ λανθάνειν ἡ τέχνη. τίς οὖν ἡ τέχνη; ἡ τοῦ ἤθους προσθήκη. ὡς γὰρ σχετλιάζων τοὺς λόγους ποιεῖται, καὶ ἤρξατο ἀπὸ τοῦ μέμφεσθαι τὸν Δία καὶ βλασφημεῖν εἰς τὸν θεόν· οὕτως ἔκλεψε τὸν ἀκροατήν. οἱ γὰρ ἀκούοντες οἴονται αὐτὸν ὑπὸ ἀκρασίας οὐκ ἀκριβεῖ λόγῳ χρώμενον, ἀλλὰ πάθει ταῦτα διεξιέναι, αὐτὴ καὶ τὸν σχηματίζοντα τὸν σχηματισμὸν τοῦτον τοῦ λαθεῖν ἡ μέθοδος. ἔχει οὖν συμπλοκὴν πίστεων, ἥπερ μεγίστη σχημάτων μέγεθος, ἅπερ ἂν εἶπες εἰς ἁπλῆν ὑπόθεσιν, τὰ αὐτὰ λέγοντα ἐπὶ τῶν πλαγίων λόγων τὸ σχῆμα περαίνειν, συγκαταskευάζοντα τὸν οἰκεῖαν ἀγῶνα τῷ κεινῷ, ὡς ἔμαθες παρὰ Δημοσθένους, παρὰ Θουκυδίδου, παρὰ Πλάτωνος, εὐδιάλυτα λέγειν, στρεφομένους χρῆσθαι λόγοις ἐν προσποιήσει πάθους. καὶ ὅλως εἰδέναι χρή, ὅτι τὰ σχήματα οὐχὶ προσκρούματά ἐστιν ὀνομάτων, ἀμφιβολίαι λεγόμενα, ἀλλὰ ἀγῶνες ὅλοι τέχνῃ

Digitized by Google

τῆς συμπλοκῆς διοικουμένης. ἡ μὲν γὰρ αἵρεσις ἁπλῆ τῶν σχημάτων· ἡ δὲ κατασκευὴ τῶν κεφαλαίων ἑκάστων, ὡς δι' ἁπλῶν πορευομένη, τοὺς πλαγίους περαίνει λόγους.

IX.

De Oratione Figurata tract. II.

Τολμῶσί τινες λέγειν, ὅτι οὐκ ἔστιν ἐσχηματισμένη ἰδέα λόγων. δεῖ γὰρ ἁπλῶς λέγειν, ἢ μὴ λέγειν. καὶ γὰρ οὐδὲν πλέον τοῦ καθ' ὑπόνοιαν λέγειν. εἰ γὰρ συνίησιν ὁ ἀκούων, ἐξ ἴσου καθέστηκε τῷ φανερῶς ἀκούοντι· εἰ μὴ συνίησι, πλέον οὐδὲν τῷ λέγοντι. ἡμεῖς δὲ φαμεν, ὅτι τοσοῦτον ἀπέχει ὀρθῶς λέγειν ὁ λέγων μὴ εἶναι ἐσχηματισμένους λόγους, ὥστε τοὐναντίον οὐδεὶς λόγος ἀσχημάτιστος, οὐδὲ ἁπλοῦς λόγος οὐδείς. καὶ δὴ ἀπὸ τῶν συντρόφων καὶ συνηθῶν ἀρχώμεθα. τὸ προσαγορεύειν ἄνευ σχήματος οὐ γίνεται· ὁ μὲν φιλοφρόνως προσαγορεύει· ὁ δ' αἰδημόνως· ὁ δὲ σκώπτων· ὁ δὲ ἱλαρῶς· ὁ δὲ, ὡς θαυμάζων. αἱ κλήσεις εἰς ἴδια δεῖπνα σχηματισμοῦ δέονται· οὐ γὰρ πάντας ὁμοίως τις καλεῖ, ἀλλὰ ἑκάστῳ τὴν πρέπουσαν κλῆσιν προστίθησιν. αἱ τῶν δανεισμάτων ἀπαιτήσεις οὐ πρὸς πάντας ὅμοιαι, ἀλλ' εὐπρεπείας δέονται καὶ διοικήσεως· καὶ αἱ μὲν εἰσὶ θρασύτεραι· αἱ δὲ μετριώτεραι· αἱ δ' ἄλλης προφάσεως δέονται. ἵνα βραχέως εἴπω, οἷον τὸ τῆς εἰρωνείας σχῆμα ἐσχηματισμένου λόγου σημεῖόν ἐστι.

2. Δείξωμεν δὲ καὶ ἀγῶνας ὅλους ἐσχηματισμένους, καὶ λόγους δημηγορικοὺς ἐσχηματισμένους,

Digitized by Google

καὶ παρηγυρικὰς ἰδέας, καὶ ἀποφανοῦμεν τῶν σχημάτων τὰ εἴδη. ἔστι δὲ ταῦτα· ἤτοι λέγειν μὲν βούλεται, εὐπρεπῶς δὲ λέγει· ἢ ἕτερα προτείνων, ἕτερα διοικεῖται· ἢ τὰ ἐναντία προτείνων, τὰ ἐναντία διοικεῖται. τούτων τὰ παράδειγματα καὶ ἡ διδασκαλία, Ὅμηρος πάντα παραδίδωσι.

3. Τὸν λέγοντα ζητεῖν εὐπρεπῶς λέγειν δείκνυσιν ἐπὶ τῆς Ἴριδος καὶ τοῦ Ποσειδῶνος ἀγανακτοῦντος πρὸς τὸν Δία· παραινεῖ αὐτῷ ἡ Ἶρις εὐπρεπέστερον λέγειν, ἵν' ἀκινδυνότερος ὁ λόγος ᾖ· καὶ ταύτῃ παραινοῦσα ἐν τῇ παῤῥησίᾳ, τῆς παραινέσεως τὸ εὐπρεπὲς διοικεῖ· ὥστε καὶ τὸ παράγγελμά ἐστι, καὶ ἡ τέχνη παραδιδομένη·

Οὕτω γὰρ δή τοι, γαιήοχε κυανοχαῖτα,
Τόνδε φέρω Διὶ μῦθον ἀπηνέα τε κρατερόν τε.
Ἦ τι μεταστρέψῃς; —

ταῦτα μὲν παραινεῖ τὸ εὐπρεπὲς διδάσκουσα. ποιεῖ δὲ αὐτὴ αὐτὸ πῶς; μετὰ γὰρ ἐπαίνων θεράπευει αὐτὸν, ἵν' ἀνάσχηται τῆς παῤῥησίας, καὶ τὴν ἀπειλὴν αὐτῷ ἐπάγει ὀνόματι ἑνὶ λέγουσα·

— Διὶ μῦθον. —

4. Ὁ δὲ ἕτερα λέγων καὶ ἕτερα διοικούμενος, ὁ λόγος ἐστὶ τῆς Θέτιδος πρὸς τὸν Ἀχιλλέα, ἄλογος εἶναι δοκῶν, ἂν μή τις τὸ σχῆμα γνῷ. παραμυθουμένη γὰρ τὸν υἱὸν ἐπὶ τῷ Πατρόκλου θανάτῳ λέγει·

— ἀγαθὸν δὴ γυναικί περ ἐν φιλότητι
Μίσγεσθαι, —

τίς ἂν εἴη ταύτης τῆς παραινέσεως ἀπρεπεστέρα παρὰ μητρός; ἀλλὰ ὡς μητρικῶς παραμυθουμένη

Digitized by Google

ὑπαινίττεται πρὸς τὸν Ἀχιλλέα, ὃν οὐ χρὴ αὐτὸν τρυφᾶν, ἀλλὰ μιμνῆσθαι καὶ τῆς προτέρας χάριτος τῆς περὶ τὴν Βρισηΐδα, ἣν ἐτήμησαν αὐτῷ ὁ Ζεὺς, καὶ, ἢν ἀπολάβῃ, δεινὰ πεπόνθασιν οἱ Ἀχαιοί. ἵν' οὖν μὴ ἀνειδίζῃ, τοῦτο ὡς λύπης παραμυθίαν προτείνασα τὸ καὶ συναπαύσασθαι τῇ γυναικὶ, τὴν ἀνάμνησιν ἐποιήσατο. σαφέστερον δ' εἶδος τοῦτο δηλοῖ ὁ Διομήδους λόγος πρὸς Ἀγαμέμνονα, ὅτ' Ἀγαμέμνων ἀπόπειραν ποιεῖται τῶν Ἑλλήνων τῶν ἀριστέων, τὸ δεύτερον πελεύων φεύγειν·

Ἀτρεΐδη, σοὶ πρῶτα μαχήσομαι ἀφρονι δέρκτι,
Ἠΐ θέμις ἐστὶν, ἄναξ, ἀγορῇ· σὺ δέ μὴ τιχολωθῆς.
Ἄλκην μέν μοι πρῶτον ὀνείδισας ἐν Δαναοῖσι,
Φὰς ἔμεν ἀπτόλεμον καὶ ἀνάλκιδα. ταῦτα δὲ πάντα
Ἴσασ' Ἀργείων ἠμὲν νέοι, ἠδὲ γέροντες.
Σοὶ δὲ διάνδιχ' ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω,
Σκήπτρῳ μέν τοι δῶκε τετιμῆσθαι περὶ πάντων·
Ἄλκὴν δ' οὔ τοι δῶκεν, ὅ τε κράτος ἐστὶ μέγιστον.
Δαιμόνι', οὕτω που μάλα ἔλπεαι υἷας Ἀχαιῶν
Ἀπτολέμους τ' ἔμεναι καὶ ἀνάλκιδας, ὥς ἀγορεύεις;
Εἰ δέ τοι αὐτῷ θυμὸς ἐπέσσυται, ὥστε νέεσθαι,
Ἔρχεο· πάρ τοι ὁδός. νῆες δέ τοι ἄγχι θαλάσσης
Ἑστᾶσ', αἵ τοι ἕποντο Μυκηνηθεν μάλα πολλαί.
Ἀλλ' ἆλλοι μενέουσι κάρηκομόωντες Ἀχαιοὶ,
Εἰσόκε περ Τροίην διαπέρσομεν· εἰ δὲ καὶ αὐτοὶ
Φευγόντων σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν.

Digitized by Google

Νῦν δ', ἐγὼ Σθενέλός τε, μαχησόμεθ', εἰσόκε τέκμωρ
Ἴλιον εὕρωμεν· σὺν γὰρ θεῷ εἰλήλουθμεν. —

οὗτος ὁ λόγος, ἂν μή τι ἕτερον διοικῆται, ᾗ λέγῃ, παντάπασιν ἄτοπός ἐστι καὶ ἀσχήμων· τὸ γὰρ ἐν κακοῖς ἐπιτίθεσθαι τῷ βασιλεῖ καὶ λοιδορεῖσθαι, ἀπρεπέστερον. καὶ ἔοικέ πως ὁ Διομήδης ὁμολογεῖν, ὅτι εὐπρεπῶς χρῆται τῷ λόγῳ· προοιμιάζεται γοῦν παραπαύμενος, καὶ ἀτοπώτατον πρᾶγμα λέγει· ὅτε μὲν αὐτῷ ὠνείδιζεν ὁ Ἀγαμέμνων, ἤνεγκεν εὐπρεπῶς, καὶ τῷ Σθενέλῳ ἀποκρινομένῳ ἐπετίμησε·

Τέττα ἑκηβόλε, μὴ νεμεσῶ Ἀγαμέμνονι ποιμένι λαῶν,
Ὀτρύνοντι μάχεσθαι εὐκνήμιδας Ἀχαιούς.

νῦν δ' ἀναμιμνήσκεται καὶ μνησικακεῖ. εἰ δέ τις φαίη, ἐπειδὴ ἠρίστευσεν, θαρρεῖ· τοσοῦτῳ μᾶλλον ὑβριστότερος φαίνεται, εἰ τῇ τύχῃ ἐντρυφᾷ. ἀλλ' εἰδέναι χρή, ὅτι αὗται αἱ λοιδορίαι αἱ πρὸς Ἀγαμέμνονα χαυσὸς ἦν τῷ Ἀγαμέμνονι. ἐν γὰρ σχήματι τοῦ ἀγανακτεῖν πρὸς αὐτὸν, συναγορεύει· καὶ βουλόμενος παραινέσαι τοῖς ἀρίστοις μένειν καὶ μὴ ἀπαλλάττεσθαι, οὐκ ἐν σχήματι παραινέσεως λέγεται, ἀλλ' ἐν ὀργῆς τῆς πρὸς τὸν Ἀγαμέμνονα σχήματι, καὶ ἐτόλμησε τοιαύτην γνώμην καταθέσθαι εἰς μέσον. ἤδη γὰρ ἡ λοιδορία ἐπὶ τοῦτ' ἔρχεται·

Δαιμόνι', οὔτω που μάλα ἔλπεαι υἷας Ἀχαιῶν
Ἀπτολέμους τ' ἔμεναι καὶ ἀνάλκιδας, ὡς ἀγορεύεις;

ἃ γὰρ ἔδει συμβουλεύοντα πείθειν μένειν, ταῦτα λέγει ὡς ἀγανακτῶν, εἰ ἄξιοί μένειν αὐτοὺς ὡς φεύ-

Digitized by Google

γοντας· προτείνεται γάρ· τίθ' ἡ ἐπίτασις, τοῦ· Σὺ πορεύου, καὶ οἱ ἄλλοι μενοῦσιν. σὺ γὰρ ἄξιοῖ συμβουλεύειν μένειν, ἀλλ' ὡς πεπεισμένων διαλέγεται· εἶτα φοβούμενος, μὴ ἐνθῶσι, καὶ αὐτοῖς συγχωρεῖ φεύγειν. οὗτος ὁ σχηματισμός ἐστι τοῦ ἄλλα λέγοντα ἄλλα διοικεῖν.

5. Τὸ δὲ τὰ ἐναντία οἷς λέγει διοικεῖσθαι, ἐν τῇ ἀναγκαιοτάτῃ ἐστὶ δημηγορίᾳ τῇ Ἀγαμέμνονος. καὶ τηρητέον, ὅτι ἐν κινδύνοις οἱ σχηματισμοὶ εὑρίσκονται· ὁ γὰρ Ἀγαμέμνων ἀπόρως ἔχει ἐστρατεῦσαι τοὺς Ἕλληνας, καὶ προτείνει αὐτὸς τὴν ἀτοπίαν·

Ἀλλ' ἄγετ' αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιων.
Ἡρῶτα δ' ἐγὼν ἕπεσιν πειρήσομαι, ἦ θέμις ἐστὶ,
Καὶ φεύγειν σὺν νηυσὶ πολυκλήϊσι κελεύσω·
Ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν.

καὶ τῆς διαπείρας ἡ αἰτία φανερὰ τῷ συνέχοντι, ὅτι, ἐπειδὴ ὁ Ἀχιλλεὺς ἀφέστηκε τοῦ Ἑλληνικοῦ, καὶ σὺ συστρατεύεται· ἦν δὲ ἡγεμὼν παντὸς τοῦ στρατεύματος· ζητεῖ, πῶς ἂν δόξαι Ἀχιλλέως ἐξελθοῖεν. καὶ οἶδε τοὺς Ἕλληνας ὀργιζομένους ἐπ' Ἀχιλλεῖ, καὶ φοβεῖται, μὴ ἄρα, ἂν κελεύσῃ, οὐχ ὑπακούσωσιν, τούτου ὄντος·

Ἀλλ' ἄγετ' αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν.

καὶ τὸ·

Ἡρῶτα δ' ἐγὼν ἕπεσιν πειρήσομαι, ἦ θέμις ἐστὶ,
Καὶ φεύγειν σὺν νηυσὶ πολυκλήϊσι κελεύσω.

καὶ ἐάν τις προτείνῃ ἡμῖν, ὅτι οὐ τυγχάνει τῆς προαιρέσεως Ἀγαμέμνων, ἀλλ' ἀποπειρώμενος νυν-

Digitized by Google

δυνεῖσθαι ἡνιᾶσθαι, καὶ ἀτυχῶς χρῆται τῷ λόγῳ· ἐκμήκασι γὰρ εἰς τὰς πατρίδας· ἀγνοεῖ, ὅτι Ἀγαμέμνονος τέχνη αὕτη ἐστὶ, τὸ ὁρμῆσαι αὐτούς. οὐ γὰρ οἴεται τῇ ἀπαπείρᾳ τῶν λόγων παθεῖν αὐτούς. ἀλλὰ τίς ἡ τέχνη; ἐπειδὴ ἀγαναχτοῦσιν ὑπὲρ Ἀχιλλέως, οὐκ ἐνδείκνυνται δὲ τὴν ἀγανάκτησιν, ἕως ἂν χρεία γένηται ἐξόδου, βούλεται αὐτοὺς ἀποῤῥῆξαι τὸν θυμὸν, καὶ φανεροὺς γενέσθαι ὀργιζομένους, καὶ ὑπὸ τῶν ἀρίστων κατασχεθῆναι· τοῦτό σοι καὶ γίνεται. φαίνονται ἑτοίμως ἀπιάντες εἰς τὰς πατρίδας· Ὀδυσσεὺς δὲ καὶ Νέστωρ κατέχουσιν αὐτούς. ταῦτ' οὖν ὁ Ἀγαμέμνων ἀποπειρώμενος, φανερῶς τοῦ σχήματος τὴν διδασκαλίαν παιδεύει. τὰ γὰρ ἐναντία οἷς βούλεται λέγει. ἔστι δὲ ἡ μέθοδος τούτων τῶν λόγων θαυμαστή τις καὶ ἄτοπος· τὰς γὰρ ἐν λόγοις ῥητορικοῖς κακίας, ταύτας αὕτη ἡ ἰδέα ἀρετὰς ἀναφαίνει. εἰσὶ δὲ κακίαι λόγων ῥητορικῶν, τό τ' εὐδιάλυτα λέγειν, καὶ τὸ ἀντίστροφα· ὧν τὸ μὲν ἀσθενείας· τὸ δὲ καὶ κινδύνου. δι' ἀμφοτέρων πορεύεται ὁ Ἀγαμέμνων εἰκότως. ὥσπερ γὰρ ὅταν τις, ἃ βούλεται, λέγῃ, οὐ χρὴ αὐτὸν ὑπεναντίοις ἔπεσι χρῆσθαι, οὔτ' εὐδιαλύτοις, οὕτως ὅταν τις ὧν λέγει τὰ ἐναντία βούληται, ἀνάγκη αὐτῷ τὴν κακίαν, τὴν ἐκ τῶν λόγων, ἀρετὴν ἐνταῦθα ποιήσασθαι· εἰ δὲ μὴ, συμβήσεται αὐτῷ ἐναντιώσεις περιπεσεῖν, ἄλλα σε πεῖσαι, μὴχ ἃ βούλεται. τοῦτο μὲν οὖν καὶ οἱ μελετῶντες ἴσασιν. ὅταν γάρ τις προσέλθῃ τῇ βουλῇ ἀξιῶν ἀποθανεῖν, οὐδεὶς αὐτὸν ἀποθανεῖν βούλεται, ἀλλὰ τὰ ἐναντία βούλεται ὧν λέ-

Digitized by Google

γει· καὶ οἱ τὰ δῶρα παρὰ τῶν φίλων ἀπωθούμενοι, βουλόμενοι δέξασθαι, λέγουσι μὲν τὰ ἐναντία, πράττουσι δὲ τὰ ἐναντία. δεῖ οὖν ἡμᾶς διδάξαι, πῶς μὲν λέγει εὐδιάλυτα καὶ στρεφόμενα· τὸ δὲ μέγιστον, πῶς ἔλαθε τοῦτο ποιῶν· ἐπεὶ συμβήσεται, ἂν κατάφωρος ἡ τέχνη γένηται, καὶ τὸν ἀκούοντα ἀντιτεχνάζειν καὶ ἀντισχηματίζειν, προσποιούμενον πείθεσθαι καὶ συγχωρεῖν. ὅτι μέντοι εὐδιάλυτα λέγει, ἐκεῖνο σημεῖον·

— ὃς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσεν
Πλέον ἑκπέρσαντ' εὐτείχεον· ἀπονέεσθαι.

εἰ τοίνυν ὑπέσχετο καὶ κατένευσε, περιμενετέον.

Νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει
Δυσκλέα Ἄργος ἰκέσθαι —

πάλιν ἀντιλαβὴν ἔχει· οὐ γὰρ δεῖ δυσκλέα ἀπιέναι. ταῦτα μὲν εὐδιάλυτα· ἐκεῖνα δὲ σαφῶς στρεφόμενα·

Αἰσχρὸν γάρ τόδε γ' ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι,
Μάψ οὕτω τοιόνδε τοσόνδε τε λαὸν Ἀχαιῶν
Ἄπρηκτον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι.

ταῦτα φανερῶς ὁ ἀντιλέγων ἐρεῖ·

Αἰσχρὸν γάρ τόδε γ' ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι.

πῶς οὖν διοικεῖ; ὅτι μὲν γὰρ εὐδιάλυτα λέγει καὶ στρεφόμενα, δῆλον· καὶ ἔτι μᾶλλον, ἂν ἐπεξίῃ τις τὴν τέχνην τῶν ἐπῶν, εὑρήσει. ἀλλὰ τίς ἡ τέχνη τῶν τοιούτων; πάθους ὑπερβολὴ πρὸ τοῦ λόγου, ἵνα δοκῇ ὑπὸ λύπης φέρεσθαι αὐτῷ ὁ λόγος, μὴ ἐξ ἐπι-

Digitized by Google

βουλῆς διοικεῖσθαι. διὰ τοῦτ' Ἀγαμέμνων ἀπὸ σχετλιασμοῦ ἤρξατο·

Ζεύς με μέγας Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ
Σχέτλιος —

ὃ οὖν τῷ Διὶ οὕτω προσφερόμενος, καὶ βλασφημῶν, δῆλός ἐστιν ὑπὸ λύπης καὶ ἀσύμφωνα αὐτῷ λέγων. πάθους οὖν προσβολὴ κλοπὴ γίνεται διοικήσεως τεχνικῆς. τοιοῦτο μέν ἐστι τὸ σχῆμα, τὸ τὰ ἐναντία λέγειν οἷς βούλεται.

6. Ἔστι δὲ καὶ τέταρτον σχῆμα βαθύτατον, τὸ δι' ἄλλων πορευόμενον, καὶ παντελῶς ἐπ' ἄλλης ὑποθέσεως τὸν λόγον ποιούμενον, ἄλλην περαίνειν. καὶ τοῦτο Ὅμηρος τὸ παράδειγμα ἔδωκεν, καὶ ἔλαθε τοὺς πολλούς. ἐπὶ γὰρ τῇ ἀποπείρᾳ τοῦ Ἀγαμέμνονος, ἣν ποιεῖται πρὸς τοὺς Ἕλληνας, οἱ κατέχοντες τὰ Ἑλληνικόν εἰσιν Ὀδυσσεὺς καὶ Νέστωρ. καὶ θαυμαστὸν τί ἐν τῷ λόγῳ; ἔστι διπλοῦν τὸ θαυμαστόν· ἔοικεν ὁ Νέστωρ μηδὲν ἴδιον λέγειν, ἀλλὰ τὰ αὐτὰ λέγειν τῷ Ὀδυσσεῖ, ὥσπερ μετατιθεὶς τὰ διδασκάλου· καὶ ἀπονέμει αὐτῷ ἔπαινον ὁ Ἀγαμέμνων, ὡς κρατοῦντι τῶν Ἑλλήνων ἐν ταῖς βουλαῖς· ὅπερ ἐστὶν ἀτοπώτατον. καὶ λέγουσιν οἱ διδάσκαλοι, ὅτι, ἐπειδὴ ἐπήνεσε τὸν Ὀδυσσέα τὸ πλῆθος, ἵνα μὴ λυποῖτο ὁ γέρων, καὶ ὁ Ἀγαμέμνων τὸν γέροντα· ὡς περὶ παιδαρίων ἐν διδασκαλείῳ ἐπιδεικνυμένων, καὶ παραμυθίαν τοῦ διδασκάλου ἀπονέμοντος, ἵνα μὴ κλαίῃ τὰ παιδία. ἀλλ' ἡ τέχνη τίς; ὅλως ἡ αὐτὴ ὑπόθεσις τῶν λόγων οὐκ ἔστιν Ὀδυσσεῖ καὶ Νέστορι. ἔροιτο ἄν τις· καὶ πῶς σὺχ ἡ αὐτὴ ὑπόθεσις;

Digitized by Google

τὰ αὐτὰ γὰρ λέγουσι. τοῦτο ἡ τέχνη ἡ Νέστορος, ὅτι τὰ αὐτὰ λέγων, οὐκ εἰς τὴν αὐτὴν ὑπόθεσιν λέγει. ἀλλ' ἡ τέχνη τίς; ἐπειδὴ μέλλει χαλεπὴν ὑπόθεσιν πείθειν, πορεύεται διὰ τῆς πεπεικυίας ὑποθέσεως. πεπεισμένοι εἰσὶν οἱ Ἕλληνες ὑπὸ τοῦ Ὀδυσσέως μένειν, καὶ ἤνεγκαν αὐτοῦ τὴν ἐπιτίμησιν καὶ τὴν παραμυθίαν. ἀλλ' ἔχει χαλεπωτέραν ὑπόθεσιν ὁ γέρων. πορεύεται οὖν δι' ὧν ἔπεισεν Ὀδυσσεύς, καὶ τὰ αὐτὰ λέγει Ὀδυσσεῖ·

Ὥστε γὰρ ἢ παῖδες νεαροὶ, χῆραί τε γυναῖκες,
Ἀλλήλοισιν ἀδύρονται οἶκόνδε νέεσθαι.

Ὀδυσσεύς· τὰ αὐτὰ ὁ γέρων·

Ὤ πόποι, ἦ δὴ παισὶν ἐοικότες ἀγοράασθε
Νηπιάχοις —
Πῇ δὴ συνθεσίαι τε καὶ ὅρκια βήσεται ἡμῖν;
Ἐν πυρὶ δὴ βουλαί τε γενοίατο, μήδεά τ' ἀνδρῶν.
Ἦ μάλα δή σε ἄναξ — ἐθέλουσιν Ἀχαιοὶ
Πᾶσιν ἐλέγχιστον θέμεναι μερόπεσσι βροτοῖσι.

λέγει ἐκεῖνος σημεῖον μαντείας τῶν περὶ τὸν Κάλχαντα· οὗτος, τὰ τῆς ἀστραπῆς· ὥστε διὰ τῶν αὐτῶν πορεύονται. τί οὖν ἐστι τὸ παραλλάττον; διδάσκει τὸ παραλλάττον τῆς ὑποθέσεως τῶν ἐπαίνων ἡ διαίρεσις. ἐπῄνεσαν οἱ Ἀχαιοὶ καὶ τὸ πλῆθος τὸ κοινὸν τὸν Ὀδυσσέα· πεισθέντες μένουσι· καὶ τὸ ἔργον τοῦ Ὀδυσσέως λαμπρόν·

Τοῖσι δ' ἄφαρ πόλεμος γλυκίων γίνετ', ἠὲ νέεσθαι
Ἐν νηυσὶ γλαφυρῇσι φίλην ἐς πατρίδα γαῖαν.

ὁ γέρων ἄλλην ὑπόθεσιν ἔχει. ἐπειδὴ γὰρ πεπεισμένοι εἰσὶν οἱ Ἕλληνες μένειν, ζητεῖ αὐτοὺς ἐκστρα-

Digitized by Google

τεῦχαι, οὐδὲν γὰρ ὄφελος τοῦ μένειν ἄνευ τοῦ ταχθῆναι· ὅπερ μάλιστα ὑπόθεσίς ἐστι καὶ ζήτησις τοῦ Ἀγαμέμνονος.

Ἀλλ' ἄγετ' αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν·
πῶς ἄνευ τοῦ Ἀχιλλέως ἐκστρατεύσοιντο; ἔστιν οὖν τοῦ Νέστορος ἡ ὑπόθεσις·

Κρῖν' ἄνδρας κατὰ φῦλα, κατὰ φρήτρας, Ἀγάμεμνον·
Ὡς φρήτρη φρήτρηφιν ἀρήγει, φῦλα δὲ φύλοις.
Εἰ δέ κεν ὣς ἔρξεις, καὶ τοὶ πείθονται Ἀχαιοὶ,
Ἰνώσῃ ἔπειθ', ὅς θ' ἡγεμόνων κακὸς, ὅς τε νυ λαῶν,
Ἠδ' ὅς κ' ἐσθλὸς ἔῃσι· κατὰ σφέας γὰρ μαχέονται.

αὕτη ἡ ὑπόθεσίς ἐστι, ἧς χρείαν ἔχει ὁ Ἀγαμέμνων· αὕτη ἡ ἐπικίνδυνος ὑπόθεσις τῶν λόγων τῷ Νέστορι· ὡς ἐν παρέργῳ δ' αὐτὴν ἔρριψεν·

Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·

ὃς προσθήκην τῷ λόγῳ ποιούμενος· καὶ γίνεται ὥσπερ τέλος τῆς δημηγορίας τῆς πεπεικυίας χρείαν δημηγορίας ἀναγκαιοτέραν. δέα τοῦτ' Ἀχαμέμνων, τυχὼν ὧν ἐβούλετο, ἐπαινεῖ τὸν γέροντα·

Ἦ μὰν αὖτ' ἀγορῇ νικᾷς, γέρον, υἷας Ἀχαιῶν.
Αἴ γὰρ, Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον,
Τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν.
Τῷκε τάχ' ἠμύσειε πόλις Πριάμοιο ἄνακτος
Χερσὶν ὑφ' ἡμετέρῃσιν ἁλοῦσά τε περθομένη τε.

ὅτι δὲ αὕτη ἐστὶν ἡ ὑπόθεσις τοῦ Νέστορος, τὸ ἐκστρατεῦσαι, καὶ ὅτι τοῦτο ἐπαινεῖ, σχηματίζει ἡ

Digitized by Google

Ἀγαμέμνων, ὡς τυχὼν ὧν ἐβούλετο. τίς ὁ ἔλεγχος, καὶ τίς ἡ ἀπόδειξις; φοβεῖται, μὴ οἱ πείσῃ ὁ Νέστωρ, καὶ βοηθεῖ αὐτῷ, ὅσα δύναται. τί οὖν ἐστι τὸ μὴ ποιοῦν πείθειν τὸν Νέστορα; ὀργὴ ὑπὲρ Ἀχιλλέως τῶν Ἑλλήνων. παραμυθεῖται τὴν ὀργὴν αὐτῶν ὁ Ἀγαμέμνων ὁμολογῶν ἡμαρτηκέναι, καὶ μέμνηται τοῦ Ἀχιλλέως, ἵνα μαλάξῃ αὐτῶν τὸν θυμὸν ἐπ' αὐτῷ. ἐπεὶ τί βούλεται τό;

Ἀλλά μοι αἰγίοχος Κρονίδης Ζεὺς ἄλγε' ἔθηκεν,
Ὅς μ' ἐπὶ μὲν ἀπρήκτους ἔριδας καὶ νείκεα βάλλει.
Καὶ γὰρ ἐγὼν Ἀχιλεύς τε μαχεσσάμεθ' εἵνεκα κούρης
Ἀντιβίοις ἐπέεσσιν· ἐγὼ δ' ἦρχον χαλεπαίνων.
Εἰ δέ ποτ' ἔς γε μίαν βουλεύσομεν, οὐκέτ' ἔπειτα
Τρωσὶν ἀνάβλησις κακοῦ ἔσσεται οὐδ' ἠβαιόν.

ἐποίησεν αὐτοὺς οἰκτεῖραι, εἰ ὁμολογεῖ τὸ ἁμάρτημα, καὶ ἀπεπλήρωσεν αὐτῶν τὸν θυμόν. εἶτα συναγορεύσας τῷ γέροντι καὶ παραμυθησάμενος, ἀφεὶς ταῦτα, ἐπὶ τὸ οἰκειότατον ἔρχεται, ἐπὶ τὸν βασιλέα·

Νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα.

ταῦτα κελεύσας ἐπάγει, φησὶ, καὶ τὴν ἀπειλήν, ἐὰν δή τις χωρίζηται·

Ὃν δέ κ' ἐγὼν ἀπανευθε μάχης ἐθέλοντα νοήσω
Μιμνάζειν παρὰ νηυσὶ κορωνίσιν, οὔ οἱ ἔπειτα
Ἄρκιον ἔσσεῖται φυγέειν κύνας ἠδ' οἰωνούς.

ὥστ' ἄρχεται ἀπὸ ἐπαίνου συναγορεύων τῷ Νέστορι· ἔπειτα παραμυθεῖται τὸν θυμόν, ὁμολογῶν ἡμαρτηκέναι· εἶτα κελεύει καὶ ἀπειλεῖ βασιλικῶς. αὕτη οὖν ἡ τέχνη τίς ἐστι; τὸ ἐπ' ἄλλης ὑποθέσεως

Digitized by Google

πεπειχυίας πρότερον, ἐπὶ τέλει ὡς πάρεργον ἐρρῖπτειν ἔτι οἰκειοτέραν ὑπόθεσιν. ταύτην τὴν τέχνην τίς ἐμιμήσατο, καὶ τίς ἐξηγήσατο; Πλάτων. ἐγκώμιον λέγει ἐν τῷ Συμποσίῳ Ἀλκιβιάδης Σωκράτους. ἐπὶ τέλει τοῦ ἐγκωμίου λέγει πρὸς Ἀγάθωνα ὁ Ἀλκιβιάδης· „Ὅρα τοίνυν, ὦ Ἀγάθων, μὴ πάθῃς, ὅπερ „ἐγὼ πολλοί. ὁ γὰρ Σωκράτης οὗτος προσποιεῖται „ἐραστὴς εἶναι· εἶτα ἐρώμενος ἀναφαίνεται. μὴ οὖν „καὶ σὺ τὸ αὐτὸ πάθῃς, ὅπερ καὶ πάντες πεπόνθα„σι.“ ἔτυχε δὲ ὁ Ἀλκιβιάδης ἐρῶν τοῦ Ἀγάθωνος, καὶ ἐβούλετο ὑπὸ μηδενὸς ἄλλου αὐτὸν ἐρᾶσθαι. καὶ ἐπὶ τέλει ἔῤῥιψε τὴν παραίτησιν τὴν πρὸς Ἀγάθωνα, ὡς ἐπὶ τοῦ ἐγκωμίου λέγων. αὐτὸς ἐξηγεῖται ὁ Σωκράτης τὴν τέχνην· „Νήφειν μοι δοκεῖς, ὦ „Ἀλκιβιάδη.“ δοκεῖ γὰρ μεθύειν ὁ Ἀλκιβιάδης· „οὐ „γὰρ ἂν κομψῶς γε, φησὶ, τὸ Σατυρικὸν δρᾶμα „περιέβαλες, εἰ μὴ ἔνηφες. καὶ πάντα ταῦτα εἴρηκας „ὑπὲρ τοῦ διαβάλλειν ἐμὲ καὶ Ἀγάθωνα, ἵνα ἐγὼ „μέν σου ἐρῶ καὶ μηδενὸς ἄλλου. καὶ γὰρ ἐποίησας „αὐτὸ, φησὶν, ὡς οὐδὲν, ἢ ἐπὶ τέλει αὐτὸ εἰπὼν, ὡς „οὐχ ἕνεκα τούτου πάντα τἆλλα εἴρηκώς. ἀλλ᾽ οὐκ „ἔλαθες, ἀλλὰ τὸ Σατυρικὸν δρᾶμα τοῦτο ἀνεφάνη.“ οὕτω γὰρ τοι γίνεται ἡ τέχνη καὶ παραδίδοται. πειρασώμεθα οὖν δεῖξαι μετὰ τὰ Ὁμηρικὰ καὶ παρὰ τοῖς ῥήτορσι καὶ ἐν δημηγορίαις, καὶ ἐν δίκαις, καὶ ἐν πανηγυρικοῖς λόγοις, καὶ ἐν διαλόγοις τὸ αὐτὸ εἶδος γινόμενον.

7. Πρότερον δὲ καὶ ἄλλο εἶδος εἴδωμεν λόγων ἐσχηματισμένων. διπλοῦν τοῦτο· τὸ μέν, πρὸς τῇ

Digitized by Google

τῶν μελλόντων λεχθήσεσθαι παῤῥησίᾳ, ἔνδειξιν τῶν λεχθησομένων ἀσφαλῆ προαναπρουσμένην τὸ λυπηρὸν τοῦ ἀκούσματος· τὸ δὲ, ἐν διηγήσει προσώπων ὑπαλλαγῆς, ὃ διὰ τῶν πρὸς ἑτέρους ἑτέροις· καὶ ἔχει τὸ ἀσφαλὲς ἐν τῷ μὴ οἷς ἐπιπλήττει αὐτοῖς διαλέγεσθαι, ἀλλ' ἀκουόντων αὐτῶν, ἑτέροις ταῦτα λέγειν, ἃ τούτους προσήκει. τί πότ' οὖν ἐστιν ἑκάτερον τὸ εἶδος; ὁ Ἀχιλλεὺς ἀνέστη, καὶ μετὰ τὸν Ἀχιλλέα ὁ μάντις, ἐν ἀρχῇ τῆς Ἰλιάδος, ἐλέγχοντες τὸν Ἀγαμέμνονα, ὅτι τὴν αἰτίαν τοῦ νοσήματος αὐτὸς παρέχει. ὁ μὲν Ἀχιλλεὺς ἐν συμβούλου σχήματι ὀνειδίζει τὴν αἰτίαν τῷ Ἀγαμέμνονι τῶν κακῶν, ὡς ἀπόρως διακείμενος, καὶ ζητῶν τὴν αἰτίαν, καὶ ἀφορμὴν ποιεῖται τῆς παῤῥησίας τὸν μάντιν· ὁ δὲ μάντις, ἀντιστοιχῶν τῷ Ἀχιλλεῖ τῇ ἀρνήσει ὧν ὑπέβαλεν. ὁ Ἀχιλλεὺς, ζητῶν τὰς αἰτίας, προδιοικεῖται τὸ φανερὰν γενέσθαι τὴν αἰτίαν τῶν δεινῶν. ἴδωμεν οὖν τοὺς ἑκατέρων λόγους, πῶς ἔχουσι δι' ἀλλήλων, καὶ πῶς τὸ εὐπρεπὲς ἔχουσιν· οἱ μὲν τοῦ Ἀχιλλέως ἐν βαθύτητι ζητήσεως, οἱ δὲ τοῦ μάντεως, ἀσφάλειαν πρὸ τῆς ἀποκρίσεως·

Ἀτρεΐδη, νῦν ἄμμε παλιμπλαγχθέντας ἄπω
Ἄψ ἀπονοστήσειν, εἴ κεν θανατόν γε φύγοιμεν·
Εἰ δὴ δμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς·
Ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν, ἢ ἱερῆα,
Ἢ καὶ ὀνειροπόλον· καὶ γὰρ τ' ὄναρ ἐκ Διός ἐστιν·
Ὅς κ' εἴποι, ὅτι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων,
Εἴτ' ἄρ' ὅ γ' εὐχωλῆς ἐπιμέμφεται, εἴθ' ἑκατόμβης·

Digitized by Google

Αἴ κέν πως ἀρνῶν κνίσσης αἰγῶν τε τελείων
Βούλεται ἀντιάσας ἡμῖν ἀπὸ λοιγὸν ἀμῦναι.
Ἦτοι ὅ γ' ὡς εἰπὼν, κατ' ἄρ' ἕζετο. —

μέχρι τούτου οἱ Ἀχιλλέως λόγοι ἔχουσιν ὑπαινιττομένου εἰς Ἀγαμέμνονα, καὶ προσκρούοντος ἐκείνῳ, ἐν δὲ σχήματι ζητήσεως καὶ ἀπορίας τῆς τοῦ δεινοῦ αἰτίας τὸ ἀσφαλὲς προδιοικουμένου. ἡ δ' ἔνδειξις τοῦ εἰς Ἀγαμέμνονα λέγεσθαι ταῦτα, πρῶτον μὲν, τὸ πρὸς Ἀγαμέμνονα ποιεῖσθαι τοὺς λόγους, ἀλλὰ μὴ εἰς τὸ κοινόν·

Ἀτρείδη, νῦν ἄμμε παλιμπλαγχθέντας. —

ὡς γὰρ τιμῶν αὐτὸν διὰ τὸ ἀξίωμα, καὶ τὸν κοινὸν λόγον πρὸς ἐκεῖνον ἀποτεικόμενος, τὴν ἀσφάλειαν ἔχει τοῦ προσκρούματος. εἶτα ἐξῆς ἐπάγει·

Εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς.

αἴτιος τοῦ πολέμου Ἀγαμέμνων ἐστὶ, συναγαγὼν τοὺς Ἕλληνας. συνῆψε καὶ τὸν λοιμὸν τῷ πολέμῳ, καί φησιν αὐτὸν αἴτιον γεγονέναι. τί γὰρ ἡ μνήμη τοῦ πολέμου ἐνταῦθα, εἰ μὴ ἐβούλετο ἀμφοτέρων αἴτιον ἀποφῆναι τὸν αὐτόν; εἶτ' ἐπειδὴ ἔδειξεν, ὅτι αὐτὸς αἴτιός ἐστιν οὗ χωρὶς σαφῶς εἶπεν, ἐπὶ ζήτησιν ἦλθεν·

Ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν, ἢ ἱερῆα,
Ἢ καὶ ὀνειροπόλον· καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστιν·

Ὅς κ' εἴποι, ὅτι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων.

ἡ προσθήκη τοῦ „Τόσσον" δηλοῖ, ὅτι τὰς αἰτίας τῆς ὀργῆς, ἃς ὑποβάλλει ὁ Ἀχιλλεὺς, οὐ πιστεύει ἀκούσας, ἀλλ' αἰτίαν μείζονα περιμένει·

Digitized by Google

Εἶτ' ἄρ' ὃ γ' εὐχωλῆς ἐπιμέμφεται, εἶθ' ἑκατόμβης.

ἐνδέχεται τὸν Ἀπόλλωνα ἕνεκεν εὐχωλῆς καὶ ἑκατόμβης τόσον χολωθῆναι. οὕτω μὲν ὁ Ἀχιλλεὺς διοικεῖται τὸν λόγον. ὁ δὲ μάντις, λαβόμενος τῆς ἀφορμῆς, αὐτοῖς τοῖς Ἀχιλλέως λόγοις χρῆται εἰς διατριβὴν τοῦ δεῖξαι τῷ Ἀγαμέμνονι, πρὶν φανερῶς εἰπεῖν· καὶ γίνεται αὐτῷ ἀφορμὴ τῶν λόγων τὸ „Τόσσον" λέγει γάρ·

Οὔτ' ἄρ' ὅ γ' εὐχωλῆς ἐπιμέμφεται, οὔθ' ἑκατόμβης.

καὶ πρότερον προδιοικεῖται τὴν ἀσφάλειαν·

Ὦ Ἀχιλεῦ, κέλεαί με, Διῒ φίλε, μυθήσασθαι
Μῆνιν Ἀπόλλωνος ἑκατηβελέταο ἄνακτος.
Τοὶ γὰρ ἐγὼν ἐρέω· σὺ δὲ σύνθεο, καί μοι ὄμοσσον,
Ἦ μέν μοι πρόφρων ἔπεσιν καὶ χερσὶν ἀρήξειν.

ταῦτα γὰρ ὁμολογοῦντός ἐστιν, ὅτι τῷ βασιλεῖ προσκρούει. εἶτα τῷ προοιμίῳ τούτῳ ἐπάγει·

Ἦ γὰρ ὀΐομαι ἄνδρα χολωσέμεν, ὃς μέγα πάντων
Ἀργείων κρατέει, καί οἱ πείθονται Ἀχαιοί.

εἶτα γνωμολογεῖ·

Κρείσσων γὰρ βασιλεὺς, ὅτε χώσεται ἀνδρὶ χέρηϊ.

εἶτα τὴν τέχνην τὴν ὀργῆς ἐπάγει·

Εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ κατα πέψῃ,
Ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ
Ἐν στήθεσσιν ἑοῖσι. σὺ δὲ φράσαι, εἴ με σαώσεις.

καὶ ἤδη ἔδειξεν, ὅτι Ἀγαμέμνων τούτων ἁπάντων αἴτιος, μηδέπω εἰπών· καὶ διὰ τοῦτο ἐπάγει,

Digitized by Google

ἀντίστοιχα λέγων ὁ Ἀχιλλεὺς καὶ ὁμολογούμενα τούτοις·

Θαρσήσας μάλα, εἰπὲ θεοπρόπιον, ὅ τι οἶσθα.
Οὐ μὰ γὰρ Ἀπόλλωνα Διὶ φίλον, ᾧ τε σὺ, Κάλχαν,
Εὐχόμενος Δαναοῖσι θεοπροπίας ἀναφαίνεις,
Οὔτις ἐμεῦ ζῶντος καὶ ἐπὶ χθονὶ δερκομένοιο,
Σοὶ κοίλης παρὰ νηυσὶ βαρείας χεῖρας ἐποίσει
Συμπάντων Δαναῶν· οὐδ' ἢν Ἀγαμέμνονα εἴπῃς,
Ὃς νῦν πολλὸν ἄριστος ἐνὶ στρατῷ εὔχεται εἶναι.
Καὶ τότε δὴ θάρσησε, καὶ ηὔδα μάντις ἀμύμων.

ὁμολογεῖ ὁ ποιητὴς τῶν λόγων τὴν διοίκησιν. μία μὲν αὕτη εὐπρέπεια ἐσχηματισμένων λόγων, τὸ δι' αἰνιγμάτων λέγειν, ἃ φρονεῖ τις, καὶ τὸ τῇ διατριβῇ καὶ τῇ μελλήσει τῶν λόγων εἰπεῖν, πρὶν εἰπεῖν, τῷ προοιμίῳ τὸ μέλλον δείκνυσθαι λυπηρόν.

8. Ἡ δευτέρα τίς; ἐλέγομεν, ἐκείνην εἶναι τὴν μέθοδον, τὸ ἑτέροις διαλεγόμενον ἑτέρων καθάπτεσθαι, τὸ ἀσφαλὲς τοῦ μὴ προσκρούειν τῇ ὑπαλλαγῇ τοῦ προσώπου ἐνδεικνύμενον. καὶ τοῦτο Ὅμηρος ἔδειξεν ἐν Ὀδυσσέως λόγῳ. ὁ γὰρ Ὀδυσσεὺς, πρὶν συναγαγεῖν τοὺς ὄχλους εἰς τὴν ἐκκλησίαν, ἵνα δημηγορήσῃ περὶ τῆς μονῆς, ὅτε τὴν ἀπόπειραν ὁ Ἀγαμέμνων ἐποιήσατο, οἷον λέγει·

Ὄντινα μὲν βασιλῆα καὶ ἔξοχον ἄνδρα κιχείη,
Τόνδ' ἀγανοῖς ἐπέεσσιν ἐρητύσασκε παραστάς.
Δαιμόνι', οὔ σε ἔοικε, κακὸν ὡς, δειδίσσεσθαι·
Ἀλλ' αὐτός τε κάθησο, καὶ ἄλλους ἵδρυε λαούς.
Οὐ γάρ πω σάφα οἶσθ', οἷος νόος Ἀτρεΐδαο.
Νῦν μὲν πειρᾶται, τάχα δ' ἕψεται υἷας Ἀχαιῶν·

Digitized by Google

Ἐν βουλῇ δ' οὐ πάντες ἀκούσαμεν, οἷον ἔειπε·
Μή τι χολωσάμενος ῥέξῃ κακὸν υἷας Ἀχαιῶν.
Θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέος βασιλῆος.
Τιμὴ δ' ἐκ Διός ἐστι· φιλεῖ δέ ἑ μητίετα Ζεύς.
Ὃν δ' αὖ δήμου τ' ἄνδρα ἴδοι, βοόωντά τ' ἐφεύροι,
Τὸν σκήπτρῳ ἐλάσασκεν, ὁμοκλήσασκέ τε μύθῳ.

ταύταις ταῖς ἐπιτιμήσεσι συνάγει καὶ τοὺς βασιλέας. ὁ μὲν δὴ ἐντυγχάνων τοῖς βιβλίοις, οἴεται, ὅπερ καὶ προείρηκεν Ὅμηρος, τοῦτο ποιεῖν, αὐτοῖς τοῖς βασιλεῦσι φιλοφρόνως διαλέγεσθαι, τοῖς δὲ δήμοις πικρότερον καὶ σφοδρότερον. ὃ δὲ ποιεῖ Ὀδυσσεὺς Ὁμήρου, οὐδεὶς ὁρᾷ. ἃ γὰρ ἐβούλετο καθάψασθαι τῶν βασιλέων, τῷ δήμῳ διελέγετο· ἃ δ' ἐβούλετο ἐπιτιμῆσαι τῷ δήμῳ, τοῖς βασιλεῦσι διελέγετο. ἢ εἰπάτω μοί τις, τί ἔδοξε τῷ Ὀδυσσεῖ τοῖς δημόταις λέγειν;

Οὐ μέν πως πάντες βασιλεύσομεν ἐνθάδ' Ἀχαιοί.
Οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω,
Εἷς βασιλεύς. —

ἢ τί ἔδοξε τοῖς βασιλεῦσιν ἐπιτιμῶντα λεγειν;

Ἐν βουλῇ δ' οὐ πάντες ἀκούσαμεν, οἷον ἔειπε·
Νῦν μὲν πειρᾶται, τάχα δ' ἴψεται υἷας Ἀχαιῶν.

ταῦτα δ' οὐ τοῖς δημόταις λέγει, ἀλλὰ τοὺς βασιλέας ἀναμιμνήσκει. γέγονεν οὖν ὁ λόγος πρὸς ἑκατέρους ἑκατέροις κοινός. καὶ τὴν ἐξήγησιν ἐπάγει Ὅμηρος τῶν ἐσχηματισμένων τούτων λόγων δι' ὀνόματος ἑνός, ὃ οὐδὲ ὁρῶσιν οἱ ἀναγινώσκοντες, Ὅμηρος δὲ ὑπὸ φιλανθρωπίας ἐξηγήσατο·

Ὡς ὅ γε κοιρανέων διέπε στρατόν. —

Digitized by Google

τι ἐστι τὸ „Καιρανέων;“ ὡς κοίρανος διαλεγόμενος; οὐ δή που· ἀλλὰ στρατήγημα τῶν λόγων οὕτως ὀνομάζων, καὶ ἐξήγημα τοῦ στρατηγήματος, καὶ τοῦ „Κοιρανέων δίεπε στρατόν.“ ἡ γὰρ δεοίκησίς ἐστι τέχνη ἐν τῷ ὀνόματι λεγομένη.

9. Ἴωμεν τοίνυν ἐπὶ τὰ πεζὰ παραδείγματα. Δημοσθένης διδάσκει ἡμᾶς εὐπρεπῶς διαλέγεσθαι, ἃ βούλεταί τις· καὶ οἶδε τοῦ σχήματος τούτου τὸ ὄνομα· λέγει δ' ἐν τῷ περὶ τοῦ Στεφάνου ἅδε τῇ λέξει· „Ἐπειδὰν δ' ἔλθωσιν οἱ πρέσβεις εἰς Θήβας, „πῶς χρήσασθαι τῷ πράγματι παραινῶ, τοῦτο μοι „πάνυ προσέχετε τὸν νοῦν.“ εἶτ' ἐπάγει ὥσπερ διδάσκαλος παραδιδοὺς μαθητῇ τὴν διοίκησιν· „Μὴ „δεῖσθαι Θηβαίων μηδέν· αἰσχρὸς γὰρ ὁ καιρός· „ἀλλ' ἐπαγγέλλεσθαι βοηθήσειν ἐκείνοις, ἂν κελεύω„σιν· ὡς ἐκείνων μὲν ὄντων ἐν τοῖς ἐσχάτοις, ἡμῶν „δ' ἄμεινον, ἢ ἐκείνων, τὸ μέλλον προορωμένων· „ἵνα, ἂν μὲν δέχωνται ταῦτα καὶ πείσθῶσιν ἡμῖν, „καὶ ἃ βουλόμεθα ὦμεν διοικούμενοι, καὶ μετὰ „σχήματος ἀξίου τῆς πόλεως ταῦτα πράξωμεν· ἂν „δ' ἄρα μὴ τύχῃ, ἐκεῖνοι μὲν ἑαυτοῖς ἐγκαλῶσιν, ἂν „τι ἐξαμαρτάνωσιν· ἡμεῖς δὲ μηδὲν αἰσχρὸν, μηδὲ „κακὸν, ὀφθείημεν πεπειαμένοι.“

10. Τὸ δὲ ἕτερα λέγειν καὶ ἕτερα διοικεῖσθαι δείκνυσί σοι πάλιν ὁ αὐτὸς Δημοσθένης ἐν τοῖς συμβουλευτικοῖς, ἔν τε περὶ Συμμοριῶν ἐπιγραφομένῳ λόγῳ· ὅσπερ λόγος εἰκότως ἂν καὶ δικαίως ἐπιγράφοιτο περὶ τῶν βασιλικῶν, ἐν τῷ πρώτως καὶ μόνος παραστὰς ἀντεῖπεῖν· ἐν τούτῳ τῷ λόγῳ ἐναν-

Digitized by Google

τιοῦτον μὲν τῇ Ἀθηναίων χρώμῃ, ὁρμηκότων αὐτῶν πολεμεῖν βασιλεῖ, καὶ μία μὲν διοίκησις τοῦ λόγου ἐστὶ τὸ βουλόμενον τὸν ῥήτορα μὴ πολεμεῖν αὐτοὺς βασιλεῖ· κλέπτει δὲ τὴν δόξαν τὸ συμβουλεύειν βασιλεῖ μήπω πολεμεῖν, καὶ αὕτη ἡ τέχνη ἐστὶ τοῦ, ἃ βούλεταί τις, λέγειν εὐπρεπῶς. ποιεῖ δὲ τοῦτο οὕτως· „Ἐγὼ νομίζω κοινὸν ἐχθρὸν ἁπάντων τῶν „Ἑλλήνων εἶναι βασιλέα· οὐ μὴν διὰ ταῦτα παραι„τήσομαι ἐν μόνοις τοῖς ἄλλοις ὑμῖν πόλεμον πρὸς „αὐτὸν συνάγειν.“ καὶ ἔτι ἡ τέχνη βαθυτέρα, τὸν κωλύοντα πολεμεῖν ἐπαγγελέσθαι περὶ δυνάμεως πολεμήσουσιν· αὕτη μὲν κλέπτοντός ἐστι τὴν ἐναντίωσιν τοῦ πολέμου· μιμεῖται γὰρ ἐνταῦθα τὸν Ἀρχίδαμον τοῦ Θουκυδίδου. καὶ γὰρ καὶ ἐκεῖνος, ἐπειδὴ ἑώρα τοὺς Λακεδαιμονίους καὶ Πελοποννησίους ὡρμηκότας πρὸς τὸν πόλεμον, ἐβούλετο δ' αὐτοὺς κωλῦσαι πολεμεῖν, τὸ μὲν μὴ πολεμεῖν λέγειν οὐ τολμᾷ· οὐ γὰρ πείσουσι· συμβουλεύων δὲ τὸ μήπω πολεμεῖν, τὸ μὴ πολεμεῖν λέγει· μία μὲν αὕτη διοίκησις ἐν τῷ λόγῳ. δευτέρα δ' ἐκείνη, ᾧ μὲν βούλονται πολεμεῖν, οὐ βούλεται αὐτοὺς πολεμεῖν ὁ Δημοσθένης· ᾧ δὲ οὐκ ἐθέλουσι πολεμεῖν, τούτῳ κελεύει πολεμεῖν. καὶ γίνεται διπλοῦς λόγος ἐσχηματισμένος. βασιλεῖ μὲν γὰρ αὐτοὺς οὐ βούλεται πολεμεῖν, ᾧπερ πάνυ βούλονται· Φιλίππῳ δ' ἀξιοῖ πολεμεῖν, οἳ οὐ βούλονται. τίνα οὖν διοίκησιν ἐποιήσατο; ἑξ ἑτέρας ὑποθέσεως τοῦ πεῖσαι μὴ πολεμεῖν ᾧ βούλονται, καὶ πολεμεῖν ᾧ μὴ βούλονται, συμβουλεύει πολεμεῖν βασιλεῖ, ἀλλὰ μήπω, παρασκευάζε-

Digitized by Google

σθαι δὲ πρὸς αὐτόν. τὸ μὲν οὖν „Μηδέπω τὴν ὁρμὴν τὴν ἐπὶ βασιλέα κωλύειν· συμβουλὴ δὲ τῆς παρασκευῆς εὐτρεπῆ τὸν πόλεμον τὸν πρὸς Φίλιππον ἐργάζεται. καὶ ὅτι αὕτη ἡ τέχνη ἐστὶ, λάβε αὐτὸν Δημοσθένην ὁμολογοῦντα· „Εἰ μὲν τοίνυν ἕτερός „τις ἦν τρόπος δυνάμεως, ἢ τοὺς βαρβάρους οἷόν „τ' ἦν ἀμύνασθαι, ἕτερος δέ τις, ἢ τοὺς Ἕλληνας, „εἰκότως φανεροὶ πᾶσιν ἐπιγινόμεθα πρὸς ἐκεῖ„νον ἀντιτατόμενοι· εἰ δὲ πάσης παρασκευῆς ἐστι „τρόπος ὁ αὐτὸς οὗτος, τοὺς ἐχθροὺς ἀμύνασθαι, „δύνασθαι, τοῖς οὖσι συμμάχοις βοηθεῖν, καὶ ταῦθ' „ὑπάρχοντα ἀγαθὰ σώζειν, τί τοὺς ὡμολογημένους „ἐχθροὺς ἔχοντες, ἄλλους ζητοῦμεν; ἀλλὰ παρα„σκευαζώμεθα μὲν πρὸς τούτους, ἀμυνώμεθα δὲ „κἀκεῖνον, ἂν ἡμᾶς πείσῃ." καὶ ἀληθῶς τὸ ἀμφίβολον τοῦτο τῆς γνώμης μηνύει ἐν ἄλλῳ λόγῳ· „Ὁρᾷ „θ' ἡμᾶς Φιλίππου μὲν κατεφρονοῦντας, βασιλέα „δὲ ὡς ἰσχυρὸν ἐχθρὸν φοβουμένους. εἰ δὲ τῷ μὲν „πολεμεῖν οὐ θελήσομεν, τῷ δ' οὐκ ἀξιώσομεν, πρὸς „τίνας παρατάξόμεθα;"

11. Ἀλλὰ καὶ Εὐριπίδης δι' ὅλων λόγων διοικήσεως σχῆμα περαίνει. πρότερον δὲ δείξωμεν ἐν ὅλῳ δράματι ἐν μέρει τινὶ σχῆμα διοικούμενον. ἐν τῷ Αἰόλῳ ὁ Μακαρεὺς ἐστιν ὁμιλήσας τῇ ἀδελφῇ καὶ λανθάνων, καὶ συμβουλεύσας τῷ πατρὶ, τὰς ἀδελφὰς τοῖς ἀδελφοῖς συνοικίσαι, ἵνα τὸ οἰκεῖον διοικήσηται. καὶ οὕτως ἐσχημάτισται ὁ λόγος κοινῇ γνώμῃ καὶ συμβουλῇ. ἡ Μελανίππη σοφὴ, τὸ δρᾶμα Εὐριπίδου, ἐπιγέγρα-

Digitized by Google

πτατ μὲν Σοφὴ, ὅτι φιλόσοφεῖ, καὶ διὰ τοῦτο τοιαύτης μητρός ἐστιν, ἵνα μὴ ἀπίθανος ᾖ ἡ φιλοσοφία. ἔχει δὲ διπλοῦν σχῆμα, τὸ μὲν τοῦ ποιητοῦ· τὸ δὲ τοῦ προσώπου τοῦ ἐν τῷ δράματι, τῆς Μελανίππης. τὸ μὲν τοῦ ποιητοῦ τοιόνδε· [τὸ δὲ τοῦ προσώπου τοιόνδε·] Ἀναξαγόρᾳ προσεφοίτησεν Εὐριπίδης. Ἀναξαγόρου δὲ λόγος ἐστὶν, ὅτι „Πάντα ἐν πᾶσιν· „εἶτα ὕστερον διεκρίθη." μετὰ ταῦτα ὡμίλησε καὶ Σωκράτει, καὶ ἐπὶ τὸ εὐπορώτερον ἤγαγε τὸν λόγον. ὁμολογεῖ οὖν τὴν διδασκαλίαν τὴν ἀρχαίαν διὰ τῆς Μελανίππης·

Καὶ οὐκ ἐμὸς ὁ μῦθος, ἀλλ' ἐμῆς μητρὸς πάρα,
Ὡς οὐρανός τε γαῖά τ' ἦν μορφὴ μία.

οὕτω μὲν ὁ ποιητὴς σχηματίζει τὸ αὐτοῦ· ἡ δὲ Μελανίππη ἐπαιδεύθη μὲν ὑπὸ τοῦ Ποσειδῶνος, γέγονε δὲ ταύτῃ παιδία· ἐξέθηκε δ' αὐτὰ εἰς τὰ τοῦ πατρὸς βουφόρβια. ὁ δὲ πατὴρ ἡγεῖται ἐκ βοὸς εἶναι, καὶ ἕρας βούλεται κατακαῦσαι. βοηθοῦσα αὐτῇ ἡ Μελανίππη ἀποφαίνεσθαι πειρᾶται, ὅτι τέρας οὐδέν ἐστιν. οὕτω τὸ δρᾶμα ὅλον ἐσχημάτισται· καὶ ἅμα διδάσκει ἡμᾶς Εὐριπίδης, ὅτι τὸν σχηματίζοντα ἐγγυτάτω δεῖ εἶναι τοῦ λῦσαι τὸ σχῆμα μετὰ τῆς ἀσφαλείας τοῦ σχήματος. περιερχομένη γὰρ πάσας αἰτίας τοῦ σῶσαι τὰ παιδία, λέγει· „εἰ δὲ παρθένος φθαρεῖσα ἐξέθηκε τὰ παιδία, „καὶ φοβουμένη τὸν πατέρα, σὺ φόνον δράσεις;" ὥστε καὶ τὸ αὐτῆς πρᾶγμα λέγει ἐν σχήματι συμβουλῆς.

12. Ἀλλὰ καὶ πάλιν ὁ Πανηγυρικὸς Ἰσοκράτους

Digitized by Google

τοιοῦτόν τι βιβλίον ἐστὶ, καὶ ὁ Φιλίππας Ἰσοκρά-
τους, καὶ ὁ περὶ τῆς Ἀντιδόσεως. ἐν γὰρ τοῖς τρισὶ
τούτοις βιβλίοις ἐγκώμια διέρχεται· τὸ μὲν Ἀθη-
ναίων· τὸ δὲ Φιλίππου· τὸ δ' ἑαυτοῦ. ἀλλὰ τοῖς
μὲν Ἀθηναίων ἐγκωμίοις καὶ τοῖς Φιλίππου, σύμ-
βουλὴν ὑποθέμενος, τὸ εὐπρεπὲς τοῦ ἐγκωμίου
ἐπραγματεύσατο, καὶ πεποίηται ὥσπερ πάρεργον
συμβουλῆς τὸ ἐγκώμιον· τὸ δ' ἐστὶν ἔργον τὸ ἐγ-
κώμιον· πάρεργον δὲ ἡ συμβουλή· αὐτῷ δ' ἔδοκεν
ἐπαίνου ἀφορμὴν, ἐν ἀνάγκῃ ἀπολογίας πρὸς τὰ
κατηγορημένα. τοῦτο καὶ Δημοσθένης ἐν τῷ περὶ
τοῦ Στεφάνου ἐπραγματεύσατο. ἐγκώμιον αὐτοῦ
ἠθέλησε γράψαι, καὶ τὴν ἀπολογίαν προετάξατο.
τοῦτο καὶ Πλάτων πεποίηκεν ἐν τῇ Ἀπολογίᾳ
Σωκράτους, ἐγκώμιον βουλόμενος γράψαι ἐν ἀπολο-
γίας σχήματι. τοῦτο καὶ Ξενοφῶν ἐν τοῖς Ἀπομνη-
μονεύμασιν· ὃς γὰρ ἀπολογούμενος ὑπὲρ Σωκρά-
τους, ἐγκώμιον Σωκράτους παραίνει· ἔργον δ' αὐ-
τοῖς ἐστι, καὶ πολλὰς ὑποθέσεις ὁμοῦ συμπλέκειν.
ἡ γέ τοι ἀπολογία Σωκράτους καὶ Πλάτωνος ἀπο-
λογία ἐστὶ, καὶ Ξενοφῶντος ἀπολογία ἐστί· καὶ ὁ
περὶ τοῦ Στεφάνου τέτταρας ὑποθέσεις ἔχει, καὶ
ἀπολογία ἐστὶ, καὶ κατηγορία, καὶ ἐγκώμιον Δημο-
σθένους, καὶ ὁποῖον εἶναι δεῖ τὸν πολιτικὸν ἄνδρα.
καὶ Ξενοφῶν δὲ, ὁμολογῶν ἐγκώμιον Ἀγησιλάου
ἐρεῖν, λέγει ἐν ἱστορίας λόγῳ τὸ σχῆμα ποιούμενος.
καὶ παρὰ τῷ Ξενοφῶντι πάλιν ἔν τε τῇ Παιδείᾳ
καὶ τῇ Ἀναβάσει εὑρήσεται ἐσχηματισμένος λόγος.
βούλεται γὰρ τοὺς δημάτας τὰ ἴσα ὅπλα λαμβάνειν

Digitized by Google

[καὶ] τοῖς ὁμοτίμοις. ἑκατέροις διαλέγεται εὐπρεπῶς· τοῖς μὲν, ὡς τιμῶν αὐτούς· τοῖς δὲ, ὡς συναγωνισταῖς καὶ συσχολαστεῖς ἀγωνιζόμενος· καὶ τὸ ἑκατέρων οὕτω διοικεῖται. καὶ ἐν τῇ Ἀναβάσει ὁ Κλέαρχός ἐστι, ... τῶν στρατιωτῶν ὑποπτευόντων τὴν ἀνάβασιν τὴν Κύρου, καὶ μὴ βουλομένων ἀναβαίνειν, ἀλλὰ δεικνύντων τὰ ἄπορα. καὶ ἐν τῷ περὶ Παραπρεσβείας ἄλλα προτείνει, καὶ ἄλλα συγκατασκευάζει. ἔστι γὰρ ἡ τέχνη τῶν ἐσχηματισμένων λόγων μάλιστα αὕτη, τὸ ἄλλαις κατασκευαῖς συμπλέκειν τὰ οἰκεῖα· ὅπερ πεποίηκε καὶ Θουκυδίδης ἐν τῷ Ἐπιταφίῳ. δημηγορῶν γὰρ καὶ παρακαλῶν Ἀθηναίους ἐπὶ τὸν πόλεμον, συνέταξε τοῦ ἐπιταφίου κεφάλαια τῇ παραινέσει. ἐγκώμιόν ἐστιν ἡ παράκλησις ἀπὸ τοῦ γένους ἀπὸ τῆς τῶν προγόνων ἀρετῆς. ἐγκώμιόν ἐστιν ἐκ παραβολῆς ἡ παράκλησις, ἐκ τοῦ παραβαλεῖν τὰ τῶν ἐναντίων, καὶ τὰς δυνάμεις ἑκατέρας τῆς πόλεως.

13. Οὕτω κινδυνεύει, ὅπερ ὑπεστησάμεθα ἐν ἀρχῇ τῶν λόγων; τοσοῦτον ἀποδεῖν ἀληθὲς εἶναι τὸ μὴ εἶναί τι ἐσχηματισμένον, ὥστε τὸ ἐναντίον αὐτῷ οὐδεὶς λόγος ἀσχημάτιστος. καὶ πάλιν ἐπανέλθωμεν ἐπὶ τὴν ἀρχὴν τοῦ λόγου, ἣν ἐξ ἀρχῆς ὑπεθέμεθα, ὅτι, τοῦ ἀγῶνος ὄντος τῷ ῥήτορι διπλοῦ, τοῦ πράγματος, καὶ τοῦ ἤθους τοῦ κρατοῦντος, ἡ περὶ τῶν ἠθῶν διοίκησις ἀεὶ ἐσχηματισμένους τοὺς λόγους ἔχει. πολλὰ σχήματα παρ' Ὁμήρῳ, πάμπολλα καὶ ἐν ἄλλαις ὑποθέσεσιν, ἄλλα διοικούμενα· ἐπεὶ καὶ ὁ τῆς Βρισηΐδος λόγος οὐκ ἀσχημάτιστος, ὅτι ἤκουσα παρὰ τοῦ Ἀγαμέμνονος θεασα-

Digitized by Google

μένη τὸν Πάτροκλον κείμενον, ἐπιπίπτει τῷ σώματι, καὶ θρηνεῖ Πάτροκλον. καὶ οἴεται ὁ ἀκροατὴς, ὅτι Πάτροκλον θρηνεῖ· ἐνδείκνυται δὲ ὁ ποιητὴς σοφίαν γυναικὸς ἐν ἀκμῇ καιροῦ ἐπαιτούσης τὰς τῆς γυναικὸς ὑποσχέσεις, καὶ διὰ τοῦτο θρήνου δίκην λεγούσης πρὸς Ἀχιλλέα·

Πάτροκλέ μοι δειλῇ πλεῖστον κεχαρισμένε θυμῷ,
Ζωὸν μέν σε ἔλειπον ἐγὼ κλισίηθεν ἰοῦσα·
Νῦν δὲ τεθνειῶτα κιχάνομαι, ὄρχαμε λαῶν,
Ἄψ ἀνιοῦσ'. ὡς μοι δίχεται κακὸν ἐκ κακοῦ αἰεί.

ταῦτα προοίμια θρηνούσης. εἶτα τὸ προοίμιον περαίνει ἐπιδεικνυμένῳ τὸν θρῆνον, ὡς ἀπόδειξιν τοῦ δικαίου θρήνου·

Ἄνδρα μέν, ᾧ ἔδοσάν με πατὴρ καὶ πότνια μήτηρ,
Εἶδον πρὸ πτόλιος δεδαϊγμένον ὀξέϊ χαλκῷ·
Τρεῖς τε κασιγνήτους, οὓς μοι μία γείνατο μητὴρ
Κηδείους, οἳ πάντες ὁλέθριον ἦμαρ ἐπέσπον.

ταῦτ' ἤδη Ἀχιλλέως καθάπτεται, ὅτι τὸν ἄνδρα αὐτῆς ἀποκτείνας, ἔχει αὐτὴν συνοικοῦσαν, καὶ δεῖ αὐτῇ πολλῆς παραμυθίας. εἶτα συνθηκῶν ἀνάμνησις·

Οὐδέ μέν οὐδέ μ' ἔασκες, ὅτ' ἄνδρ' ἐμὸν ἀκὺς Ἀχιλλεὺς
Ἔκτεινεν, πέρσεν δὲ πόλιν θείοιο Μύνητος,
Κλαίειν, ἀλλ' ἔμ' ἔφασκες Ἀχιλλῆος θείοιο
Κουριδίην ἄλοχον θήσειν, ἄξειν τ' ἐνὶ νηυσὶν
Ἐς Φθίην, δαίσειν δὲ γάμον μετὰ Μυρμιδόνεσσι.

καὶ τὸ τέλος τοῦ ἐπιλόγου τὸ κέντρον τῆς ἐπαιτήσεως ἐπαγωγή·

Digitized by Google

Τῷ σ' ὄμοτον κλαίω τεθνηκότα μείλιχον αἰεί.
ὡς ἂν ἀκούων ταῦτ' Ἀχιλλεὺς δικαιολογουμένης, εἶπεν· „Ἀλλὰ μὴ κλαῖε, γύναι, ἐκεῖνα βέβαια γενήσεται."

14. Καὶ ταύτας τὰς ὑφηγήσεις ἐστὶν ἐπιόντα πολλὰ καὶ τῶν ποιητῶν, καὶ τῶν συγγραμμάτων, καὶ τῶν δικανικῶν καὶ τῶν συμβουλευτικῶν λόγων, καὶ τῶν ἐν ταῖς ἱστορίαις, εὑρεῖν πλείους τὰς πλάσεις τῶν σχημάτων, ἢ τὰς ἁπλότητας τῶν κοινῶν λόγων. λέγω δὲ καὶ προστίθημι, ὅτι καὶ ὅταν τις ἁπλῶς λέγῃ, καὶ ταῦτο τέχνῃ σχήματος γίνεται, ἵνα ἡ τῆς ἁπλότητος προσποίησις τὸ πιθανὸν ἔχῃ τῷ ἀκούοντι. καὶ τεκμήριον τούτου ἐστὶν ὁ λόγος ὁ τοῦ Αἴαντος πρὸς Ἀχιλλέα ἐν ταῖς λιταῖς. ὁ μὲν γὰρ Φοῖνιξ τέχνῃ χρῆται πρὸς αὐτὸν, καὶ προτείνας αὐτῷ ἡδίστην ὑπόθεσιν, ἐναντιωτάτην ἀγωνίζεται·

Εἰ μὲν δὴ κόστον γε μετὰ φρεσὶ, φαίδιμ' Ἀχιλλεῦ,
Βάλλεαι, οὐδ' ἔτι πάμπαν ἀμύνειν νηυσὶ θοῇσι
Πῦρ ἐθέλεις ἀΐδηλον, ἐπεὶ χόλος ἔμπεσε θυμῷ,
Πῶς ἂν ἔπειτ' ἀπὸ σεῖο, φίλον τέκος, αὖθι λιποίμην;

ἡδίστη γὰρ ὑπόθεσις Ἀχιλλεῖ, τὸ λέγειν τὸν Φοίνικα, ὅτι οὐκ ἀπολειφθήσεται· εἶτα ἡ αἰτία τοῦ μὴ ἀπολειφθῆναι, ἡ τροφὴ, ἡ ἀγωγὴ τοῦ ἐξ ἀρχῆς συντετράφθαι. ταῦτα δὲ πάντα εἰς τὴν ἐναντίαν ὑπόθεσιν· „Πίθου μοι· τέτροφα γάρ σε, καὶ χάριτας „ὀφείλεις." καὶ ὅτι τοῦτό ἐστιν, ἐπὶ τέλει ὁμολογία τῆς ἀληθινῆς ὁμολογίας·

Ἀλλ', Ἀχιλεῦ, δάμασον θυμὸν μέγαν, οὐδ' ἔτι σε χρὴ
Νηλεὲς ἦτορ ἔχειν· στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοὶ,

Digitized by Google

τοῦτο τὸ σχῆμα συνιδὼν καὶ ὁ Ἀχιλλεὺς, ἀντισχηματίζει ἑξῆς, μιμούμενος τὴν τέχνην τοῦ διδασκάλου. ἐξηγεῖται γὰρ οὕτω·

Μή μοι σύγχει θυμὸν ὀδυρόμενος καὶ ἀχεύων,
Ἀτρείδῃ ἥρωϊ φέρων χάριν. —

αὕτη μὲν ἡ ἐξήγησις τῆς τοῦ Φοίνικος τέχνης· εἶτα ὁ ἀντισχηματισμὸς·

Ἶσον ἐμοὶ βασίλευε, καὶ ἥμισυ μείρεο τιμῆς.

τί γὰρ ἐκεῖνος τὸ τοιοῦτόν τι εἶπεν, ἢ τίνα χάριν ᾔτησεν; ἀλλ' ἐπειδὴ ἀνέμνησεν αὐτὸν εἰπών·

Πολλάκι μοι κατέδευσας ἐπὶ στήθεσσι χιτῶνα
Οἴνου ἀποβλύζων, ἐν νηπιέῃ ἀλεγεινῇ·

τὰς ἐν τῇ νεότητι πάθας προέτεινεν αὐτῷ ὡς ὀφείλαντος χάριτας, καὶ αὐτὸς ἐσχημάτισεν εἰπών· „Ἄλλην χάριν λάμβανε μείζω, μὴ ταύτην αἴτει." ταῦτα μὲν ὁ Φοῖνιξ σχηματίζει.

15. Ὁ δέ γ' Αἴας, ἁπλουστατος ὤν, βαθυτατος ἐν τοῖς λόγοις πάντων ἐστίν. ἀνίσταται γὰρ ὡς ὀργιζόμενος, καὶ ἀξιῶν μηκέτι μηδὲ διαλέγεσθαι, καὶ λέγει·

— οὐ γάρ μοι δοκέει μύθοιο τελευτὴ
Τῇδέ γ' ὁδῷ κρανέεσθαι· —

καὶ ἐπιτιμᾷ Ἀχιλλεῖ χαλεπώτατα καὶ πικρότατα. ὁ δὲ μάλιστα ἐν τῇ παῤῥησίᾳ ἱκετεύων καὶ δεόμενος καὶ βιαζόμενος Ἀχιλλέα, οὗτός ἐστιν·

— ὑπωρόφιοι δέ τοι εἰμὲν
Πληθύος ἐκ Δαναῶν. —

καὶ φαίνεταί γε τοιοῦτος ἁπλοῦς δὴ καὶ ἀφελὴς,

Digitized by Google

καὶ παῤῥησίᾳ χρώμενος. εἶτα τῇ τέχνῃ προσχρώμενος φαίνεται μᾶλλον πεπεικώς. πῶς δή;

Αἶαν διογενὲς, Τελαμώνιε, κοίρανε λαῶν,
Πάντα τί μοι κατὰ θυμὸν ἐείσω μυθήσασθαι.
Ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ, ὁππότε κείνων
Μνήσομαι, ὥς μ' ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν.

οὗτος οὖν ὁ λόγος δείκνυσιν, ὅτι καὶ τῆς ἁπλότητος προσποίησις σχήματος ἔργον ἐπιτελεῖ· ἐπεὶ καὶ αἱ τῶν χαρίτων ἀπαιτήσεις οὐκ ἄνευ τοῦ ἐσχηματίσθαι γίνονται. οἱ γὰρ αἰτοῦντες τὰς χάριτας παρὰ τῶν εὖ πεπονθότων, ἐν καιρῷ φυλαττόμενοι τὸ ὀνειδίζειν, εὐπρεπῶς ἀπαιτοῦσι. καὶ δείκνυσιν ἡμῖν ὁ ποιητὴς, τίς μὲν ἂν ἦν ἀτέχνου ἀπαιτήσεως τρόπος, τίς δ' ἐντέχνου. ὁ Ἀχιλλεὺς τῇ μητρὶ λέγει·

Πολλάκι γάρ σέο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα
Εὐχομένης, ὅτ' ἔφησθα κελαινεφεῖ Κρονίωνι
Οἴῃ ἐν ἀθανάτῃσιν ἀείκεα λοιγὸν ἀμῦναι,
Ὁππότε μιν ξυνδῆσαι ὀλύμπιοι ἤθελον ἄλλοι.

καὶ περαίνει τὴν διήγησιν πᾶσαν, καὶ ἐπάγει παραινῶν αὐτῇ·

Τῶν νῦν μοι μνήσασα παρέζεο, καὶ λάβε γούνων.

ταῦτα ὑπακούει τῷ παιδὶ Θέτις, καὶ πείθουσα αὐτὸν θαῤῥεῖν, ἐπάγγέλλεται οὐ μόνον ἐρεῖν αὐτὰ, ἀλλὰ αὐτῇ λέξει λέγει·

Τοῦτο δέ σοι ἐρέουσα ἔπος Διῒ τερπικεραύνῳ,
Εἶμ' αὐτὴ πρὸς Ὄλυμπον ἀγάννιφον, αἴ κε πίθηται.

καὶ ταῦτα ὑποσχομένη, ἐπειδὴ ἀφίκετο πρὸς τὸν

Digitized by Google

Δία, τὸ μὲν ὀνειδίζειν ἀφίησι, τὸ δὲ ὑπομιμνήσκειν ἐπιμελῶς πραγματεύεται:

Ζεῦ πάτερ, εἴ ποτε δή σε μετ' ἀθανάτοισιν ἔτισα,
Ἢ ἔπει, ἢ ἔργῳ. —

τὸ μὲν ἔργον οὐκ εἶπε, τὴν δ' ἀνάμνησιν εὐπρεπῶς ἐποιήσατο. τοιοῦτός πως καὶ ὁ ἱερεύς ἐστι, γυμνότερος μέν, ἢ κατὰ τὴν Θέτιν, εὐπρεπῶς δέ. ἐπικαλεσάμενος γὰρ τὸν θεὸν λέγει·

— εἴ ποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα,
Ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί' ἔκηα
Ταύρων ἠδ' αἰγῶν, τῶδε μοὶ κρήηνον ἐέλδωρ.

καὶ τὰ μέτρα τῶν ἐσχηματισμένων λύγων παιδεύει ἡμᾶς ὁ Ὅμηρος, ὅτι οὐ τῆς εὐπρεπείας δεῖται, ἀλλὰ καὶ τῆς ἐν χρείᾳ συντομίας. τῶν γὰρ πάντων χρεία ἐστίν· θυων μὲν ἡ χρεία παραδίδωσι, ταῦτα δ καιρὸς παραιτεῖται. διδάσκει δὲ ταῦτο ἐν τοῖς Ἑρμοῦ λόγοις πρὸς Πριαμον Ὅμηρος. τοῦτον γὰρ Ἑρμῆς, ὥσπερ διδάσκαλος ὤν, παιδεύει, πῶς χρὴ ἐντυχεῖν Ἀχιλλεῖ, καὶ παραδίδωσι τὰς μεθόδους τῆς ἱκετείας·

Τύνη δ' εἰσελθὼν λάβε γούνατα Πηλείωνος,
Καί μιν ὑπὲρ πατρός καὶ μητέρος ἠὺκόμοιο
Λίσσεο, καὶ τέκεος, ἵνα οἱ σὺν θυμὸν ὀρίνῃς·

καὶ πάντας τοὺς ἀριθμοὺς τῆς ἱκετείας παραλαμβάνει, τὸ γένος τοῦ Ἀχιλλέως, πατρός, μητρός, υἱοῦ. ταῦτα μαθὼν ὁ γέρων, οἶδε τέχνην κατὰ τέχνας· προσελθὼν γὰρ τῷ Ἀχιλλεῖ, τοῦ γενείου ἐπιλάμβάνεται, καὶ λέγει·

Μνῆσαι πατρὸς σεῖο, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ.

καὶ οὔτε τοῦ παιδὸς μέμνηται, οὔτε τῆς μητρός,

Digitized by Google

ἀλλὰ τῶν προγόνων. τὴν πολλὴν γὰρ χορηγίαν παρέλιπε τῇ χρείᾳ τοῦ παιδός.

16. Οὐκοῦν ὑπολείπεται ἡμῖν ἐκεῖνος ὁ λόγος, ὅτι ὁ Ὅμηρος ἐπενόησεν ἐσχηματισμένον λόγον δι' εἰκόνος, ἵνα μηνύσῃ μὲν, ὃ βούλεται, τὸ δ' εὐπρεπὲς πρὸς τὴν ἐπιτίμησιν, ἀλλ' εἰκόνι τὸν λόγον διαπεράνας. καὶ οἱ πολλοὶ ἀγνοοῦσι τὴν εἰκόνα. ἔστι δὲ ἡ εἰκὼν ἐν Ὀδυσσέως λόγῳ. ἐξάγει τοὺς Ἕλληνας ὁ Ἀχιλλεὺς, ὡρμημένους σφόδρα ἐπὶ τῷ Πατρόκλου θανάτῳ. Ὀδυσσεὺς ἀξιοῖ αὐτοὺς πρότερον φαγεῖν, καὶ οὕτως ἐξελθεῖν· καὶ ἐπιτιμᾷ τῷ Ἀχιλλεῖ, ὅτι προπετῶς ταῦτα βούλεται· καὶ λέγει τὴν ἀρχὴν τῆς παραινέσεως τὴν αἰτίαν, εἶτα τὴν παραίνεσιν ἀδιανοήτως. ἢ εἰπάτω τις, τί βούλεται τὸ·

Κρείσσων εἶς ἐμέθεν, καὶ φέρτερος οὐκ ὀλίγον περ
Ἔγχει· ἐγὼ δέ κε σεῖο νοήματί γε προβαλοίμην·
Πολλὸν ἐπεὶ πρύτερος γενόμην, καὶ πλείονα οἶδα.

ἤδη τὰ προοίμια τῆς ἐπιτιμήσεως, ὥσπερ καὶ τὸ·

Μηδ' οὕτως, ἀγαθός περ ἐών, θεοείκελ' Ἀχιλλεῦ,
Κλέπτε νόῳ, ἐπεὶ οὐ παρελεύσεαι, οὐδέ μ' πείσῃς.

εἶτ' εἰπὼν τῆς γνώμης τὴν ἀρχὴν, ἐπάγει·

Τῷ τοι ἐπιτλήτω κραδίη μύθοισιν ἐμοῖσιν.
Αἶψά τε φυλόπιδος πέλεται κόρος ἀνθρώποισιν,
Ἧς τε πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν,
Ἄμητος δ' ὀλίγιστος, ἐπὴν κλίνῃσι τάλαντα
Ζεὺς, οὗ τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.

καὶ ἡ εἰκὼν πέρας τῆς συμβουλῆς. εἰδέναι οὖν χρὴ, ὅτι αὕτη ἡ εἰκὼν σοφία ἐστὶ τοῦ Ὀδυσσέως τοῦ Ὁμήρου. ἐπιτίμησις γὰρ ἐστι πικρὰ πρὸς τὸν Ἀχιλ-

Digitized by Google

λέα, καὶ δι' ἀποῤῥήτων λυπηρὰ παραίνεσις. διὰ τοῦτο καὶ προοίμιον αὐτῷ μακρόν ἐστι·

Κρείσσων εἰς ἐμέθεν, καὶ φέρτερος οὐκ ὀλίγον περ
Ἔγχει· ἐγὼ δέ κε σεῖο νοήματί γε προβαλοίμην·
Πολλὸν ἐπεὶ πρότερος γενόμην, καὶ πλείονα οἶδα.

αὐτὸ τὸ προοίμιον τοῦ σχήματός ἐστιν ἀρχή· „Μὴ „πάνυ θαῤῥεῖ τῇ ἀνδρείᾳ τῇ σαυτοῦ· εἰ δὲ μή, „ἐλέγχεις αὐτὴν τὸ μηδὲν εἶναι· ἀλλ' ἄκουε παρ' „ἀνδρὸς ἐμπείρου καὶ ἐπιστήμονος ἐκ πείρας πραγ„μάτων." Τίς οὖν ἐστιν ἡ ἐπιτίμησις ἐκείνῳ;

Γαστέρι δ' οὔ πως ἐστὶ νέκυν πενθῆσαι Ἀχαιούς.
Λίην γὰρ πολλοὶ καὶ ἐπήτριμοι ἤματα πάντα
Πίπτουσιν· πότε κέν τις ἀναπνεύσοιε πόνοιο;
Ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν, ὅς κε θάνῃσιν,
Νηλέα θυμὸν ἔχοντας ἐπ' ἤματι δακρυχέοντας.
Ὅσοι δ' ἂν πολέμοιο περὶ στυγεροῖο λίπωνται,
Μεμνῆσθαι πόσιος καὶ ἐδητύος, ὄφρ' ἔτι μᾶλλον
Ἀνδράσι δυσμενέεσσι μαχώμεθα νωλεμὲς αἰεί,
Ἔσσάμενοι χροΐ χαλκὸν ἀτειρέα· μηδέ τις ἄλλην
Λαῶν ὀτρυντὺν ποτιδέγμενος ἰσχαναάσθω.
Ἠδὲ γὰρ ὀτρυντὺς κακὸν ἔσσεται, ὅς κε λίπηται
Νηυσὶν ἐπ' Ἀργείων· ἀλλ' ἀθρόοι ὁρμηθέντες,
Τρωσὶν ἐφ' ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν Ἄρηα.

ὡσεὶ ἔλεγεν· „Πολλοὶ τεθνᾶσιν ἤδη διὰ σὲ μηνιῶν„τα· νῦν ἀποῤῥίψας τὴν μῆνιν, ἀξιοῖς τῇ σαυτοῦ „προσθήκῃ ἐλπίδας τῆς νίκης ἔχειν. ἐὰν οὖν ἐξ„έλθωσι νῆστεις, οὐδ' ἂν ὁ Ζεὺς χαριζόμενός σοι „βοηθῇ τοῖς Ἕλλησι, δυνήσονται διαρκέσαι νῆστεις

Digitized by Google

„ὄντες πρὸς τὸ κρατῆσαι. ὥστε μὴ φρόνει μέγα ἐπὶ „τῇ προσθήκῃ τοῦ Διός, καὶ προπετῶς στρατεύου· „ἐλεγχθήσῃ γὰρ τῇ ἀσθενείᾳ τῶν στρατιωτῶν.“

Λίψά τε φυλόπιδος πέλεται κόρος ἀνθρώποισιν,
Ἄμητος δ' ὀλίγιστος, ἐπὴν κλίνῃσι τάλαντα
Ζεὺς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.

τί γὰρ τοῦ Διὸς ἡ μνήμη ἐνταῦθα; „Συμβήσεται „οὖν οὐ πολλὴν γενέσθαι ἡμῖν ὠφέλειαν ἐκ τῆς παρά „σου προτροπῆς διὰ τὸν Δία, ἂν ἀσθενεῖς ὄντες „στρατευώμεθα· ὥστ' ἐλεγχθήσεταί σου ἡ ἀνδρεία „ἡ θαυμαστὴ ὑπὸ τῆς προπετείας.“ ἐπειδὴ τοίνυν ταῦτα πικρά ἐστι καὶ ἐπιτίμησιν ἔχει, εἰκόνος παραβολῇ τὸ πικρὸν τῆς ἐπιτιμήσεως ἀσφαλὲς ἐποίησεν.

X.

De Meditatae orationis Vitiis.

Τὰ δὲ πλημμελούμενα ἐν ταῖς μελέταις. οἱ μὲν ἠθῶν ἀμοίρους τοὺς λόγους ποιοῦνται, οἰόμενοι τοῦ πράγματος εἶναι τὸν ἀγῶνα, τὸ δ' ἦθος ἐν παρέργῳ τιθέμενοι· οἱ δὲ περὶ τὴν κρῖσιν τῶν ἠθῶν οὐ σπουδαίως ἔχουσιν, ἀλλ' ἐὰν μὲν ἁπλοῦν ᾖ τὸ ἦθος καὶ παντὶ τῳ ἰδεῖν ἐκκείμενον, ἰδόντες καὶ προσπεσόντες χρῶνται τῷ ἤθει· ἂν δὲ διπλοῦν ᾖ, ἢ τριπλοῦν, καὶ ποικιλώτερον, οὔτε τὰς διαιρέσεις τῶν ἠθῶν ζητοῦσιν, οὔτε περὶ τὴν κρῖσιν αὐτῶν πραγματεύονται. ὅθεν αὐτοῖς οὐδ' ἀγωνίζεσθαι τοῖς ἤθεσιν ὑπάρχειν συμβαίνει. ἀλλ' ὁ τοῦ

Digitized by Google

ἤθους ἀγών, τὰ καλούμενα ἐπιφωνήματα, προστυχοῦσαί τινες αὐτόματοι φωναὶ ἠθικαί, καὶ παρ' οὗ καὶ τὸν ἔπαινον καρποῦνται γυμνὰ τὰ ἤθη φθεγγόμενοι· δέον καθόλου τούτοις διαγωνίζεσθαι, ὥσπερ σώματι ψυχήν, πλέοντας τὰ ἤθη τοῖς πράγμασιν. ἔτι τ' οὐχ ὑποτείνουσι τὸ ἓν μέγα ἦθος. ἔστι δὲ τοῦτο ἐκ φιλοσοφίας, οὗ τὰ ἄλλα πάντα κατὰ μέρος ἐξήρτηται, πρόσφορα τοῖς ἑκάστοτε ὑποκειμένοις προσώποις· παρ' ὃ καὶ μικρότεροι ἐν ταῖς τῶν ἠθῶν χρείαις εἰσὶν, ὁπόταν καὶ τὰ ἤθη μεταχειρίζωνται, οὐδαμοῦ τὸ μεγαλοπρεπὲς διασώζοντες, δέον τοῦτο φυλάττειν παντοχοῦ. ὥσπερ γὰρ ἐν ψυχῇ δεῖ τὸν λογισμὸν κρατεῖν, θυμὸν δὲ καὶ ἐπιθυμίαν τούτῳ ὑπακούειν, καὶ ὅσα γε θυμῷ πράττομεν, μετὰ λογισμοῦ θυμοῦσθαι, ὅσα δ' ἐπιθυμίαις χαριζόμεθα, μὴ ἄγαν ἀλογίστως χαρίζεσθαι· οὕτω δὲ δεῖ κἀν τῷ λόγῳ ἓν μὲν ἦθος ἐκεῖνο τὸ μέγιστον, ὃ ἐκ φιλοσοφίας, ὥσπερ λογισμὸν ὑποκεῖσθαι τῷ λόγῳ· τὰ δ' ἄλλα ἐπάγειν, τὰ θυμικὰ λέγω, καὶ τὰ οἰκτρὰ, καὶ τὰ ἀστεῖα, καὶ τὰ μικρὰ, καὶ τὰ ἐπίφθονα, πάντα ταῦτ' ἐκείνου ἐξηρτημένα, καὶ ἀλλήλοις συγκεκραμένα κατὰ τὸν τῆς χρείας λόγον.

2. Τοῦτο τὸ ἦθος Πλάτων ὑποθέμενος, καὶ τὰ τῶν σοφιστῶν, καὶ τὰ τῶν πολιτικῶν, καὶ τὰ τῶν δημιουργῶν, καὶ τὰ τῶν μειρακίων, καὶ τὰ τῶν ἀνδρῶν, καὶ τὰ τῶν πρεσβυτέρων, καὶ τὰ τῶν γυναικῶν, καὶ τὰ τῶν δούλων, καὶ τὰ τῶν ἐλευθέρων ἤθη, κατὰ λόγον τοῦτον συνέπλεξε. τοῦτο καὶ Δη-

Digitized by Google

μοσθένης ὑποθέμενος, δι' ὅλου μεγαλοπρεπής ἐστιν ἐν τοῖς λόγοις, ὁμοίως ἔν τε τοῖς συμβουλευτικοῖς τὸ τοῦ πολιτικοῦ ἦθος ὑποθέμενος, καὶ τὸ τοῦ κολακεύοντος τούτῳ συμπλέκων, καὶ διαφέρων τὴν δόξαν τοῦ συναγορεύοντος· ἐν οἷς πραχθῆναι συναγωνίζεται κατὰ μίμησιν τὴν Πλάτωνος. καὶ γὰρ ἐκεῖνος τὰ δόγματα οὐκ αὐτὸς ἀποφαίνεται, εἶτα περὶ αὐτῶν διαγωνίζεται· ἀλλ' ἐν μέσῳ τὴν ζήτησιν ποιούμενος πρὸς τοὺς διαλεγομένους, εὑρίσκων μᾶλλον τὸ δέον δόγμα, ἢ φιλονεικῶν ὑπὲρ αὐτοῦ φαίνεται, πλὴν ὅσα περὶ τῶν κρειττόνων, ἢ καθ' ἡμᾶς, λέγεται. τοῦτο καὶ Ὅμηρος πανταχῇ, παρ' ᾧ καὶ πάντα ἤθη, καὶ πάσας φαντασίας ἀπὸ τοῦ ἰσουμένου· καὶ ταύτῃ τῇ τέχνῃ μεταχειριζόμενος, πρὸς τὰς διαφορὰς τῶν ὑποκειμένων προσώπων ποιεῖται τὴν διάκρισιν.

3. Ταῦτα μὲν ἐν ἤθει πλημμελοῦμεν, τὸ μηδὲ ὅλως ζητεῖν· οἱ δὲ τὸ μὴ πάντα εὑρίσκειν· οἱ δὲ τὸ μὴ περὶ τὴν κρᾶσιν πραγματεύεσθαι· οἱ δὲ πλεῖστοι, καὶ σχεδὸν ἅπαντες, καὶ τὸ μὴ πρῶτον καὶ μέγιστον ἦθος ὑφίστασθαι, καὶ τὰ ἄλλα ἀκολούθως τούτῳ ἐπάγειν.

4. Περὶ γε γνώμην πρῶτον τὰ μέτρα οὐχ ὁρῶμεν· ἀλλ' οἱ μὲν πάντα διὰ βραχέων ἐπιτρέχουσι, δείξαντες ἕκαστα τῶν ζητουμένων, καὶ παρελθόντες, συντομίαν τινὰ τοῦτο νομίζοντες, τὴν ἀπόλειψιν τῆς τῶν πραγμάτων θεωρίας· οἱ δὲ, ὅπως πλεῖστα εἰς ἕκαστον τῶν ὑποκειμένων ζητημάτων ἐροῦσι, σκοποῦντες, οὐκ εἰδότες, ὅτι τὰ μὲν φύσει

Digitized by Google

ὁμολογούμενα, καὶ τὰ τοῖς ἤθεσι διεγνωσμένα, καὶ τὰ ἔθεσι κεκριμένα, βραχείᾳ ἀποφάσει τὴν ἰσχὺν ἔχει. ἐὰν δέ τις μηκύνῃ, ψυχρότερα καὶ ἀσθενέστερα αὐτὰ ἐξεργάζεται. περὶ δὲ τὰς τῶν νόμων ἐξετάσεις καὶ τὰς τούτων ἀποδείξεις ἡ πολλὴ πραγματεία ἀναγκαία τῷ ῥήτορι, ὅτε πολλάκις ἀγνοούμενά τε βραχέως δεῖ λέγειν, καὶ οἷς δεῖ μῆκος περιτιθέναι· καίτοι βραχὺς ὁ περὶ τούτων λόγος· ὡς τὰ ἰσχυρότατα βραχύτατα λεκτέον· τὰ δ' ἀσθενέστατά ἐστι, καὶ τὰ ἀγχώμαλα τὰ τῆς βοηθείας τοῦ ῥήτορος εἰς ῥοπὴν δεόμενα. ὅλως δ' οὔτε βραχέα, οὔτε πολλὰ, δεῖ ζητεῖν λέγειν, ἀλλὰ σύμμετρα πανταχοῦ, ζητοῦντας πρὸς τῇ συμμετρίᾳ πανταχοῦ καὶ τὴν ἀσφάλειαν· ἐπιθυμίᾳ δὲ τοῦ πολλὰ δοκεῖν εὑρίσκειν καὶ λέγειν, πολλὰ ἐν τοῖς λόγοις λυμαινόμεθα. ταῦτα μὲν καὶ περὶ τὴν γνώμην ἁμαρτήματα.

5. Ἀτεχνία δ' ἐν μελέταις αὕτη. πρώτη μέν, γυμνὴ τῶν κεφαλαίων πρόθασις πανταχοῦ, τὸ μὴ ἐπίστασθαι, μηδὲ προδιοικεῖσθαι, ὅπερ ἐστὶ προυνστῆσαι, ἢ προδιαβαλεῖν, μὴ τὰς τῶν προτάσεων μεθόδους· αἳ ἐπὶ τριῶν σχημάτων ἀγωνίζονται· ἢ ὡς εἰδότος τοῦ λέγοντος τὰ μέλλοντα λεχθήσεσθαι ὑπὸ τοῦ ἀντιδίκου· „Οἶδα τοίνυν, ὅτι ἐρεῖ, καὶ ἄλλα νὴ Δία ἐρεῖ·“ ἢ ὡς πυθομένου· „Πέπυσμαι τοίνυν αὐτὸν ἐρεῖν. Ἀπήγγειλε τοίνυν τίς μοι·“ ἢ ὡς στοχαζομένου, ὧν ἑκάστη τῶν προτάσεων κατὰ λόγον τέχνης προτείνεται. ὁ δὲ λόγος τῆς τέχνης οὗτω· περὶ ὧν θαῤῥοῦμεν λύσιν, ἐροῦμεν, „Εἰδέναι ἐροῦντα τὸν ἀντίδικον·“ περὶ ὧν ἀμφι-

Digitized by Google

βόλως ἔχομεν καὶ μέσως, „Εἰκάζειν" προσποιησόμεθα· ἃ δ' ἰσχυρὰ ὄντα τῷ ἀντιδίκῳ ἴσμεν, „Ταῦτα ἀκηκοέναι" φήσομεν· ἵνα μὴ δοκῶμεν συνειδέναι τὰ ἰσχυρὰ τοῖς ἐναντίοις.

6. Μία τοίνυν αὕτη ἀτεχνία, ὅπερ ἔφην, ἡ τῶν προτάσεων γυμνότης· ἣν καὶ τέχνην τινὲς διαιρέσεως νομίζουσιν. ἑτέρα δὲ, ἡ δοκοῦσα παρὰ τοῖς πολλοῖς τῆς τάξεως ἀκολουθία. τὸ καλὸν τοῦ προβλήματος, τὴν τάξιν διδόναι τοῖς καλουμένοις κεφαλαίοις· ἀλλὰ μὴ κατὰ τὴν χρείαν τοῦ ἀγῶνος διακοσμεῖν τὰς πίστεις, ἔνια καὶ μετατιθέντα, καὶ τάξιν τὸ συμφέρον ἡγούμενον· ἀλλὰ μὴ ὥσπερ στοιχείοις χρῆσθαι τοῖς κεφαλαίοις κατὰ τὴν τάξιν ἀπὸ τοῦ ᾱ ἕως ω̄, ἀλλὰ καθάπερ γραμματικὸν ἄνδρα πρὸς τὴν χρείαν τῶν ἀγώνων, ὥσπερ γράμματα πρὸς τὸ ᾱ πρὸς τὰ ὀνόματα, οὕτω καὶ τὰ κεφάλαια πρὸς τὰ πράγματα διακοσμεῖν. ἕτερον ἐκεῖνο, τὸ μηδαμοῦ συμπλέκειν τοῖς ἀσθενέσι τὰ ἰσχυρὰ, ἵνα τῇ τούτων ἰσχύϊ ἐκεῖνα ἐπικρύπτηται· ἔτι κἀκεῖνο, τὸ μηδαμοῦ τῶν λύγων ἐκβολὴν ποεῖσθαι μηδεμίαν καιροὺς ὑπερβαίνοντα, εἶτα πάλιν ἐπανιόντα· ὅπερ ποιοῦσιν οἱ παλαιοὶ, ἐν ἑτέρων καιρῶν ἀγῶσιν, ἑτέρων μνήμας ποιοῦνται, τεχνικῶς προδιοικούμενοι τὴν τῶν μελλόντων λεχθήσεσθαι πίστιν, καὶ παρόντα ὁμοῦ ταῖς ἐκείνων συμπλέκονται πίστεσιν. ἔτι κἀκεῖνο ἁμάρτημα, τὸ μηδὲν προδιοικεῖσθαι, μηδὲ πρότερον ἀποδεικνύναι, εἶτ' ἐπιφέρειν· ὅπερ ποιοῦσιν οἱ παλαιοὶ πολλὰ, καὶ μάλιστα Δημοσθένης κατὰ μίμησιν τῶν Πλάτωνος, εἰδὼς, ὅτι παν-

Digitized by Google

ταχοῦ προτεινόμενα τὰς κατασκευὰς ἀσθενεῖς ἔχει· προκατασκευασθέντα δὲ πιστὰ ἐπενεχθέντα φαίνεται. τί δεῖ λέγειν, ὅτι τὴν ἀναγκαίαν ἀκολουθίαν οὐχ ὁρῶμεν, ἣν φησι δεῖν Πλάτων προσθεῖναι τοῖς λόγοις; οὐ χύδην ὡς ἔτυχον βεβλῆσθαι τὰ ἐνθυμήματα, ἀλλ' εἶναι τὸν λόγον ἐοικότα σώματι ἐκ κεφαλῆς ἐπὶ πόδας ἔχοντι τὰ μέρη καὶ τὰ μέλη ἀλλήλοις τε πρέποντα καὶ τῷ ὅλῳ συστήματι τοῦ σώματος. τοῦτο μὲν παρίημι εὐθύνειν, ὅτι ἔοικε σπάνιον εἶναι. ὁπότε γὰρ καὶ Λυσίαν ἐπὶ τούτῳ ἐλέγχει, πᾶσαν τὴν ἡμετέραν ῥητορικὴν ἐοικεν ἐλέγχειν. τοῦτον δὲ τὸν ἔλεγχον τὸν τοῦ μὴ ἐπίστασθαι τὴν ἀναγκαίαν ἀκολουθίαν, μόνος Δημοσθένης ἐξέφυγε κατὰ μίμησιν τὴν Πλάτωνος· πῶς, καὶ τίνα τρόπον, ἐν τῷ περὶ μιμήσεως πειρασόμεθα. τοιαῦτα μὲν καὶ τοσαῦτά, καὶ ἔτι πλείω τούτων, τὰ τῆς ἀτεχνίας πλημμελήματα.

7. Περὶ δὲ τὴν λέξιν συχνὰ τὰ ἁμαρτήματα. οἱ μὲν γὰρ πάνυ εὐτελῶς φθέγγονται, καί φασι τὸ κατὰ φύσιν δὴ καὶ γνώριμον μεταδιώκειν, οὐκ εἰδότες, τί ἐν τῷ καλῷ μάλιστα γνώριμόν ἐστιν· ἐν δὲ τῷ ἀγοραίῳ τῆς λέξεως οὐδὲ τὸ σαφὲς, μή τί γε γνώριμον φαίνεται. τὸ γὰρ ἀγοραῖον οὔτε τὴν δήλωσιν ἀκριβῆ, οὔτε τὴν φαντασίαν ἐναργῆ παρέχεται. οὔτε τὸ παράσημον τῆς λέξεως ἀναγκάζονται, εἴ πού τι ἀνακεχωρηκὸς ὄνομα, ἢ ῥῆμα εἴρηται, τοῦτο θηρῶντες, καὶ παντοχοῦ φθεγγόμενοι, ἐπ' ἀρχαιότητι δή τινι σεμνυνόμενοι· γελοῖον πεπονθότες, εἴ γε μὴ λογίζονται, ὅτι τὰ βιβλία διὰ τῶν

Digitized by Google

γνωριμωτάτων ἀγωνίζεται, τὰ δ' ἀνακεχωρηκότα ταῦτα σπάνιά ἐστιν. οὐκοῦν ἀρχαΐζειν δοκοίη ὁ τὰ ὀλιγάκις εἰρημένα ἀρχαίοις λέγων, ἀλλ' ὁ τοῖς ἀεὶ λεγομένοις καὶ πανταχοῦ χρώμενος. ἀγνοῦσι δὲ καὶ τὴν χρῆσιν τῶν σπανίων ὀνομάτων, καθ' ἃς αἰτίας ἐστὶ τοῖς βιβλίοις· εἰσὶ δὲ αἱ αἰτίαι αὗται.

8. Πρώτη μὲν ἐκείνη· ἔνια τῶν ὀνομάτων τοῖς τότε καιροῖς συνήθη ἦν καὶ γνώριμα, ὧν νῦν ἡ χρῆσις ἐξερρύηκεν. ἐκεῖνοι μὲν οὖν ὡς γνωρίμοις ἐχρῶντο· ἡμεῖς δ' ἂν αὐτὰ εἰκότως ἐκκλίνοιμεν.

9. Δευτέρα αἰτία· ἔνια τῶν πραγμάτων τῷ μὴ πολλάκις συνήθη τοῖς ἀνθρώποις εἶναι, ἀήθη πάντα ἔσχε καὶ τὰ ὀνόματα, οἷον τὸ περὶ τοὺς ὀδόντας πάθος, ὅταν ὑπό τινος δριμέος, ἢ στρυφνοῦ, μὴ οἷοί τ' ὦσι τέμνειν οἱ ὀδόντες, ὥσπερ φρίττοντες. τοῦτο γὰρ σπανίως συμβαίνει· σπανία δὲ καὶ ἡ χρῆσις τοῦ ὀνόματος. ἡμεῖς δ' ἐγκυκλοῦμεν ἀεὶ τὰ τοιαῦτα ὀνόματα.

10. Τρίτη δ' αἰτία ἐκείνη· ἐνίοτε λέγουσι τὰ σπάνια τῶν ὀνομάτων κατὰ μίμησιν τὴν πρὸς ἑτέρους, καθάπερ ἐν ἰδέᾳ τινὶ κωμῳδίας. ἡμεῖς δ', οὔτε παίζοντες, οὔτ' ἀνάγκῃ κατακλειόμενοι, θηρῶμεν τὰ ὀλίγα ταῦτα ὀνόματα, ὀψιμαθίᾳ καὶ ἀπειροκαλίᾳ τοῖς αἰσχίστοις τῶν παθῶν περιπεπτωκότες. ἔτι κἀκεῖνο πλημμέλημα ἐν τῇ λέξει, τὸ ὑπὸ φιλοτιμίας πᾶσι χρῆσθαι τοῖς εἰρημένοις ὀνόμασι πανταχοῦ, τὸν καιρὸν μὴ προστιθέντα· οἷον λέγω ἱστορικόν που ὄνομα, διαλεκτικόν, ποιητικόν, ἐκ τραγῳδίας, ἢ κωμῳδίας, φθέγγεσθαι ὄνομα. ἔστι

Digitized by Google

δὲ τοῦτο παιδείας μὲν ἴσως ἔνδειξις, χρήσεως δ' ἄπειρία. δεῖ γὰρ διακρίνειν, τίνα δικανικά τε τῶν ὀνομάτων, τίνα διαλεκτικά, καὶ τίνα ἱστορικά, καὶ τίνα ποιητικά, ἑκάτερα τῆς ποιήσεως, καὶ ἐπιλέγεσθαι τὰ πολιτικὰ πανταχόθεν· εἰ δὲ μή, καὶ γελοῖοι καὶ ἐπίφθονοι φανούμεθα· οὐχ ὡς οὐκ ἔστι που καὶ διαλεκτικὸν ὄνομα καὶ ἱστορικὸν καὶ πολιτικὸν ἐν τοῖς ποιητικοῖς βιβλίοις, ἀλλ' ἐπίστασθαι δεῖ καὶ τὸν καιρὸν τῆς χρήσεως, καὶ τὴν διοίκησιν. ἔστι δὲ ὁ μὲν καιρὸς ἐκεῖνος, ὅταν ἐναργέστερόν τι ὄνομα ἢ ἀπὸ ποιήσεως, ἢ διαλεκτικῆς, ἢ ἱστορικῆς, χρῆσθαι, ὡς ὁ ῥήτωρ πρὸς τὴν ἐνέργειαν. ἡ δὲ διοίκησις ἐκείνη, τὸ προεξηγήσασθαι καὶ τοῖς προταχθεῖσιν, ἢ ἐπιφερομένοις, οὗσι γνωρίμοις ἀφανίσαι τὴν καινότητα τοῦ ὀνόματος, καὶ ὁμολογίᾳ χρῆσθαι, τοῦ τὸ ῥῆμα ἐξ ἄλλης ἰδέας λόγων εἶναι. ἱκανὴ γὰρ ὁμολογία καὶ παραμυθία τῆς καινότητος. ταῦτα καὶ ἔτι πλείω τούτων κατὰ λέξιν ἁμαρτάνομεν.

11. Ἀκόλουθος δὲ τῇ λέξει καὶ ὁ περὶ τῶν σχημάτων λόγος, ὅτι καὶ ἁπλάστως καὶ ἀσχηματίστως λέγουσιν, ὥσπερ καὶ ἀγοραίως, τοῖς ὀνόμασιν. οἱ δὲ καὶ πανταχόθεν σχήματα συνάγουσιν, ἀγνοοῦντες τὸν καιρὸν αὐτῶν, ὥσπερ καὶ τῶν ὀνομάτων. τοιαῦτα μέν τινα καθόλου λέγειν ἔχομεν, ἐν ἤθει, ἐν γνώμῃ, ἐν τέχνῃ, ἐν λέξει.

12. Φέρε δὴ κατὰ μέρος σκεψώμεθα ἀπὸ τῶν τῆς ὑποθέσεως στοιχείων τὰ ἐν ἑκάστῳ πλημμελήματα· ἔστι δὲ τὰ τῆς ὑποθέσεως στοιχεῖα τέσσαρα, προοίμιον, διήγησις, πίστεις, ἐπίλογοι.

Digitized by Google

13. Ἃ τοίνυν πλημμελοῦμεν ἐν προοιμίῳ μελετῶντες, ταῦτά ἐστι. πρῶτον μέν, οἷς εἰδόσι τοῖς δικασταῖς διαλεγόμεθα προοιμιαζόμενοι, γελοιότατον πάσχοντες· ἐπειδὴ προβάλλομεν πρὸ τῆς μελέτης τὴν ὑπόθεσιν, ἡγούμενοι, καὶ τὸν δικαστὴν, ὥσπερ τὸν ἀκροατὴν, ἐπίστασθαι τὸ πρόβλημα. δεῖ δ' ἐν τῷ προοιμίῳ καὶ παρανοίγειν τὸ πρᾶγμα ἐπὶ κεφαλαίων, προδηλοῦντα, περὶ ὧν ὁ ἀγὼν γενήσεται. ἔπειτα δὲ νόμον τινὰ προοιμίων ἐποιήσαντο τὰ προοίμια, οὐκ εἰδότες, ὅτι ἓν ἐξαρκεῖ· πολλάκις δὲ καὶ πλειόνων δεῖ. ἔτι τοίνυν πολλοὶ προκαταχρῶνται τοῖς κεφαλαίοις ἐν τοῖς προοιμίοις, οὐδὲν νοοῦντες, ὅτι τὰ προοίμια δεῖ σύστασιν μὲν εἶναι τῶν κεφαλαίων, οὐκ ἔστι δ' αὐτὰ κεφάλαια. ὅθεν καὶ τῶν ἀντιδίκων ὑπολήψεις ἐν προοιμίοις λαμβάνουσιν. ἔτι μέντοι καὶ λοιδορούμεθα παντα-χοῦ τοῖς ἀντιδίκοις προοιμιαζόμενοι· οὐκ εἰδότες οὐδὲ τοῦτο, ὅτι ῥήτωρ λοιδορίᾳ χρῆται ὡς πίστει, ἤτοι κατὰ ἤθους, ἢ κατὰ πραγμάτων χρείαν· ἡμεῖς δὲ παντα-χοῦ τοῖς ἀντιδίκοις προοιμιαζόμενοι λοιδο-ρούμεθα. ἔτι μέντοι ἓν σχῆμα τῶν προοιμίων ἡμῖν ἐστι, τὰ στρογγύλα καὶ τὰ περιφερῆ λέγειν προοί-μια· οὐκ ἴσμεν δὲ, ὅτι καὶ τὰ ἀποτεταμένα ἐστὶν ὡς ἐν διηγήσεως τρόπῳ. καὶ ἀπό παροιμίας που ἄρχεται προοίμιον· καὶ παράδειγμά που καὶ εἰ-κόνα προοίμιον ἔχει. πάντων δὲ τούτων τῶν ἀγνοη-μάτων, τὸ μὴ ἐπίστασθαι, τί τὸ κεφάλαιόν ἐστι τοῦ προοιμίου, καὶ τίς ἡ τέχνη ἐστί. τὸ δὲ κεφά-λαιον τοῦ προοιμίου, δόξα προσώπων τε καὶ πρᾶγ

Digitized by Google

μάτων· δεῖ γὰρ ἢ συστῆσαι, ἢ διαβαλεῖν, ἢ πρόσωπον, ἢ πρᾶγμα. ἡ δὲ τέχνη τοῦ προοιμίου, προδιοίκησις τοῦ πάντος ἀγῶνος. δεῖ γὰρ παρασκευάσαι τὸν ἀκροατὴν ἐν τῷ προοιμίῳ, ὡς συμφέρει τῷ ῥήτορι τούτῳ τὴν τοῦ παντὸς ἀγῶνος ἀκρόασιν ποιήσασθαι· ἐντεῦθεν καὶ τὰ μέτρα τῶν προοιμίων εὑρίσκομεν, καὶ τὰς διοικήσεις, καὶ τὰς πλάσεις, καὶ τὴν ἑρμηνείαν. ταῦτα μέν ἐστι κεφάλαια περὶ τῆς ἐν προοιμίοις πλημμελείας.

14. Διηγήσεις δὲ οἱ μὲν οὕτω βραχείας ποιοῦνται, ὥσπερ οὐ δέον μηκύναι τὴν ὑπόθεσιν· οἱ δὲ οὕτω μακρὰς, ὥστε καὶ συμπλέκειν καὶ κατασκευάς τινας καὶ αὐξήσεις. ἑκάτερον δὲ τούτων ἁμάρτημα. τό τε γὰρ μὴ σαφῶς διδάσκειν οὐκ ἂν εἴη διηγεῖσθαι· τό τε ἀπέραντα λέγειν, ἀλλὰ μὴ ἐν μέτρῳ τῆς διδασκαλίας τὸ πιθανὸν διοικεῖσθαι, κλέπτοντα τὴν ἀκρόασιν, ματαία καὶ ἄκαιρος ἡ τοιαύτη ἀδολεσχία. δεῖ δὲ τὸν ῥήτορα διηγεῖσθαι μέν, ὡς διδάσκοντα, πειρᾶσθαι δὲ πείθειν ἐν τῷ διδάσκειν, τὰ σαθρὰ καὶ τὰ ἰσχυρὰ, τά τε τοῦ ἐξ ἐναντίας, καὶ τοῦ αὐτοῦ πρὸς τὸ συμφέρον μεταχειριζόμενον. ἁμάρτημα δὲ καὶ τὸ πανταχοῦ διηγεῖσθαι, μὴ ἐπιστάμενον, ὅτι ὅλη μὲν ἰδέα συμβουλευτικὴ διηγήσεως οὐ δεῖται· ἴσασι γὰρ οἱ βουλόμενοι, περὶ ὧν σκοποῦνται, καὶ δέονται μαθεῖν, ὃ πρακτέον ἐστὶν, οὐχ ὅπερ βουλευτέον. εἰσὶ δὲ καὶ δίκαι διηγήσεις οὐκ ἔχουσαι· αὗται δὲ εἰσι καὶ τοῖς δικάζουσι τὸ πρᾶγμα γνώριμον ἔχουσι, καὶ τοῖς ἀντιδίκοις ὁμοίως ἀμφοτέροις ὁμολογούμενον. αὗται δὲ εἰσιν αἱ πλεί-

Digitized by Google

δυς τῶν πραγματικῶν ὑποθέσεων· τοῦτο δὲ ὑπὸ πράγματά ἐστι πολιτικά, ἐν οἷς αὐ δεῖ διηγεῖσθαι. ἄλλα μάταιον τὸ ἀνάλωμα τῶν λόγων, ὅπου τοῖς λέγουσιν ἀμφοτέροις ἡ διήγησις περιττή, καὶ πλέον οὐδὲν ἑκατέρων, οἷον ἀριστειῶν διηγήσεις· γελοῖα παντάπασιν, ὁμολογοῦνται γάρ· καὶ ἐκ παραβολῆς αἰτήσεις· οἷον, δύο στρατηγῶν ὁ μὲν τριακοσίους ἔλαβεν αἰχμαλώτους· ὁ δὲ τριακοσίους ἀνῄρηκεν· ἀμφισβητοῦσι τῆς δωρεᾶς. ἐνταῦθα γὰρ τὸ διηγεῖσθαι οὐδετέρῳ χρήσιμον· ἄλλως δὲ καὶ τὸ πεπραγμένον πᾶσι γνώριμον.

15. Ἐν δὲ τοῖς κεφαλαίοις, πρὸς τῇ ἄλλῃ τῇ εἰρημένῃ ἀτεχνίᾳ, καὶ τόδε τὸ πλημμέλημα, ἀλόγων τινῶν καὶ ἀπρεπῶν καὶ ἀπιθάνων κεφαλαίων συνήθεια, οἷς χρῶνται οἱ μελετῶντες, οὐκ ὄν χρησαμένων τῶν ὡς ἀληθῶς λεγόντων· ἃ καὶ καλοῦσι καθολικὰ κεφάλαια. ἐν μὲν τῇ συμβουλευτικῇ ἰδέᾳ τὸ· Οὐ δεῖ πόλεμον πρὸ εἰρήνης αἱρεῖσθαι· ἄλλοι μὲν τὸ ζητούμενον, καὶ τὸ Πότερόν τινας, καὶ τὸ Ἄχρι πόσου· ὧν ἡ ζήτησις ἐν τέσσαρσι τοῖς τῆς συμβουλῆς κεφαλαίοις, τῷ δικαίῳ, τῷ συμφέροντι, τῷ καλῷ, τῇ δυνάμει· ἐν δὲ ταῖς δικανικαῖς, τὸ δεῖν τὸν ἠδικευκότα, τὸν ἀνῃρηκότα τύραννον, δωρεὰν λαμβάνειν, ἐὰν θελήσῃ, πᾶσαν· ἐπειδὴ δὲ ὁ νόμος κελεύει. τοῦτο γάρ, πῶς οὐ παντάπασιν ἄλογον καὶ ἀναίσχυντον; ἀλλ' εἰ μὲν ζητεῖται, βούλεται τὸ, εἰ δίκαια καὶ πρέποντα αὐτῷ αἰτοῦντι λαβεῖν, καὶ τοῖς ψηφιζομένοις παρασχεῖν. ἔτι κἀκεῖνο, τὸ μὴ δεῖν τὸν στρατηγὸν τὸν ἄρχοντα, τῶν κατὰ μέρος εὐθύνας

Digitized by Google

ὑποσχεῖν. τοῦτο γὰρ σαφῶς ὁμολογεῖ ἀδικεῖν, τὸ μὴ πάντων ἀξιοῦν λόγον ὑποσχεῖν.

16. Φαίη τις ἄν, ἐκ περιουσίας ταῦτα λέγεσθαι· ἀλλὰ τοὺς πλείους τῶν λόγων ἐπ' αὐτοῖς ἀναλίσκουσιν. ἔπειτα εἰδέναι δεῖ καὶ περὶ τῶν ἐκ περιουσίας κεφαλαίων, τί τότε λεκτέον ἐστὶν, ὅταν χρήσιμον, καὶ μὴ πολὺ μᾶλλον βλάπτῃ. ἔτι κἀκεῖνο, τὸ μὴ δεῖν πατρὶ ἀποκηρύττοντι ἀντιλέγειν. τοῦτο πάντων γελοιότατον, τὸ ἥκοντα εἰς δικαστήριον κατηγορήσοντα παιδὸς, φάναι μὴ δεῖν ἀπολογεῖσθαι. μέγιστον δὲ καὶ ἀλογώτατον ἐκεῖνο, τὸ μὴ δεῖν ἐξ εἰκότων κατηγορεῖν· τοῦτο γὰρ παντάπασι στοχασμὸν ἀναιρεῖ, ὅπερ μέγιστον δικανικῆς ἰδέας μέρος. αἱ γὰρ πλεῖστοι δικανικαὶ ἐκ τῶν εἰκότων κρίνονται. ταῦτα καὶ ἄλλα τοιαῦτα κεφάλαια, ἐν ταῖς τῶν σοφιστῶν διατριβαῖς εἰθισμένα ἀγωνίζεσθαι, φευκτέα, εἰ μέλλει τις πρὸς ἀλήθειαν ῥητορεύειν.

17. Ταῦτα μὲν πρὸς τοῖς εἰρημένοις καὶ περὶ τῶν κεφαλαίων· ἐν οἷς κἀκεῖνο ἁμάρτημα, αἱ καλούμεναι ἐκφράσεις, πολλαχοῦ τὸν χειμῶνα γράφειν, καὶ λοιμοὺς, καὶ λιμοὺς, καὶ παρατάξεις, καὶ ἀριστείας. οὐ γὰρ ἐν τούτῳ ἐστὶ ἡ κρίσις τῆς δίκης, ἐν τῷ διαγράψαι τὸν χειμῶνα· ἀλλὰ καὶ ταῦτα ματαία ἐπίδειξις καὶ λόγου ἀνάλωμα. εἰσερρύη δὲ τοῦτο τὸ ἁμάρτημα ἐν ταῖς μελέταις, κατὰ ζῆλον τῆς ἱστορίας, καὶ τῶν ποιημάτων. ἀγνοοῦμεν γάρ, ὡς ἔοικεν, ὅτι ἱστορία μὲν πεζὴ, καὶ πολιτικοῖς ἱστορικὴ, τὰς ὕψεις τῶν ἀναγκαίων τοῖς ἀκούουσι παράγουσιν· ἀγὼν δὲ δικανικὸς μεμέτρηται πρὸς τὴν χρείαν.

Digitized by Google

καὶ οἱ μὲν ποιηταὶ καὶ ἱστορικοὶ τὰ συμβεβηκότα τύποις τισὶ καὶ προσώποις ἐκτυποῦσιν, ὡς ἐγένετο· οἱ δὲ μελετῶντες ῥήτορες, οὐκ ἔχοντες ὁμολογουμένην, οὐδὲ ἰδίαν, τὴν τῶν πραγμάτων ἰδέαν, αὐτοῖς ἀναπλάττουσι λοιμῶν, καὶ λιμῶν, καὶ χειμώνων, καὶ πολέμων ὄψεις, οὐ πάντων οὕτω συμβεβηκότων, ὡς αὐτοὶ λέγουσιν. ἔξεστι γοῦν καὶ τῷ ἀντιδίκῳ ἑτέρως αὐτὰ φράσαι, ἢ ὡς ἂν ὁ ἀντίδικος εἴπῃ. ὥσπερ οὖν ἔφην, καὶ ταῦτα μάταιον μῆκος λόγων. τοῦτο δὲ τὸ πάθημα ἀνθρώπων ἀγνοούντων, ὅτι καὶ ἐν τοῖς ἐπικαίροις τῶν ἀγώνων ἐστὶ φαντασία ἐκείνη ἱκανή, καὶ οὐ δεῖ ἔξωθεν λόγους φαντασίας ἐπικυκλεῖσθαι.

18. Περὶ δὲ ἐπιλόγων· ἡγοῦνται, τοὺς ἐπιλόγους, ὥσπερ ἐν δείπνῳ, τραγήματα εἶναι τῶν λόγων, καὶ ὥσπερ ἐπιφυλλίδας καὶ στωμύλματα· παρ' ὃ καὶ ἐπιφωνήματα καλοῦσι τὰ ἐν ἐπιλόγοις λεγόμενα· οὐκ εἰδότες, ὅτι, ὥσπερ τὸ προοίμιον διοίκησις τοῦ παντὸς ἀγῶνος, οὕτω καὶ ὁ ἐπίλογος βεβαίωσις, ἢ ἐπανάμνησις τῶν προαποδεδειγμένων πραγμάτων, ἢ ἐν ἠθῶν συστάσει παροξυνόντων ἡμῶν, ἢ οἰκτιζομένων, ἢ καὶ ἄλλα ὅσα ἤθη λόγων διάφορα τῷ ὑποκειμένῳ ἑκάστοτε ἀγῶνι.

19. Ταῦτα, καὶ ὅσα ἐκ τούτων ἤρτηται, τηρῶμεν ἐν ταῖς μελέταις πλημμελήματα. ἔτι δὲ καὶ τὴν παλαιότητα μὴ ἐν τῇ θέσει τῶν βιβλίων νομίζωμεν εἶναι, ἀλλ' ἐν τῇ χρήσει τῆς ὁμοιότητος. μίμησις γὰρ οὐ χρῆσίς ἐστι τῶν διανοημάτων, ἀλλ' ἡ ὁμολογία τῶν καιρῶν, ἔντεχνος μεταχείρησις. καὶ μιμεῖται τὸν Δημοσθένην, οὐχ ὅτι Δημοσθενικῶς· καὶ τὸν Πλά-

Digitized by Google

τινα ὁμοίως, καὶ τὸν Ὅμηρον· καὶ πᾶσα ἡ μίμησις ὧδε ἔχει, τέχνης ζῆλος, καταμαθὼν ἐνθυμημάτων ὁμοιότητα. μακρότερος ὁ περὶ μιμήσεως λόγος, ὃν ἀλλαχῇ μεταχειριούμεθα, τὸ δὲ νῦν ἔχον, τηρητέον τὰ ἐν μελέτῃ πλημμελήματα, ἐν ἤθει, ἐν γνώμῃ, ἐν τέχνῃ, ἐν λέξει, κατὰ πάντα μέρη τῆς ὑποθέσεως, κατὰ προοίμιον, διηγήσεις, πίστεις, ἐπιλόγους. ταῦτα περὶ τὰ φανερώτατα· πλείω δὲ τὰ ὑπολειπόμενα δείξουσιν αἱ συνουσίαι.

XI.

De Orationum examine.

Ὁ μέγιστος κίνδυνός ἐστι καὶ νέῳ καὶ μὴ νέῳ περὶ τὴν τῶν λόγων κρίσιν. ταῖς γὰρ ἡμετέραις δόξαις δίχα ἐπιστήμης εἰκῇ καὶ ἐπαινοῦμεν, ἃ ἔτυχεν ἑκάστοτε, καὶ ψέγομεν. καὶ διὰ τοῦτο συμβαίνει ταὐτὰ καὶ ἐπαινεῖσθαι καὶ ψέγεσθαι· οὐ μόγον ἄλλοτε ὑπ' ἄλλων, ἀλλὰ καὶ ταὐτὰ ὑπὸ τῶν αὐτῶν ποτὲ μὲν ἐπαινεῖσθαι, ποτὲ δὲ ψέγεσθαι. ὥσπερ γὰρ οἱ ἄπειροι τοῦ ἀριθμοῦ οὐδέποτε τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγουσιν, οὔτε πρὸς ἀλλήλους, οὔτε πρὸς ἄλλους· ἀλλ' ἡ ἀπειρία περιέχει τεκμήριον, τὴν ἀσυμφωνίαν· οὕτως ἀμέλει καὶ περὶ λόγους ἔχομεν οἱ πλεῖστοι. οὐδέποτε γὰρ τὰ αὐτὰ ἡμῖν δοκεῖ, ἀλλὰ ποτὲ μὲν ἐπαινοῦμεν ταῦτα, ἃ ποτὲ ἐψέγομεν, καὶ ἃ ἐψέξαμεν, ἐπαινοῦμεν. ψυχαγωγούμεθα γὰρ τῇ δόξῃ τῶν ἀποφαινομένων, ἢ πρὸς τὸ ἀξίωμα τῶν ἐκείνων ἀποβλέποντες, οὐκ οἰκείᾳ κρίσει χρώμενοι. δεῖ δὲ ὥσπερ κανόνα εἶναι κἀὶ στάθμην τινὰ καὶ

Digitized by Google

δοκίμιον ὡρισμένον, πρὸς ὃ τις ἀποβλέπων δυνήσεται τὴν κρίσιν ποιεῖσθαι, ἢ ἐπὶ τάδ', ἢ ἐπ' ἐκεῖνα. ὡς οὖν ἐμοὶ δοκεῖ, φράσων πρὸς ὑμᾶς, τέτταρα εἶναί φημι, ἀφ' ὧν τὴν δοκιμασίαν καὶ τὴν κρίσιν χρῆναι ποιεῖσθαι τῶν λόγων ἀξιῶ. ἔστι δὲ τὰ τέσσαρα ταῦτα, ἦθος, γνώμη, τέχνη, λέξις. σκεπτέον οὖν ἀεὶ ἡμῖν, περὶ ὧν ἢ ἀνέγνωμεν, ἢ ἠκούσαμεν, ἢ ὁπωσοῦν ἐτύχομεν, τί ὠφελεῖ, ἢ βλάπτει εἰς ἦθος, τί εἰς γνώμην, τί εἰς τέχνην, τί εἰς λέξιν. ἔξω τούτων οὐκ εἰσὶν ὅροι.

2. Τί ποτ' ἐστὶν, ὃ λέγω, μαθεῖν χρή. τὸ ἦθός φημι διπλοῦν εἶναι, κοινόν τε καὶ ἴδιον. πῇ διορίζω τὸ κοινὸν καὶ τὸ ἴδιον ἀπ' ἀλλήλων, φράσω. κοινὸν λέγω, τὸ φιλοσοφίας ἐχόμενον. ἔστι δὲ τοῦτο τί; τὸ εἰς ἀρετὴν προτρέπον, καὶ κακίας ἀπαλλάττον. ἴδιον δὲ λέγω, τὸ ῥητορικόν. ἔστι δὲ τοῦτο τί; τὸ πρέποντας καὶ προσήκοντας τοὺς λόγους ποιεῖσθαι περὶ τῶν ὑποκειμένων πραγμάτων τῷ λέγοντι αὐτῷ, καὶ τῷ ἀκούοντι, καὶ περὶ ὧν ὁ λόγος, καὶ πρὸς οὓς ὁ λόγος· ὅ τι ποτέ ἐστιν ὁ ἀγὼν τοῖς βιβλίοις πᾶσι καὶ τοῖς παλαιοῖς. τί οὖν περὶ τούτων λέγω; τὰ βιβλία μεστά ἐστι δικαίων ἠθῶν, ἀδίκων, σωφρόνων, ἀκολάστων, ἀνδρείων, δειλῶν, σοφῶν, ἀμαθῶν, πράων, ὀργίλων. ἔξεστιν οὖν καταλιπόντας τὰ ὀνόματα, ἐκλαβόντας ἤθη, φιλοσοφῆσαι τὰ τοῦ βίου πράγματα· καὶ τὰ μέν ἐστι μιμήσασθαι, τὰ δὲ φυγεῖν· οἷον, εἴ τις λαβὼν παρὰ Ὁμήρου τὸ ἦθος τοῦ Ἀλεξάνδρου λυμηναμένου ξένου οἰκίαν, καὶ ἁρπαγὴν ποιησαμένου ἀλλοτρίας γυναικὸς, μισοῖ μὲν τὸ

Digitized by Google

ἦθος, φυλάττοι δὲ καὶ τὴν ψυχήν, ὡς καὶ τὴν πατρίδα τούτῳ κατασκαφεῖσαν, καὶ τὸν οἶκον ἀνατραπέντα, καὶ μεγίστην τιμωρίαν καὶ παρὰ ἀνθρώπων καὶ ἐκ θεῶν γενομένην. πάλιν αὖ ἔστι πονηρὸν ἦθος τοῦ Πανδάρου συγχέοντος τοὺς ὅρκους· ἡ τιμωρία φαίνεται ἐπαξία τοῦ ἁμαρτήματος. Νέστορός που σωφροσύνη φαίνεται· τοῦτ' εἰς ἀρετὴν συντελεῖ. λέγει που ὁ Ζεὺς περὶ τοῦ Ἕκτορος, εὐσέβειαν αὐτῷ μαρτυρῶν·

Οὐ γάρ μοί ποτε βωμὸς ἐδεύετο δαιτὸς ἐΐσης,
Λοιβῆς τε κνίσσης τε· τὸ γὰρ λάχομεν γέρας ἡμεῖς.

καὶ ἂν καταλιπὼν τὰ ὀνόματα, ἐξετάσῃς τῶν ἠθῶν τὰς διακρίσεις, ὥσπερ ἐν θεάτρῳ, τῷ βίῳ διὰ τῶν βιβλίων πορεύσῃ. τοῦτο καὶ Πλάτων εἶπεν, ὅτι ἡ ποιητικὴ, μυρία τῶν παλαιῶν ἔργα κοσμοῦσα, τοὺς ἐπιγινομένους παιδεύει. παιδεία ἄρα ἐστὶν ἡ ἔντευξις τῶν ἠθῶν. τοῦτο καὶ Θουκυδίδης ἔοικε λέγειν, περὶ ἱστορίας λέγων· ὅτι καὶ ἱστορία φιλοσοφία ἐστὶν ἐκ παραδειγμάτων· „Ὅσοι δὲ βουλήσονται „τῶν τε γενομένων τὸ σαφὲς σκοπεῖν, καὶ τῶν μελ„λόντων ποτὲ αὖθις, κατὰ τὸ ἀνθρώπειον, τοιού„των καὶ παραπλησίων ἔσεσθαι, ὠφέλιμα." χρῆσθαι ταῖς παλαιαῖς ἱστορίαις, καὶ τοῖς παραδείγμασι τῶν ἠθῶν, ὡς ἱστορίᾳ τοῦ βίου. ταῦτα μὲν περὶ τοῦ κοινοῦ ἤθους, κακίας φυγὴ, καὶ ἀρετῆς κτῆσις.

3. Περὶ δὲ τοῦ ἰδίου ἤθους, ὃ ῥητορικὸν καλοῦμεν, καὶ τρόπον τινὰ οὗτος ὁ λόγος περὶ διαιρέσεώς ἐστι· περὶ οὗ μηδεὶς γέγραφε, μηδ' εἴρηκέ

Digitized by Google

ποτε. εἰ γὰρ ἀγῶνές εἰσι τῷ ῥήτορι δύο, ὁ τοῦ πράγματος, καὶ ὁ τοῦ ἤθους, πρεσβύτερος δὲ τοῦ ἤθους καὶ κυριώτερος, καὶ ὡς εἰπεῖν τῷ ῥήτορι μόνος ὁ τοῦ ἤθους ἀγών ἐστι. τὸ γὰρ πρᾶγμα οἰκείαν ὕλην εἰς χορηγίαν παρέχει· ἡ τῶν ἠθῶν θεωρία, ἀριθμῷ καταληφθεῖσα, διαίρεσιν ἠθῶν παραδίδωσι. συνέλωμεν οὖν, καὶ τὰ ἤθη ἀριθμῷ καταδησώμεθα, ὥστε μηδὲν ἡμᾶς δύνασθαι διαφυγεῖν. τὰ τοίνυν, ἴδια καὶ ῥητορικὰ ἤθη τούτοις διαιρεῖται, κατὰ ἔθνη, γένη, ἡλικίας, προαιρέσεις, τύχας, ἐπιτηδεύσεις. ἑπτὰ οὗτοι τόποι· τὸ γὰρ ἔθνος διπλοῦν, ἔκ τε τοῦ κοινοῦ παντὸς καὶ τοῦ ἰδίου.

4. Τί ποτέ ἐστιν, ὃ λέγω, διηγήσομαι. ζητητέον ἐστὶ, πότερον Ἕλλην ὁ λέγων, ἢ βάρβαρος καθόλου. πολλὴ γὰρ διαίρεσίς ἐστι καὶ διάκρισις Ἑλληνικοῦ ἤθους καὶ βαρβαρικοῦ. εὑρήσεις γὰρ ἀγροικότερα τὰ βαρβαρικὰ ἤθη καὶ τραχύτερά πως, καὶ ἔχοντά τινα αὐθάδειαν, ὥσπερ καὶ ὁ Πλάτων τὸν Αἰγύπτιον λέγοντα εἰσάγει· „Ὦ Σόλων, Σόλων, Ἕλ„ληνες ἀεὶ παῖδες ἐστέ· μάθημα δ' οὐδὲν ἔχετε „χρόνῳ πολιόν.“ ἐνταῦθα γὰρ καὶ ἡ τροπὴ τῶν ὀνομάτων δηλοῖ τὸ ἴδιον τῶν βαρβάρων. ὥσπερ ἀμέλει καὶ Ἡρόδοτος πεποίηκε διαλεγόμενον τὸν Κανδαύλην πρὸς τὸν Γύγην· „Ὦτα γὰρ τυγχάνει „ἀνθρώποισιν ἐόντα ἀπιστότερα ὀφθαλμῶν.“ οὐ γὰρ περὶ ἀκοῆς καὶ ὄψεως διελέχθη, ἀλλ' ἐπὶ τὰ μέρη τοῦ σώματος τὴν γνώμην μετήνεγκεν· ὡς καὶ τὸν τρόπον τῆς λέξεως βαρβαρικόν. καὶ ὁ λέγων, χρῆμα ἑωρακέναι παρὰ τοῖς Ἕλλησιν, ᾧ χρώμε-

Digitized by Google

νοι μαίνονται, τὴν γυμναστίαν τῶν ἀθλούντων λέγων· καὶ μανίας πόμα λέγων τὸν οἶνον.

5. Καὶ ὅλως τί δεῖ ταῦτα ἐπιλέγεσθαι; μεστὰ γὰρ τὰ βιβλία τῶν τοιούτων ἐστίν. ἴδιον οὖν ἐρεῖς τοῦ ἔθνους Ἑλληνικὸν, ἢ βάρβαρον τὸ ἦθος. ἀλλὰ θῶμεν εἶναι Ἑλληνικὸν, ἢ θῶμεν βάρβαρον, πάλιν κατὰ διαιρέσεις τῶν ἠθῶν· καὶ δεῖ συνεργεῖν ἀμφότερα, καὶ τὸν βάρβαρον καὶ τὸν Θρᾷκα τὸν φονικὸν, καὶ τὸν βάρβαρον καὶ τὸν Σκύθην τὸν σύντονον. πάλιν Ἑλληνικὸν θῶμεν τὸ ἦθος. ἔστω Ἕλλην· κοινὸν τὸ ἔθνος Ἑλλήνων. Ἕλλην Ἀθηναῖος, τορὸς, λάλος, σοφός· Ἕλλην Ἴων, ἁβρὸς, ἀνειμένος· Ἕλλην Βοιωτὸς, εὐήθης· Ἕλλην Θετταλὸς, διπλῶσαι ποικίλος. ἐντεῦθεν καὶ ἄνθρωποι φιλοσοφοῦντες τοῦτο καὶ αἰσθανόμενοι τῇ φύσει τῶν πραγμάτων τὰ ἔθνη λοιδορίας ποιοῦνται· οὐκ ἐχόντων τῶν ἐθνῶν τὰς λοιδορίας· ἀλλ' ἐκ τῶν ἐπιπολαζόντων ἠθῶν τοῖς ἔθνεσι τὰς βλασφημίας λαμβάνονται· ὡς καὶ Δημοσθένης οὐκ εἰσάγει ἰσχυρὸν εἶναι τὸν Θρᾷκα τοῦτον· καὶ ἡ διαβολὴ ἐν τῷ τὸν Θρᾷκα. καὶ τί δεῖ τὰ ἄλλα λέγειν; καὶ γὰρ ὁ Πλάτων φησὶ παγκάλως, ὅτι κατὰ τοὺς τοῦ οὐρανοῦ τόπους καὶ τῶν ἠθῶν αἱ κράσεις· καὶ διὰ τοῦτό τινας μὲν ἀνθρώπους εἶναί φησι πρὸς μαθήματα ὀξυτέρους, τοὺς περὶ τὴν Ἑλλάδα· τοὺς δὲ πρὸς ἀργυρισμὸν, τοὺς περὶ τὴν Φοινίκην καὶ Αἴγυπτον· ἄλλοι περὶ θυμὸν, ὅσοι τῶν βαρβάρων εἰσὶ πολεμοις ἀνακείμενοι. καὶ εἰκότως ταῦτα λέγει. καὶ γὰρ τὰ ἤθη φησὶν ἐνδύεσθαι τοὺς τόπους καὶ τοῖς ἔθνεσιν ἀπὸ

Digitized by Google

τῶν καθ' ἕνα. καὶ διὰ τοῦτο, ὅσα πολιτειῶν εἴδη, τοσαῦτα ἠθῶν εἴδη· ὡς τὰς πολιτείας ἀπὸ τῶν ἠθῶν, τά τ' ἤθη ἀπὸ τῶν πολιτειῶν γινόμενα. ὁρῶμεν οὖν ἀπὸ ἔθνους. διπλοῦν δὲ τὸ ἔθνος, Ἕλλην, ἢ βάρβαρος. μετὰ τὸ κοινὸν ἐρχόμεθα ἐπὶ τὸ ἴδιον. Ἀθηναῖος, ἢ Λάκων, ἢ Βοιωτὸς, ἢ Ἴων, ἢ Σκύθης, ἢ Θρᾷξ, ἢ Κελτὸς, ἢ ἀπ' Ἰβηρίας, καὶ Αἰγύπτιος· δεῖ οὖν συνελθεῖν τινι. εἶτα ἀπὸ γένους. τὸ γένος ἐστὶ τὰ τῆς συγγενείας ὀνόματα, πατὴρ βάρβαρος, καὶ βάρβαρος Κελτὸς, καὶ βάρβαρος Σκύθης· καὶ πατὴρ Ἕλλην· καὶ Ἕλλην, πατὴρ Δακεδαιμόνιος, καὶ [ὁ] πατὴρ Ἀθηναῖος.

6. Δεῖ προσελθεῖν τούτοις καὶ ἡλικίαν, καὶ τὰ τέσσαρα ἂν γενέσθαι. πατὴρ, βάρβαρος, Σκύθης, νέος. οὐ γὰρ τὰ αὐτὰ ἤθη διασώζονται νέοι καὶ πατέρες ὄντες, καὶ πρεσβύται γενόμενοι, ἀλλὰ γίνεται τὰ μὲν τῶν πρεσβυτέρων ἤθη μαλακώτερα, τὰ δὲ τῶν νεωτέρων ἀκμαιότερα. ὡσαύτως καὶ εἰ ἀδελφὸν λέγοις, καὶ εἰ γυναῖκα λέγοις, καὶ εἰ ἄνδρα, καὶ εἰ υἱόν. ἐνταῦθα τὸ οἰκεῖον πάθος τῆς προαιρέσεως ἐξετάζεται. φιλόστοργος, ἀλλὰ ταχὺς, ἀλλὰ σκληρὸς, ἀλλὰ φιλάργυρος, ἀλλὰ ἀνειμένος. ἡ προαίρεσις συντρέχει παντὶ ἤθει. εἶτ' ἀπὸ τύχης, εὖ πράττων, κακῶς πράττων. οὐ γὰρ ταῦτα ἤθη ἐστὶν, ἀλλὰ ἡ τύχη ῥυθμίζει. εἶτα καὶ ἐπιτήδευσις· ἔστι γοῦν καὶ ἀπὸ ἐπιτηδευμάτων· οἱ στρατιῶται ἔχουσί τι ἀπὸ τῆς στρατιωτικῆς, οἱ ἰατροὶ ἀπὸ τῆς ἰατρικῆς, οἱ ῥήτορες ἀπὸ τῆς ῥητορικῆς, καὶ οἱ γεωργοὶ ἀπὸ τῆς γεωργικῆς. εὑρήσεις τὸν ἰατρὸν διαλεγόμενον λέγον-

Digitized by Google

τα· „Δεῖ τοῦτο ἐκκαθᾶραι, ἐκτεμεῖν αὐτό.“ εὑρήσεις τὸν μουσικὸν λέγοντα· „Παρὰ μέλος λέγεις, „οὐ συνᾴδει τὰ λεγόμενα.“ παρὰ τῷ Πλάτωνι ὁ Δημόδικος λέγει πρὸς Σωκράτην· „Ἐμοὶ γάρ, ὦ „Σώκρατες, ἢ τούτου τοῦ παιδὸς εἴτε φυτείαν, εἴτε „παιδοποιΐαν, χρὴ φάναι:“ τοῦτο δὲ οὐ χρὴ νομίζειν, ὅτι μεγάλῃ τῇ φωνῇ χρῆται ὁ Πλάτων, ἀλλ' ἐπειδὴ ὁ Δημόδικος ἐργατικὸς καὶ γεωργός, φωνὰς ἀφίησι τῆς τέχνης.

7. Ταῦτα τὰ ἑπτὰ ἤθη ἓν γενέσθαι δεῖ. οὕτως εὑρήσεις καθ' ἕκαστον ῥῆμα ὑποθέσεως προβαλλομένης ἠθῶν συναγωγάς· πένης καὶ πλούσιος ἐχθροὶ ἐκ πολιτείας. εὑρήσεις ἐν τῷ πένητι ἦθος, ἐν τῷ πλουσίῳ ἦθος, ἐν τοῖς ἐχθροῖς ἦθος, ἐν τῷ ἐκ πολιτείας ἦθος. οὐ γὰρ ἡ αὐτὴ ἐστιν ἔχθρα ἐξ ἰδιωτικῶν πραγμάτων καὶ ἐκ πολιτικῶν, ἀλλ' ἔξεις τὸ φρόνημα ἑκατέρου ἀξιοῦντος διαλέγεσθαι τῷ δήμῳ. εἶτ' εἰ πατήρ ἐστιν αὐτῶν τις, ἢ οὐ πατήρ, εἶτα πόλεμος κατέλαβεν, εἶτα μετὰ τὸν πόλεμον ἀριστεῖα, ἢ πταῖσμα· εἶτ' αἰτήσεις καὶ κρίσεις· εὑρήσεις καθ' ἕκαστον ὄνομά τῆς πλοκῆς ἓν ἐν ταῖς ἀποθέσεσι γένεσιν ἤθους ἀναγκαίου. καὶ οὗτός ἐστιν ὁ διαιρετικὸς τῶν ἠθῶν ἀκριβής, ὁ μηθὲν ἦθος παραλιπών. ἂν γὰρ τὸν μὲν πατέρα δείξῃς, τὸν δὲ πολιτικὸν μὴ δείξῃς, ἢ τὸν μὲν πολιτικὸν δείξῃς, τὸν δὲ πατέρα μὴ δείξῃς· ἢ πάλιν, ἂν μὲν τὸν πατέρα δείξῃς, τὸν δὲ στρατηγὸν μὴ δείξῃς, ἂν τὸν μὲν ἠρισευκότα δείξῃς, τὸν δὲ λιπόντα τὴν τάξιν μὴ δείξῃς· ἂν μὴ δείξῃς κατὰ τύχας, καὶ προδιαιρέσεις, καὶ γένη, καὶ

Digitized by Google

ἔθνη, τὰς διαφορὰς τῶν ἠθῶν, καὶ ὅσα ἄλλα ἠριθμήσαμεν, οὐ πληροῖς τὸ ἦθος. πάντα γὰρ ταῦτα, ὅσα ἠριθμήσαμεν, καλεῖται μὲν ἤθη, γίνεται δ' ἦθος. ἡ γὰρ τέχνη τῆς διαιρέσεως, ὡς φησιν ὁ Πλάτων, διαιρέσεις καὶ συναγωγαὶ, δεῖξαι, τὰ εἴδη πόσα ἐστὶ καὶ πόσας ἔχει τομὰς, καὶ πάντα συναγαγεῖν εἰς ταὐτό. τοῦτο γάρ ἐστι διαιρέσεως τέχνη, ἓν πολλὰ, πολλὰ ἕν. ἔχομεν τὸ ἦθος, ἐρχώμεθα ἐπὶ τὴν γνώμην.

8. Ἡ γνώμη τριπλῆν ἐξέτασιν ἔχει, μὴ περιττὰ, μὴ ἐλλείποντα, μὴ ἐναντία. τὰ περιττὰ, φλυαρία· τὰ ἐλλείποντα, ἀσθενῆ· τὰ ἐναντία, κίνδυνος. Ὅμηρος ταῦτα ἐπεσημήνατο·

Θερσίτης δ' ἔτι μοῦνος ἀμετροεπὴς ἐκολώα.

τῆς ἀκαίρου περιττότητος ἡ αἰτία. ἐὰν γοῦν τοῦ Θερσίτου παρέλῃς δύο ἔπη, Νέστορος γίνεται δημηγορία. τὰ δὲ δύο ἔπη τίνα ἐστιν, Ὅμηρός σοι λέγει·

Ἀλλ' ᾧ τι οἱ εἴσαιτο γελώϊον Ἀργείοισιν
Ἔμμεναι. —

ὅτι τῶν λεγομένων γελοῖόν ἐστιν, ἀλαζονευομένου ἐκείνου ἐπὶ τῇ δυνάμει τοῦ σώματος καὶ τῇ ἀρετῇ, καὶ ὑβρίζοντος ἐν τῇ παῤῥησίᾳ τῇ ἀκράτῳ. ταῦτ' ἂν περιέλῃς, τὰ λοιπὰ ἰσχυρά ἐστι. τοῦτο καὶ ἡ Ὁμήρου τέχνη. ἐπειδὴ γὰρ ἐῶρα τὸ στρατόπεδον ἀγανακτοῦντας ὑπὲρ Ἀχιλλέως πρὸς Ἀγαμέμνονα, καὶ διὰ τοῦτο οὐ προθύμως ἔχοντας συμμαχεῖν, ἀλλ' ἀπαλλακτικῶς ἐπὶ τῶν πατρίδων, ἠθέλησε λῦσαι τὰ ὑπὲρ Ἀχιλλέως δίκαια. ἀνέστησεν οὖν αὐτῷ συνήγορον, ἐπίφθονον, γελοῖον, ἵν' ἐν τῇ τοῦ

Digitized by Google

συνηγόρου κακίᾳ ἀφανισθῇ τὸ δίκαιον τοῦ πράγματος.

Ἔχθιστος δ' Ἀχιλῆϊ μάλιστ' ἦν, ἠδ' Ὀδυσῆϊ.
Τὼ γὰρ νεικείεσκε· τόν τ' αὖτ' Ἀγαμέμνονι δίῳ
Ὀξέα κεκληγὼς λέγ' ὀνείδεα. —

τί οὖν ἐστι τὸ θρασὺ αὐτοῦ καὶ ἡ περιττότης τοῦ ἤθους, καὶ ἡ ἀκαιρία τίς;

—. τῷ δ' ἄρ' Ἀχαιοὶ
Ἐκπάγλως κοτέοντο νεμέσσηθέν τ' ἐνὶ θυμῷ.

εἰ μὴ γελοῖος καὶ ἄξιος μίσους ἦν, ἰσχυρὰ τὰ λεγόμενα ὑπὲρ Ἀχιλλέως. διὰ τοῦτο καὶ γέλως τοῖς Ἕλλησι γίνεται, καὶ ἐκ τοῦ γέλωτος διάλυσις τῆς σπουδῆς τῆς εἰς τὰς πατρίδας. ἀπὸ γὰρ ἐκείνης τῆς σκυθρωπότητος ἡ μεταβολὴ διὰ τὸ γενόμενον παρέσχεν εἰρηναίαν τὴν ψυχήν. ὥστ' ἤδη μάθημα μανθάνομεν μέγα καὶ λαμπρόν, μὴ ἐν τῷ πλήθει τῶν λεγομένων ἡγεῖσθαι τὴν ἀρετὴν τῆς ῥητορικῆς. τὰ ἐλλείποντα πῶς; οὕτω πως εἶπε περὶ τοῦ Μενελάου·

Παῦρα μὲν, ἀλλὰ μάλα λιγέως· ἐπεὶ οὐ πολύμυθος.

τὸ γὰρ „Παῦρα μὲν" τοιοῦτόν ἐστιν, οἷον οὐκ ἐντελῶς τῷ ἀγῶνι. τὸ δὲ μὴ ἐναντία, ὅπερ καὶ Ἰσοκράτης ἐπήνεσε, δικανικοῦ λόγου, ὡς δεῖ ἔχειν, καὶ ἐπιδεικτικοῦ διαίρεσιν λέγων, ὅτι δεῖ τὸν μὲν ἔχειν ἀσφαλῶς, τὸν δ' ἐπιδεικτικῶς. καὶ Ὅμηρος δ' εἶπε·

— ὁ δ' ἀσφαλέως ἀγορεύει·

τοῦτο δέ ἐστι τὸ διὰ τῶν ὁμολογουμένων, ὃ περὶ τῶν ὁμολογουμένων ἀμφισβητήσιμα λέγων, ἀλλὰ καὶ τῇ ἀποδείξει τῶν ὁμολογουμένων ἀμφισβητού-

Digitized by Google

μενον λύειν δυνάμενος. τοῦτο καὶ Ξενοφῶν καὶ Πλάτων λέγουσι περὶ Σωκράτους, ὅτι διὰ τῶν ὁμολογουμένων ἐπορεύετο, ἐπεὶ διδάσκειν ἐβούλετο. γίγεται οὖν ταῦτα τρία ἀκαίρως, μὴ περιττὰ, μὴ ἐλλείποντα, μὴ ἐναντία. κάλεσον αὐτὰ δυσὶν ὀνόμασιν, μέτρον, καὶ ἀσφάλειαν. τὸ γὰρ μὴ περιττὰ, μηδὲ ἐλλείποντα, μέτρου ὄνομα· τὸ δὲ μὴ ἐναντία, ἀσφαλείας.

9. Τρίτος ἡμῖν στόλος ἐστὶ τοῦ λόγου ἐπὶ τὴν τέχνην. εἴπομεν γὰρ ἤδη περὶ ἤθους καὶ γνώμης· πρῶτον τὴν ὑπόνοιαν, εἰ ἄν τις ἀμφισβητήσαι, ἐκκαθάρωμεν. ἡ δ' ὑπόνοια τίς; οἰηθείη ἄν τις εἰπεῖν, μὴ περιττὰ λέγοι, μήτ' ἐλλείποντα, μήτ' ἐναντία, τεχνίτην αὐτὸν, ἢ τὸν αὐτὸν εἶναι. τί οὖν πλέον ἡ τέχνη ἐστὶ τῆς περὶ τὴν γνώμην ἀσφαλοῦς πραγματείας; πολὺ τὸ πλέον. ἡ μὲν γὰρ γνώμη τὸ τῷ πράγματι χρήσιμον ἔχει τὸ εἰς ἀπόδειξιν· ἡ δὲ τέχνη τὸ πιθανὸν τοῖς ἀκούουσιν. ὥσπερ ἐν ἰατρικῇ, εἴ τις τὴν μὲν γνώμην λέγοι, τὸ „Δεῖν τεμεῖν." ἢ τὸ „Δεῖν φαρμακοποσίᾳ χρῆσθαι·" τὴν δὲ τέχνην λέγοι, τὸ „Κρύψαι τὸ σίδηρον, τὸ φάρμακον ἐν τοῖς „γλυκέσι καὶ τοῖς συντρόφοις σιτίοις παρέχειν." αὕτη ἡ τέχνη μετὰ τὴν γνώμην ἐστὶ, πῶς ἂν συναγάγῃς ἦθος καὶ τὴν γνώμην τέχνῃ·

Ὡς δ' ὅταν ὠδίνουσαν ἔχῃ βέλος ὀξὺ γυναῖκα
Δριμὺ, τό τε προϊεῖσι μογοστόκοι Εἰλείθυιαι·
δεύτερόν·

Ἥρης θυγατέρες πικρὰς ὠδῖνας ἔχουσαι.

τρίτον τέταρτόν ἐστιν, οὗ ἐπανέρχεται ἐπὶ τὸ πρῶτον·

Digitized by Google

Ὡς ὄξει' ἀδῦναι δῦνον μένος Ἀτρείδαο.

οὕτω καὶ Θουκυδίδης· „Ἐκ δὲ τεκμηρίων, ὧν ἐπὶ „μακρότατον σκοποῦντί μοι πιστεῦσαι ξυμβαίνει, „οὐ μεγάλα νομίζω γενέσθαι." εἶτα τὸ τεκμήριον πόσα ἔχει ὀνόματα; τεκμήριον, μαρτύριον, σημεῖον, παράδειγμα. προβὰς ἐρεῖ μαρτύριον· σημεῖον δέ· „Δήλου γὰρ καθαιρομένης ὑπὸ Ἀθηναίων." πάλιν προελθὼν ἐρεῖ· „Καὶ παράδειγμα τόδε τοῦ λόγου „οὐκ ἐλάχιστόν ἐστι." καὶ πάλιν προελθών· „Ση- „μεῖον δέ ἐστι ταῦτα τῆς Ἑλλάδος ἔτι οὕτω νεμό- „μενα." καὶ ὅταν πᾶν εἴπῃ, ἐπὶ τὸ πρῶτον, πάλιν ἐπὶ τὸ δεύτερον· καὶ ὅλως ἡ χρεία τὸν ἀριθμὸν ἀνακαλέσεται. τοῦτο τὸ πολλοστῶς ἐστιν εἰπεῖν· ἕπεται τούτῳ τὸ ποικίλως. διαφέρει δὲ τὸ ποικίλως τοῦ πολλοστοῦ, τῷ τῶν ἰδεῶν.

10. Τῆς λέξεώς ἐστι διαφορὰ καὶ κρίσις φαύλων ὀνομάτων· τοῦτο δικανικὸν ὄνομα, τοῦτο ἱστορικὸν, τοῦτο διαλεκτικὸν, τοῦτο κωμικόν. καὶ πάλιν μετὰ τὰς ἰδέας, τοὺς ἄνδρας ἐπανελθεῖν· κωμικὸν, τοῦτ' Ἀριστοφάνειον· κωμικὸν, τοῦτο Κρατίνειον, τοῦτ' Εὐπολίδειον, [τοῦτ' Εὐριπίδειον,] τοῦτο Μενάνδρου· εἶτα δικανικὸν, τοῦτο Λύσιον, τοῦτο Δημοσθενικόν· Αἰσχίνῃ πρεπωδέστερον τοῦτο ὄνομα, Ἀντιφῶντι τοῦτο σύνηθες μᾶλλον· τοῦτο τὸ ποικίλως ἐστί. αὕτη ἐστὶν ἡ θεωρία, καθ' ἣν ἐξετάζεται βιβλίων ἀκροάσει πᾶς λόγος, μετὰ ἀσφαλείας πορευομένης τῆς ἐξετάσεως. ζητήσεις γὰρ τί ὠφελεῖ, ἢ βλάπτει τὰ ἀνεγνωσμένα, ἢ εἰρημένα, ἢ ἠκουσμένα, εἰς ἦθος, γνώμην, τέχνην, λέξιν. τὸ ἦθος διπλοῦν,

Digitized by Google

κοινὸν καὶ ἴδιον. κοινὸν μέν, τὸ εἰς ἀρετὴν προτρέπον, καὶ κακίας ἀποτρέπον· ἴδιον δὲ, τὸ προσήκοντας καὶ πρέποντας τοὺς λόγους τῷ τε λέγοντι καὶ τοῖς ἀκούουσι, καὶ περὶ ὧν ὁ λόγος, καὶ πρὸς οὓς ὁ λόγος, παρέχεσθαι. γίνεται δὲ τοῦτο ἐν τοῖς ἀριθμοῖς, οἷς εἴπομεν, τοῖς ἑπτά. εἶτα ἡ γνώμη μέτρῳ καὶ ἀσφαλείᾳ ἐπὶ τῶν τριῶν ἀριθμῶν· εἶτα ἡ τέχνη, ἡ κράσις ἠθῶν καὶ πραγμάτων· εἶτα ἡ λέξις, τὸ σαφῶς καὶ καθαρῶς, τὸ πολλοστῶς καὶ ποικίλως. οὗτος ὁ περὶ τῶν λόγων ἐξετάσεως λόγος.

Digitized by Google

ΔΙΟΝΥΣΙΟΥ
ΤΟΥ
ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ
ΤΩΝ
ΑΡΧΑΙΩΝ ΚΡΙΣΙΣ.

I.

Ἔτι δεῖ τοῖς τῶν παλαιῶν ἐντυγχάνειν συγγράμμασιν, ἵν' ἐντεῦθεν μὴ μόνον τῆς ὑποθέσεως τὴν ὕλην, ἀλλὰ καὶ τὸν τῶν ἰδιωμάτων ζῆλον χορηγηθῶμεν. ἡ γὰρ ψυχὴ τοῦ ἀναγινώσκοντος, ὑπὸ τῆς συνεχοῦς παρατηρήσεως, τὴν ὁμοιότητα τοῦ χαρακτῆρος ἐφέλκεται. ὁποῖόν τι καὶ γυναῖκα ἀγροίκου παθεῖν ὁ μῦθος λέγει. Ἀνδρὶ, φησὶ, γεωργῷ τὴν ὄψιν αἰσχρῷ παρέστη θεός, μὴ τέκνων ὁμοίων γένηται πατήρ· ὁ φόβος δ' αὐτὸν οὗτος εὐπαιδίας ἐδίδαξε τέχνην. καὶ εἰκόνας πλάσας, οἶμαι, εὐπρεπεῖς, ὡς αὐτὰς βλέπειν εἴθισε τὴν γυναῖκα· καὶ μετὰ ταῦτα συγγενόμενος αὐτῇ, τὸ κάλλος εὐτύχησε τῶν εἰκόνων. οὕτω καὶ λόγων. μιμήσεων ὁμοιότης τίκτεται, ἐπὰν ζηλώσῃ τις, ὃ παρ' ἑκάστῳ τῶν πολλῶν βέλτιον εἶναι δοκεῖ· καθάπερ ἐκ πολλῶν ναμάτων εἴ τις κομίσας δεῦμά τι, εἰς τὴν ψυχὴν μετοχετεύσει.

Digitized by Google

καί μοι παρίσταται πιστώσασθαι τὸν λόγον τοῦτον ἔργῳ. Ζεῦξις ἦν ζωγράφος, καὶ παρὰ Κρστωνιατῶν ἐθαυμάζετο· καὶ αὐτῷ, τὴν Ἑλένην γράφοντι γυμνὴν, γυμνὰς ἰδεῖν τὰς παρ' αὐταῖς ἔπεμψαν παρθένους· καὶ πολλῶν μερῶν συλλογίσαντι συνέθηκεν ἡ τέχνη τέλειον καλόν. ἰδοὺ πάρεστι καὶ σοι, καθάπερ ἐν θεάτρῳ, καλῶν σωμάτων ἰδέας ἐξιστορεῖν, καὶ τῆς ἐκείνων ψυχῆς ἀπανθίζεσθαι τὸ κρεῖττον· καὶ τὸν τῆς πολυμαθείας ἔρανον συλλέγοντι, οὐκ ἐξίτηλον χρόνῳ γενησομένην εἰκόνα τυποῦν, ἀλλ' ἀθάνατον τέχνης κάλλος, ἵνα τ' ἐκθήλους καὶ σαφεῖς τοῖς ἀκροωμένοις τὰς ἐκλογίας ἔχῃ τὸ μίμημα.

II.

DE POETIS.

Ὅμηρος.

Τῆς μὲν Ὁμηρικῆς ποιήσεως οὐ μίαν τινὰ τοῦ σώματος μοῖραν, ἀλλ' ἐκτύπωσαι τὸ σύμπαν, καὶ λάβε ζῆλον ἠθῶν τε τῶν ἐκεῖ καὶ παθῶν, καὶ μεγέθους, καὶ τῆς οἰκονομίας, καὶ τῶν ἄλλων ἀρετῶν ἁπασῶν εἰς ἀληθῆ τὴν παρά σοι μίμησιν ἠλλαγμένων. τοὺς δ' ἄλλους, ἐν οἷς ἀλλήλων πλέον ἔχουσι, χρὴ μιμεῖσθαι.

Ἡσίοδος.

2. Ἡσίοδος μὲν γὰρ ἐφρόντισεν ἡδονῆς, καὶ ὀνομάτων λειότητος, καὶ συνθέσεως ἐμμελοῦς.

Ἀντίμαχος.

3. Ἀντίμαχος δ' εὐτονίας, καὶ ἀγωνιστικῆς τραχύτητος, καὶ τοῦ συνήθους τῆς ἐξαλλαγῆς.

Digitized by Google

ΠΑΝΤΑΣΙΣ.

4. Πανύασις δὲ τὰς τ' ἀμφοῖν ἀρετὰς ἠνέγκατο, καὶ αὐτῶν πραγματείᾳ καὶ τῇ κατ' αὐτὰν οἰκονομίᾳ διήνεγκεν.

ΠΙΝΔΑΡΟΣ.

5. Ζηλωτὸς δὲ καὶ Πίνδαρος ὀνομάτων καὶ νοημάτων εἵνεκα, καὶ μεγαλοπρεπείας καὶ τόνου, καὶ περιουσίας καὶ κατασκευῆς, καὶ δυνάμεως καὶ πικρίας μετὰ ἡδονῆς· καὶ πυκνότητος καὶ σεμνότητος, καὶ γνωμολογίας καὶ ἐνεργείας, καὶ σχηματισμῶν, καὶ ἠθοποιΐας, καὶ αὐξήσεως καὶ δεινώσεως· μάλιστα δὲ τῶν εἰς σωφροσύνην καὶ εὐσέβειαν καὶ μεγαλοπρέπειαν ἠθῶν.

ΣΙΜΩΝΙΔΗΣ.

6. Σιμωνίδου δὲ παρατήρει τὴν ἐκλογὴν τῶν ὀνομάτων, τῆς συνθέσεως τὴν ἀκρίβειαν· πρὸς τούτοις, καθ' ὃ βελτίων εὑρίσκεται καὶ Πινδάρου, τὸ οἰκτίζεσθαι μὴ μεγαλοπρεπῶς, ἀλλ', ὡς ἐκεῖνος, παθητικῶς.

ΣΤΕΣΙΧΟΡΟΣ.

7. Ὅρα δὲ καὶ Στησίχορον ἔν τε τοῖς ἑκατέρου τῶν προειρημένων πλεονεκτήμασι κατορθοῦντα, οὐ μὴν ἀλλὰ καὶ ὧν ἐκεῖνοι λείπονται κρατοῦντα. λέγω δὲ τῆς μεγαλοπρεπείας τῶν κατὰ τὰς ὑποθέσεις πραγμάτων, ἐν οἷς τὰ ἤθη καὶ τὰ ἀξιώματα τῶν προσώπων τετήρηκεν.

ΑΛΚΑΙΟΣ.

8. Ἀλκαίου δὲ σκόπει τὸ μεγαλοφυὲς καὶ βραχὺ, καὶ ἡδὺ μετὰ δεινότητος, ἔτι δὲ καὶ τοὺς σχηματι-

Digitized by Google

σμοὺς, μετὰ σαφηνείας, ὅσον αὐτῆς μὴ τῇ διαλέκτῳ τι κεκάκωται· καὶ πρὸ ἁπάντων τὸ τῶν πολιτικῶν πραγμάτων ἦθος. πολλαχοῦ γοῦν τὸ μέτρον τις εἰ περιέλοι, ῥητορικὴν ἂν εὕροι πολιτείαν.

9. Ἴωμεν ἐπὶ τοὺς τραγῳδοὺς, οὐκ ἐπειδὴ μὴ προσήκει πᾶσι τοῖς ποιηταῖς ἐντυγχάνειν, ἀλλ' ἐπεὶ μὴ πάντων καιρὸς ἐν τῷ παρόντι μεμνῆσθαι· τὸ δὲ τῶν ἐξαιρέτων ἱκανόν ἐστι.

ΑΙΣΧΥΛΟΣ.

10. Ὁ δ' οὖν Αἰσχύλος, πρῶτος καὶ τῆς μεγαλοπρεπείας ἐχόμενος, καὶ ἠθῶν καὶ παθῶν τὸ πρέπον εἰδὼς, καὶ τῇ τροπικῇ καὶ τῇ κυρίᾳ λέξει διαφερόντως κεκοσμημένος· πολλαχοῦ δὲ καὶ αὐτὸς δημιουργὸς καὶ ποιητὴς ἰδίων ὀνομάτων καὶ πραγμάτων. Εὐριπίδου δὲ καὶ Σοφοκλέους καὶ ποικιλώτερος ταῖς τῶν προσώπων ἐπεισαγωγαῖς.

ΣΟΦΟΚΛΗΣ καὶ ΕΥΡΙΠΙΔΗΣ.

11. Σοφοκλῆς δ' ἐν τοῖς πάθεσι διήνεγκε, τὸ τῶν προσώπων ἐξίωμα τηρῶν. Εὐριπίδης μέν γ' οὐ τὸ ὅλον ἀληθὴς καὶ προσεχὴς τῷ βίῳ τῷ νῦν ἦρεσεν· ὅθεν τὸ πρέπον αὐτὸν καὶ κόσμιον πολλαχοῦ διέφυγε. καὶ οὐχὶ τὰ γενικὰ καὶ μεγαλοφυῆ τῶν προσώπων ἤθη καὶ πάθη, καθάπερ Σοφοκλῆς, κατώρθωσεν· εἰ δέ τι ἄσεμνον καὶ ἄνανδρον καὶ ταπεινὸν, σφόδρα ἰδεῖν ἔστιν αὐτὸν ἠκριβωκότα. καὶ Σοφοκλῆς μὲν οὐ περιττὸς ἐν τοῖς λόγοις, ἀλλ' ἀναγκαῖος· ὁ δ' Εὐριπίδης πολὺς ἐν ταῖς ῥητορικαῖς εἰσαγωγαῖς. καὶ ὁ μὲν ποιητικός ἐστιν ἐν τοῖς

Digitized by Google

ὀνόμασι, καὶ πολλάκις ἐκ πολλοῦ τοῦ μεγέθους εἰς διάκενον κόμπον ἐκπίπτων, οἷον εἰς ἰδιωτικὴν παντάπασι ταπεινότητα κατέρχεται· ὁ δ' Εὐριπίδης οὔτε ὑψηλός ἐστιν, οὔτε μὴν λιτός, ἀλλὰ κεκραμένῃ τῆς λέξεως μεσότητι κέχρηται. τῶν δὲ κωμῳδῶν μιμεῖται τὰς λεκτικὰς ἀρετὰς ἁπάσας· εἰσὶ γὰρ καὶ τοῖς νοήμασι καθαροὶ, καὶ σαφεῖς, καὶ βραχεῖς, καὶ μεγαλοπρεπεῖς, καὶ δεινοὶ, καὶ ἠθικοί. Μενάνδρου δὲ καὶ τὸ πρακτικὸν θεωρητέον.

III.

DE HISTORICIS.

Ἡρόδοτος καὶ Θουκυδίδης.

Τῶν μέντοι συγγραφέων Ἡρόδοτος μὲν ἐξείργασται τὸ βέλτιον τὸ πραγματικὸν εἶδος· τῷ δὲ λεκτικῷ ποτὲ μὲν πλεονεκτεῖ Θουκυδίδης, ποτὲ δ' ἔμπαλιν. ἔστι δ' ἐν οἷς ἐξισοῦνται. τῇ μὲν ἀκριβείᾳ τῶν ὀνομάτων, ἐν οἷς ἑκάτεροι προῄρηνται διαλόγοις, ἐκποσώζουσι τὸ ἴδιον· τῆς δὲ σαφηνείας ἀναμφισβητήτως Ἡροδότῳ τὸ κατόρθωμα δέδοται. καὶ τὸ μὲν σύντομόν ἐστι παρὰ Θουκυδίδῃ, τὸ δ' ἐναργὲς παρ' ἀμφοτέροις. ἐν μέντοι τοῖς ἠθικοῖς κρατεῖ Ἡρόδοτος, ἐν δὲ τοῖς παθητικοῖς ὁ Θουκυδίδης. πάλιν καλλιλογίᾳ καὶ μεγαλοπρεπείᾳ διαφέρουσιν οὐδὲν ἀλλήλων· ἀλλ' ἑκάτεροι τούτων τε καὶ τῶν τοιούτων ἀρετῶν κρατοῦσι. ῥώμῃ δὲ καὶ ἰσχύϊ καὶ τόνῳ καὶ τῷ περιττῷ καὶ πολυσχηματίστῳ παρηυδοκίμησε Θουκυδίδης· ἡδονῇ δὲ καὶ πειθοῖ καὶ χάριτι καὶ τῷ ἀφελεῖ αὐτοφυεῖ ἀβασανίστῳ, μακρῷ

Digitized by Google

διενεγκόντα τὸν Ἡρόδοτον εὑρίσκομεν· καὶ μετὰ τοῦτον τὸν τρόπον, πραγματείαν καὶ προσωποποιΐαν μᾶλλον ἀν τετήρηκε.

ΦΙΛΙΣΤΟΣ καὶ ΞΕΝΟΦΩΝ.

2. Φιλίστου δὲ καὶ Ξενοφῶντος, ὁ μὲν Ξενοφῶν Ἡροδότου ζηλωτὴς ἐγένετο κατά τε τὰς πραγματικὰς ἀρετὰς καὶ τὰς οἰκονομικὰς, καὶ τὰς ἠθικὰς τῶν διαλεκτικῶν, πῇ μὲν ὁμοίως, πῇ δ' ἐλάττων. ἐλεγκτικὸς μὲν γὰρ καὶ καθαρὸς τοῖς ὀνόμασι, καὶ σαφὴς καὶ ἐναργὴς, καὶ κατὰ τὴν σύνθεσιν ἡδὺς καὶ εὔχαρις, ὡς καὶ πλεῖον ἐκείνου· ὕψους δὲ καὶ μεγαλοπρεπείας καθόλου τοῦ ἱστορικοῦ πράγματος οὐκ ἐπέτυχεν· ἀλλ' οὐδὲ τοῦ πρέποντος τοῖς προσώποις πολλάκις ἐστοχάσατο, περιτιθεὶς ἀνδράσιν ἰδιώταις καὶ βαρβάροις ἔσθ' ὅτε λόγους φιλοσόφους, λέξει χρώμενος λόγοις πρεπούσῃ μᾶλλον, ἢ στρατιωτικοῖς κατορθώμασι. Φίλιστος δὲ μιμητής ἐστι Θουκυδίδου, ἕξω τοῦ ἤθους· τὸ μὲν γὰρ ἐλεύθερον καὶ φρονήματος μεστόν· τοῦτο δὲ θεραπευτικὸν τῆς τυράννων καὶ ἄλλων πλεονεξίας· ἐζήλωκε δὲ πρῶτον μὲν τὸ τὴν ὑπόθεσιν ἀτελῆ καταλιπεῖν, τὸν αὐτὸν ἐκείνῳ τρόπον· οὐ μὴν ἀλλὰ καὶ τὴν ἀταξίαν αὐτοῦ τῆς οἰκονομίας καὶ δυσπαρακολούθητον τὴν πραγματείαν τῇ συγχύσει τῶν εἰρημένων πεποίηκε. τῆς δὲ λέξεως τὸ μὲν γλωσσηματικὸν καὶ περίεργον οὐκ ἐζήλωκε Θουκυδίδου· τὸ δὲ στρογγύλον καὶ πυκνὸν καὶ εὔτονον καὶ ἐναγώνιον πάνυ ἀκριβῶς ἀπεμάξατο· οὐ μὴν ὁμοίως τὴν καλλιλογίαν καὶ τὴν σεμνότητα καὶ τὴν ἀφθονίαν τῶν ἐνθυμημάτων, καὶ τὰ

Digitized by Google

βάρη καὶ τὰ πάθη καὶ τοὺς σχηματισμούς. μικρὸς δέ ἐστι καὶ ταπεινὸς κομιδῇ ταῖς ἐκφράσεσιν, ἤτοι τόπων, ἢ ναυμαχιῶν, ἢ πεζῶν παρατάξεων, ἢ οἰκισμοῦ πόλεων. οὐδὲ ὁ λόγος τῷ μεγέθει τοῦ πράγματος ἐξισοῦται. συνετὸς μέντοι, καὶ κατὰ τὴν ἑρμηνείαν, Θουκυδίδου πρὸς τοὺς ἀληθεῖς ἀγῶνας ὠφελιμώτερος.

ΘΕΟΠΟΜΠΟΣ.

3. Θεόπομπος δὲ ὁ Χῖος, πρῶτον μὲν ἐν τῷ προελέσθαι τοιαύτης ἱστορίας ὑποθέσεις, ἄξιος ζήλου· μετὰ δὲ, οἰκονομίας· ἔχει οὖν τὸ εὐπαρακολούθητον καὶ σαφὲς ἡ γραφή· ἔτι δὲ καὶ τῆς ποικιλίας τῆς ἐν τοῖς πράγμασιν· οὐ μὴν ἀλλὰ καὶ τῆς ἐφ' ἑκάστοις παῤῥησίας· καὶ μὴν οὐδὲ τοῦ τὰς ἀπορῥήτους τῶν γενομένων, ἢ λεχθέντων, αἰτίας ἐγκρύψασθαι, στοχάσασθαι δ' ἀκριβῶς τῆς τῶν εἰπόντων, ἢ πεποιηκότων, γνώμης. τὸ λεκτικὸν αὐτῷ τῷ Ἰσοκρατικῷ παραπλήσιον, πλὴν ὅσον μικρόν ἐστι καὶ σφόδρα εὔτονον, τὰ δ' ἄλλα ὅμοια ἡ λέξις. καὶ γὰρ κοινὴ, καὶ σαφὴς, καὶ μεγαλοπρεπὴς, καὶ σεμνὴ, καὶ πομπικὴ, συνθέσεως τετυχηκυῖα τῆς πρὸς ἡδονήν. πονηρὰ δὲ καὶ πολλή τις τῶν φωνηέντων ἡ σύγκρουσις· καὶ κατ' ἐπιτήδευμα μὲν αἱ κυκλικαὶ περίοδοι καὶ ὁμοιοειδεῖς τῶν σχηματισμῶν. διήμαρτε δὲ καὶ ὃ μάλιστα ἐντὸς πρᾶκτικῆς, κατὰ τὰς τῶν παρεκβάσεων ἐπεισαγωγάς. καὶ γὰρ ψυχρῶς ἔνιαι καὶ ἀκαίρως λέγονται· καθάπερ τὰ περὶ τὸν ἐν Μακεδονίᾳ Σειληνὸν ἱστορηθέντα, καὶ τὰ περὶ τὸν δράκοντα τὸν πρὸς τῇ τριήρει ναυμαχοῦντα.

Digitized by Google

IV.

DE PHILOSOPHIS.

Τῶν φιλοσόφων δ' ἀναγνωστέον τούς τε Πυθαγορικοὺς, τῆς σεμνότητος καὶ τῶν ἠθῶν καὶ τῶν δογμάτων εἵνεκεν· οὐ μὴν ἀλλὰ καὶ τῆς ἀπαγγελίας. μεγαλοπρεπεῖς γὰρ τῇ λέξει καὶ ποιητικοί. καὶ οὐδὲ παραλείπουσι τὴν σαφήνειαν, ἀλλὰ κεκραμένῃ τῇ διαλέκτῳ χρώμενοι. μιμητέον δὲ μάλιστα Ξενοφῶντα καὶ Πλάτωνα, τῶν δ' ἠθῶν χάριν, καὶ τῆς ἡδονῆς καὶ τῆς μεγαλοπρεπείας. παραληπτέον δὲ καὶ Ἀριστοτέλη εἰς μίμησιν τῆς τε περὶ τὴν ἑρμηνείαν δεινότητος καὶ τῆς σαφηνείας, καὶ τοῦ ἡδέος καὶ πολυμαθοῦς· τοῦτο γάρ ἐστι μάλιστα παρὰ τοῦ ἀνδρὸς λαβεῖν. φιλοτιμώμεθα δ' αὐτοῦ καὶ τοῖς μαθηταῖς ἐντυγχάνειν, οὐδ' ἐλάττονος οὖσι σπουδῆς ἀξίοις.

2. *Ἐπειδὴ τοίνυν τὰ περὶ τῶν ἄλλων ἀναγνώσματων ἐστὶν ἡμῖν κεφαλαιωδῶς ἐξειργασμένα, ῥητέον λοιπὸν καὶ ὃ παρά τῶν ῥητορικῶν ἐστιν ἑκάστου λαβεῖν· ὃ δὴ καὶ μᾶλλον ἡμῖν ἀναγκαῖον.*

V.

DE ORATORIBVS.

ΛΥΣΙΑΣ.

Ὁ Λυσιακὸς λόγος πρὸς τὸ χρήσιμον καὶ ἀναγκαῖον ἐστὶν αὐτάρκης, καὶ τὸ μὲν αὐχμηρὸν ἐκπεφευγὼς, πάνυ δὲ [οὗτος καὶ σφενδὸς κατὰ τὴν ἀναγγελίαν, ἔτι δὲ] καὶ κομψὸς καὶ ἀληθὴς, καὶ τῶν ἀτ-

Digitized by Google

τικισμῶν εὔχαρις· οὐ μὴν συνεχῶς αὐξητικός, πλὴν τοῦ σκοποῦ λεληθότως ἐπιτυγχάνων, μετὰ κεκραμένης τῆς κατὰ τὴν χάριν ἡδονῆς· ὡς ἀναγινωσκόμενον μέν, οὐχ ὅλον νομίζεσθαι, χαλεπὸν δὲ εὑρίσκεσθαι ζηλοῦν πειρωμένοις. μάλιστα δ' ἐπιτευκτικὸς ἐν ταῖς διηγήσεσιν. ἰσχνότητι γὰρ τῆς φράσεως σαφῆ καὶ ἀπηκριβωμένην ἔχουσι τὴν τῶν πραγμάτων ἔκθεσιν.

ΙΣΟΚΡΑΤΗΣ.

2. Ὁ δ' Ἰσοκρατικὸς κομψεύεται μέν, ἀλλὰ μετὰ σεμνότητος, καὶ πανηγυρικώτερός ἐστι μᾶλλον, ἢ δικανικώτερος. ἔχει δὲ τὸν κόσμον μετ' ἐνεργείας, καὶ πομπικός ἐστι μετὰ τοῦ ἀνυστικοῦ καὶ χρησίμου· οὐ μὴν ἀγωνιστικός· περιγράφων δὲ τὴν ἀπαγγελίαν ταῖς περιόδοις, καὶ ὅλως μεσότητα σωφρονίζων λιτότητι, τὸ δὲ λιτὸν ἐξαίρων. καὶ αὐτοῦ μάλιστα ζηλωτέον τήν τε τῶν ὀνομάτων συνέχειαν, καὶ τὸ τῆς ὅλης ἰδέας ἐπιδεικτικόν.

ΛΥΚΟΥΡΓΟΣ.

3. Ὁ δὲ Λυκοῦργος ἔστι διαπαντὸς αὐξητικός, καὶ διηρημένος, καὶ σεμνός, καὶ ὅλος κατηγορικός, καὶ φιλαλήθης, καὶ παῤῥησιαστικός· οὐ μὴν ἀστεῖος, οὐδὲ ἡδύς, ἀλλ' ἀναγκαῖος. τούτου χρὴ ζηλοῦν μάλιστα τὰς δεινώσεις.

ΔΗΜΟΣΘΕΝΗΣ.

4. Ὁ δὲ Δημοσθενικὸς εὔτονος τῇ φράσει, κεκραμένος τοῖς ἤθεσι, καὶ λέξεως ἐκλογῇ κεκοσμημένος· καὶ χρώμενος τάξει τῇ κατὰ τὸ συμφέρον, καὶ

Digitized by Google

μετὰ τοῦ σεμνοῦ τὴν χάριν ἔχων, καὶ συνεχής· οἷς μάλιστα δικασταὶ κατέχονται.

ΑΙΣΧΙΝΗΣ.

5. Ὁ δ' Αἰσχίνης ἀτονώτερος μὲν τοῦ Δημοσθένους, ἐν δὲ τῇ τῶν λέξεων ἐκλογῇ πομπικός ἅμα καὶ δεινός· καὶ οὐ πάνυ μὲν ἔντεχνος, τῇ δὲ παρὰ τῆς φύσεως εὐχερείᾳ κεχορηγημένος· καὶ σφόδρα ἐναργὴς καὶ βαρὺς, καὶ αὐξητικὸς καὶ πικρός. καὶ ἡδὺς μὲν αὐτόθεν ἐντυχόντι, σφοδρὸς δ' ἐξετασθείς.

ΥΠΕΡΙΔΗΣ.

6. Ὁ δὲ Ὑπερίδης εὔστοχος μὲν, σπάνιον δ' αὐξητικός· καὶ τῇ μὲν τῆς φράσεως κατασκευῇ Λυσίαν ὑπερῃρκὼς, τῇ δὲ τῆς . . . πανουργίᾳ πάντας. ἔτι δὲ τοῦ κρινομένου διαπάντὸς ἔχεται, καὶ ταῖς ἀνάγκαις τοῦ πράγματος πέφυκε, καὶ συνέσει πολλῇ κεχορήγηται, καὶ χάριτος μεστός ἐστι· καὶ δοκῶν ἁπλοῦς, οὐκ ἀπήλλακται δεινότητος. τούτου ζηλωτέον μάλιστα τῶν διηγήσεων τὸ λεπτὸν καὶ σύμμετρον, ἔτι δὲ καὶ τὰς ἐφόδους, ἐπὶ τὰ πράγματα βαδίζει.

7. Καί μοι καὶ τῶν ῥητόρων οὗτοι κεχαρακτηρισμένοι, καὶ δεδειγμένοι, τίνος ἀρετῆς ἐπειλημμένος εἰς ὠφέλειαν τῶν ἐντυγχανόντων καὶ αὐτὸς συνεισφέρει. τούτου δὲ ἕνεκα τὰς τῶν προειρημένων ἁπάντων ἰδέας διεξῆλθον, ὥστε δεδεῖχθαι τὸν τρόπον τῆς ἐπιμελοῦς ἀναγνώσεως, ἐξ ἧς ὑπάρξει τὸ παρ' ἑκάστοις κατορθούμενον αἱρουμένην, μήτε παρέργως τοῖς παλαιοῖς ἐντυγχάνειν, [μήτε λεληθότως τὴν

Digitized by Google

ὠφέλειαν προσγινομένην περιμένειν,] ἀλλ' ἐπιστημόνως, ἄλλως τε καὶ κοσμήσειν μέλλουσι τὸν λόγον τοῖς παρὰ πάντων πλεονεκτήμασιν· ἃ καὶ κατ' αὐτὰ μὲν οἰκείᾳ φύσει τέρπει, εἰ δὲ καὶ κερασθείη διὰ τέχνης εἰς ἑνὸς τύπον λογικοῦ σώματος, βελτίων ἡ φράσις τῇ μίξει γίνεται.

Digitized by Google

ΔΙΟΝΥΣΙΟΥ
ΤΟΥ
ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ
ΠΕΡΙ
ΤΩΝ ΑΡΧΑΙΩΝ ΡΗΤΟΡΩΝ
ΥΠΟΜΝΗΜΑΤΙΣΜΟΙ.

Πολλὴν χάριν ἦν εἰδέναι τῷ καθ' ἡμᾶς χρόνῳ δίκαιον, ὦ κράτιστε Ἀμμαῖε, καὶ ἄλλων μέν τινων ἐπιτηδευμάτων ἕνεκα νῦν κάλλιον ἀσκουμένων, ἢ πρότερον, οὐχ ἥκιστα δὲ τῆς περὶ τοὺς πολιτικοὺς λόγους ἐπιμελείας, οὐ μικρὰν ἐπίδοσιν πεποιημένης ἐπὶ τὰ κρείττω. ἐν γὰρ δὴ τοῖς πρὸ ἡμῶν χρόνοις ἡ μὲν ἀρχαία καὶ φιλόσοφος ῥητορικὴ προπηλακιζομένη καὶ δεινὰς ὕβρεις ὑπομένουσα κατελύετο, ἀρξαμένη μὲν ἀπὸ τῆς Ἀλεξάνδρου τοῦ Μακεδόνος τελευτῆς ἐκπνεῖν καὶ μαραίνεσθαι κατ' ὀλίγον, ἐπὶ δὲ τῆς καθ' ἡμᾶς ἡλικίας μικροῦ δεήσασα εἰς τέλος ἠφανίσθαι. ἑτέρα δέ τις ἐπὶ τὴν ἐκείνης παρελθοῦσα τάξιν, ἀφόρητος ἀναίδεια θεατρικὴ καὶ ἀνώμαλος, καὶ οὔτε φιλοσοφίας, οὔτ' ἄλλου παιδεύματος οὐδενὸς μετειληφυῖα ἐλευθερίου, λαθοῦσα καὶ παρακρουσαμένη τὴν τῶν ὄχλων ἄγνοιαν, οὐ μόνον ἐν

Digitized by Google

εὐπορίᾳ καὶ τρυφῇ καὶ μορφῇ πλείονι τῆς ἑτέρας διῆγεν, ἀλλὰ καὶ τὰς τιμὰς καὶ τὰς προστασίας τῶν πόλεων, ἃς ἔδει τὴν φιλόσοφον ἔχειν, εἰς ἑαυτὴν ἀνηρτήσατο· καὶ ἦν φορτική τις πάνυ καὶ ὀχληρά· καὶ τελευτῶσα παραπλησίαν ἐποίησε γενέσθαι τὴν Ἑλλάδα ταῖς τῶν ἀσώτων καὶ κακοδαιμόνων οἰκίαις. ὥσπερ γὰρ ἐν ἐκείναις ἡ μὲν ἐλευθέρα καὶ σώφρων γαμετὴ κάθηται, μηδενὸς οὖσα τῶν αὐτῆς κυρία· ἑταίρα δέ τις ἄφρων, ἐπ' ὀλέθρῳ τοῦ βίου παροῦσα, πάσης ἀξιοῖ τῆς οὐσίας ἄρχειν, σκυβαλίζουσα καὶ δεδιττομένη τὴν ἑτέραν· τὸν αὐτὸν τρόπον ἐν πάσῃ πόλει, καὶ οὐδεμιᾶς ἧττον ἐν ταῖς εὐπαιδεύτοις· τοῦτο γὰρ ἁπάντων τῶν κακῶν ἔσχατον· ἡ μὲν Ἀττικὴ Μοῦσα καὶ ἀρχαία καὶ αὐτόχθων ἄτομον εἰλήφει σχῆμα, τῶν ἑαυτῆς ἐκπεσοῦσα ἀγαθῶν· ἡ δ' ἔκ τινων βαράθρων τῆς Ἀσίας ἐχθὲς καὶ πρώην ἀφικομένη Μοῦσα, ἢ Φρυγία τις, ἢ Καρικόν τι κακόν, ἢ βάρβαρον, Ἑλληνίδας ἠξίου διοικεῖν πόλεις, ἀπελάσασα τῶν κοινῶν τὴν ἑτέραν, ἡ ἀμαθὴς τὴν φιλόσοφον, καὶ ἡ μαινομένη τὴν σώφρονα.

2. Ἀλλὰ γὰρ οὐ μόνον ἀνδρῶν δικαίων χρόνος σωτὴρ ἄριστος, κατὰ Πίνδαρον, ἀλλὰ καὶ τεχνῶν νὴ Δία καὶ ἐπιτηδευμάτων γε, καὶ παντὸς ἄλλου σπουδαίου χρήματος. ἔδειξε δὲ ὁ καθ' ἡμᾶς χρόνος, εἴτε θεῶν τινος ἄρξαντος, εἴτε φυσικῆς περιόδου τὴν ἀρχαίαν τάξιν ἀνακυκλούσης, εἴτ' ἀνθρωπίνης ὁρμῆς ἐπὶ τὰ ὅμοια πολλοὺς ἀγούσης· καὶ ἀπέδωκε τῇ μὲν ἀρχαίᾳ καὶ σώφρονι ῥητορικῇ τὴν δικαίαν τιμήν, ἣν καὶ πρότερον εἶχε, καλῶς ἀπολαβεῖν· τῇ δὲ νέᾳ

Digitized by Google

καὶ ἀνοήτῳ παύσασθαι δόξαν οὐ προσήκουσαν καρπουμένῃ, καὶ ἐν ἀλλοτρίοις ἀγαθοῖς τρυφώσῃ. καὶ οὐ καθ' ἓν ἴσως τοῦτο μόνον ἐπαινεῖν τὸν παρόντα χρόνον καὶ τοὺς συμφιλοσοφοῦντας ἀνθρώπους ἄξιον, ὅτι τὰ κρείττω τιμιώτερα ποιεῖν τῶν χειρόνων ἤρξαντο· καίτοι μέρος γε τοῦ παντὸς ἥμισυ ἀρχὴ λέγεταί τε καὶ ἔστιν· ἀλλ' ὅτι καὶ ταχεῖαν τὴν μεταβολὴν καὶ μεγάλην τὴν ἐπίδοσιν αὐτῶν παρεσκεύασε γενέσθαι. ἔξω γὰρ ὀλίγων τινῶν Ἀσιανῶν πόλεων, αἷς δι' ἀμαθίαν βραδεῖά ἐστιν ἡ τῶν καλῶν μάθησις, αἱ λοιπαὶ πέπαυνται τοὺς φορτικοὺς καὶ ψυχροὺς καὶ ἀναισθήτους ἀγαπῆσαι λόγους· τῶν μὲν πρότερον μέγα ἐπ' αὐτοῖς φρονούντων, αἰδουμένων ἤδη καὶ κατὰ μικρὸν ἀπαυτομολούντων πρὸς τοὺς ἑτέρους, εἰ μή τινες παντάπασιν ἀνιάτως ἔχουσι· τῶν δὲ νεωστὶ τοῦ μαθήματος ἁπτομένων εἰς καταφρόνησιν ἀγόντων τοὺς λόγους, καὶ γέλωτα ποιουμένων τὴν ἐπ' αὐτοῖς σπουδήν.

3. Αἰτία δ' οἶμαι καὶ ἀρχὴ τῆς τοσαύτης μεταβολῆς ἐγένετο ἡ πάντων κρατοῦσα Ῥώμη, πρὸς ἑαυτὴν ἀναγκάζουσα τὰς ὅλας πόλεις ἀποβλέπειν· καὶ ταύτης τ' αὐτῆς οἱ δυναστεύοντες, κατ' ἀρετὴν καὶ ἀπὸ τοῦ κρατίστου τὰ κοινὰ διοικοῦντες, εὐπαίδευτοι πάνυ καὶ γενναῖοι τὰς κρίσεις γενόμενοι· ὑφ' ὧν κοσμούμενον τό τε φρόνιμον τῆς πόλεως μέρος ἔτι μᾶλλον ἐπιδέδωκε, καὶ τὸ ἀνόητον ἠνάγκασται νοῦν ἔχειν. τοιγάρτοι πολλαὶ μὲν ἱστορίαι σπουδῆς ἄξιαι γράφονται τοῖς νῦν, πολλοὶ δὲ λόγοι πολιτικοὶ χαρίεντες ἐκφέρονται, φιλόσοφοί τε συντάξεις, οὐ

Digitized by Google

μὰ Δία εὐκαταφρόνητοι· ἄλλαι τε πολλαὶ καὶ καλαὶ πραγματεῖαι καὶ Ῥωμαίοις καὶ Ἕλλησιν εὖ μάλα διεσπουδασμέναι προεληλύθασί τε καὶ προελεύσονται, κατὰ τὸ εἰκός. καὶ οὐκ ἂν θαυμάσαιμι, τηλικαύτης μεταβολῆς ἐν τούτῳ τῷ βραχεῖ χρόνῳ γεγενημένης, εἰ μηκέτι χωρήσει πρόσωτέρω μιᾶς γενεᾶς ὁ ζῆλος ἐκεῖνος τῶν ἀνοήτων λόγων. τὸ γὰρ ἐκ παντὸς εἰς ἐλάχιστον συναχθὲν, ῥᾴδιον ἐξ ὀλίγου μηδὲν εἶναι.

4. Ἀλλὰ γὰρ τὸ μὲν εὐχαριστεῖν τῷ μεταβαλόντι τὰ πράγματα χρόνῳ, καὶ τὸ τοὺς τὰ κράτιστα προαιρουμένους ἐπαινεῖν, καὶ τὸ τὰ μέλλοντα ἐκ τῶν γεγονότων εἰκάζειν, καὶ πάντα τὰ παραπλήσια τούτοις, ἃ κἂν ὁ τυχὼν εἰπεῖν δύναιτο, ἀφήσω. ἐξ ὧν δ' ἂν ἔτι μείζω λάβοι τὰ κρείττονα ἰσχύν, ταῦτα πειράσομαι λέγειν, ὑπόθεσιν τοῦ λόγου κοινὴν καὶ φιλάνθρωπον καὶ πλεῖστα δυναμένην ὠφελῆσαι λαβών. ἔστι δ' ἤδη, τίνες εἰσὶν ἀξιολογώτατοι τῶν ἀρχαίων ῥητόρων τε καὶ συγγραφέων, καὶ τίνες αὐτῶν ἐγένοντο προαιρέσεις τοῦ τε βίου καὶ τοῦ λόγου, καὶ τί παρ' ἑκάστου δεῖ λαμβάνειν, ἢ φυλάττεσθαι· καὶ θεωρήματα καὶ ἀναγκαῖα τοῖς ἀκούουσι τὴν πολιτικὴν φιλοσοφίαν, καὶ οὐδέ που μὰ Δία κοινά, οὐδὲ καθημαξευμένα τοῖς πρότερον. ἐγὼ γοῦν οὐδεμιᾷ τοιαύτῃ περιτυχὼν οἶδα γραφῇ, πολλὴν ζήτησιν αὐτῶν ποιησάμενος. οὐ μὲν δὴ διαβεβαιοῦμαί γε, ὡς δὴ καὶ σαφῶς εἰδώς· τάχα γὰρ ἂν εἶέν τινες αἳ ἐμὲ διαλανθάνουσαι τοιαῦται γραφαί. τὸ δὲ τῆς ἁπάντων ἱστορίας ὅρον ἑαυτὸν ποιεῖν, καὶ

Digitized by Google

περὶ τοῦ μὴ γεγονέναι τι τῶν δυνατῶν γενέσθαι, λέγειν, αὔθαδες πάνυ καὶ οὐ πόῤῥω μανίας. περὶ μὲν οὖν τούτων οὐδὲν ἔχω, καθάπερ ἔφην, διαβεβαιοῦσθαι. τῶν δὲ ῥητόρων τε καὶ συγγραφέων, ὑπὲρ ὧν ὁ λόγος, πολλῶν πάνυ ὄντων καὶ ἀγαθῶν, τὸ μὲν ὑπὲρ ἁπάντων γράφειν, μακροῦ λόγου δεόμενον ὁρῶν, ἐάσω· τοὺς δὲ χαριεστάτους ἐξ αὐτῶν προχειρισάμενος κατὰ τὰς ἡλικίας, ἐρῶ περὶ ἑκάστου· νῦν μὲν περὶ τῶν ῥητόρων· ἐὰν δ' ἐγχωρῇ, καὶ περὶ τῶν ἱστορικῶν. ἔσονται δὲ οἱ μὲν παραλαμβανόμενοι ῥήτορες, τρεῖς ἐκ τῶν πρεσβυτέρων, Λυσίας, Ἰσοκράτης, Ἰσαῖος· τρεῖς δ' ἐκ τῶν ἐπακμασάντων τούτοις, Δημοσθένης, Ὑπερίδης, Αἰσχίνης· οὓς ἐγὼ τῶν ἄλλων ἡγοῦμαι κρατίστους. καὶ διαιρεθήσεται μὲν εἰς δύο συντάξεις ἡ πραγματεία· τὴν δ' ἀρχὴν ἀπὸ ταύτης λήψεται τῆς ὑπὲρ τῶν πρεσβυτέρων γραφείσης. προειρημένων δὴ τούτων, ἐπανάγειν καιρὸς ἐπὶ τὰ προκείμενα.

ΛΥΣΙΑΣ.

Λυσίας ὁ Κεφάλου Συρακουσίων μὲν ἦν γονέων. ἐγεννήθη δὲ Ἀθήνῃσι μετοικοῦντι τῷ πατρὶ, καὶ συνεπαιδεύθη τοῖς ἐπιφανεστάτοις Ἀθηναίων. ἔτη δὲ πεντεκαίδεκα γεγονὼς, εἰς Θουρίους ᾤχετο πλέων σὺν ἀδελφοῖς δυσὶ, κοινωνήσων τῆς ἀποικίας, ἣν ἔστελλον Ἀθηναῖοί τε καὶ ἡ ἄλλη Ἑλλὰς δωδεκάτῳ πρότερον ἔτει τοῦ Πελοποννησιακοῦ πολέμου· καὶ διετέλεσεν αὐτόθι πολιτευόμενος ἐν

Digitized by Google

εὐπορίᾳ πολλῇ μέχρι τῆς συμφορᾶς τῆς καταισχούσης Ἀθηναίους ἐν Σικελίᾳ. μετ' ἐκεῖνο δὲ τὸ πάθος στασιάσαντος τοῦ δήμου, ἐκπίπτει σὺν ἄλλοις τριακοσίοις Ἀττικισμὸν ἐγκληθεῖσι· καὶ παραγενόμενος αὖθις εἰς Ἀθήνας κατὰ ἄρχοντα Καλλίαν, ἕβδομον καὶ τεσσαρακοστὸν ἔτος ἔχων, ὡς ἄν τις εἰκάσειεν, ἐξ ἐκείνου τοῦ χρόνου διετέλεσε τὰς διατριβὰς ποιούμενος Ἀθήνῃσι. πλείστους δὲ γράψας λόγους εἰς δικαστήριά τε καὶ βουλὰς, καὶ πρὸς ἐκκλησίας εὐθέτους, πρὸς δὲ τούτοις πανηγυρικοὺς, ἐρωτικοὺς, ἐπιστολικοὺς, τῶν μὲν ἔμπροσθεν γεγενημένων ῥητόρων, ἢ κατὰ τὸν αὐτὸν χρόνον ἀκμασάντων, ἠφάνισε τὰς δόξας· τῶν δὲ ἐπιγενομένων οὐ πολλοῖς τισι καταλιπεν ὑπερβολὴν, ἄτ' ἐν ἁπάσαις ταῖς ἰδέαις τῶν λόγων, καὶ μὰ Δί' οὔ τοι γε ταῖς φαυλοτάταις, εὐδοκιμῶν. τίνι δὲ κέχρηται χαρακτῆρι λόγων, καὶ τίνας ἀρετὰς εἰσενήνεκται, τίνι τε κρείττων ἐστὶ τῶν μετ' αὐτὸν ἀκμασάντων, καὶ πῇ καταδεέστερος, καὶ τί δεῖ λαμβάνειν παρ' αὐτοῦ, νῦν ἤδη πειράσομαι λέγειν.

2. Καθαρός ἐστι τὴν ἑρμηνείαν πάνυ, καὶ τῆς Ἀττικῆς γλώττης ἄριστος κανὼν, οὐ τῆς ἀρχαίας, ἣ κέχρηται Πλάτων καὶ Θουκυδίδης, ἀλλὰ τῆς κατ' ἐκεῖνον τὸν χρόνον ἐπιχωριαζούσης· ὡς ἔστι τεκμήρασθαι τοῖς τε Ἀνδοκίδου λόγοις, καὶ τοῖς Κριτίου, καὶ ἄλλοις συχνοῖς. κατὰ τοῦτο μὲν δὴ τὸ μέρος, ὅπερ ἐστὶ πρῶτον καὶ κυριώτερον ἐν λόγοις, λέγω δὲ τὸ καθαρεύειν τὴν διάλεκτον, οὐθεὶς τῶν μεταγενεστέρων αὐτὸν ὑπερεβάλετο, ἀλλ' οὐδὲ μιμήσα-

Digitized by Google

σθαι πολλοὶ δύναμιν ἔσχον, ὅτι μὴ μάνος Ἰσοκράτης· καθαρώτατος δὴ τῶν ἄλλων, μετά γε Λυσίαν, ἐν τοῖς ὀνόμασιν οὗτος ἔμοιγε δοκεῖ γενέσθαι· ὁ ἀνήρ. μίαν μὲν δὴ ταύτην ἀρετὴν ἀξίαν ζήλου καὶ μιμήσεως εὑρίσκω παρὰ τῷ ῥήτορι, καὶ παρακελευσαίμην ἂν τοῖς βουλομένοις καθαρῶς γράφειν, ἢ καὶ λέγειν, ἐκεῖνον τὸν ἄνδρα ποιεῖσθαι παράδειγμα ταύτης τῆς ἀρετῆς.

3. Ἑτέραν δὲ οὐδὲν ἐλάττω ταύτης, ἣν πολλοὶ μὲν ἐζήλωσαν τῶν κατὰ τὸν αὐτὸν χρόνον ἀκμασάντων, οὐδεὶς δὲ βεβαιότερον ἐπεδείξατο. τίς δ' ἔστιν αὕτη; ἡ διὰ τῶν κυρίων τε καὶ κοινῶν καὶ ἐν μέσῳ κειμένων ὀνομάτων ἐκφέρουσα τὰ νοούμενα. ἥκιστα γὰρ ἄν τις εὕροι Λυσίαν τροπικῇ φράσει χρησάμενον. καὶ οὐκ ἐπὶ τούτῳ μόνον ἐπαινεῖν ἄξιον, ἀλλ' ὅτι καὶ περιττὰ καὶ σεμνὰ καὶ μεγάλα φαίνεσθαι τὰ πράγματα ποιεῖ, τοῖς κοινοτάτοις χρώμενος ὀνόμασι, καὶ ποιητικῆς οὐχ ἁπτόμενος κατασκευῆς. τοῖς δὲ προτέροις οὐχ αὕτη ἡ δόξα ἦν· ἀλλ' οἱ βουλόμενοι κόσμον τινὰ προσεῖναι, τοῖς ὅλοις ἐξήλαττον ἰδιώτην, καὶ κατέφευγον εἰς τὴν ποιητικὴν φράσιν, μεταβολαῖς τε πολλαῖς χρώμενοι, καὶ ὑπερβολαῖς, καὶ ταῖς ἄλλαις τροπικαῖς ἰδέαις, ὀνομάτων τε γλωττημάτικῶν καὶ ξένων χρήσει, καὶ τῶν οὐκ εἰωθότων σχηματισμῶν τῇ διαλλαγῇ, καὶ τῇ ἄλλῃ καινολογίᾳ καταπληττόμενοι τὸν ἰδιώτην. δηλοῖ δὲ τοῦτο Γοργίας τε ὁ Λεοντῖνος, ἐν πολλοῖς πάνυ φορτικήν τε καὶ ὑπέρογκον ποιῶν τὴν κατασκευήν, καὶ οὐ πόρρω διθυράμβων ἔνια φθεγγό-

Digitized by Google

μενος, καὶ τῶν ἐκείνου συνουσιαστῶν οἱ περὶ Δικύμνιόν τε καὶ Πῶλον. ἤψατο δὲ καὶ τῶν Ἀθήνησι ῥητόρων ἡ ποιητική τε καὶ τροπικὴ φράσις, ὡς μὲν Τίμαιός φησι, Γοργίου ἄρξαντος, ἡνίκα Ἀθήναζε πρεσβεύων κατεπλήξατο τοὺς ἀκούοντας ἐν τῇ δημηγορίᾳ. ὡς δὲ ἀληθὲς ἔχει, ἃ καὶ παλαιότερον ἀεὶ θαυμαζόμενος, Θουκυδίδης τοὔνομα, δαιμονιώτατος τῶν συγγραφέων, ἔν τε τῷ ἐπιταφίῳ καὶ ἐν ταῖς δημηγορίαις ποιητικῇ κατασκευῇ χρησάμενος, ἐκ πολλοῖς ἐξήλλαξε τὴν ἑρμηνείαν εἰς ὄγκον ἅμα καὶ κόσμον ὀνομάτων ἀηθέστερον. Λυσίας δὲ τοιοῦτον οὐδὲν ἤσκησεν (ἐν γοῦν τοῖς σπουδῇ γραφομένοις δικανικοῖς καὶ συμβουλευτικοῖς λόγοις) ποιῆσαι, πλὴν εἴ τι μικρὸν ἐν τοῖς παναγυρικοῖς· περὶ γὰρ τῶν ἐπιστολικῶν αὐτοῦ καὶ ἑταιρικῶν, καὶ τῶν ἄλλων, οὓς μετὰ παιδιᾶς ἔγραψεν, οὐδὲν δέομαι λέγειν. ὁμοίως δὲ τοῖς ἰδιώταις διαλέγεσθαι δοκῶν, πλεῖστον ὅσον ἰδιώτου διαφέρει· καὶ ἐπεὶ ποιητὴς κράτιστος λόγων, λελυμένης ἐκ μέτρου λέξεως, ἰδίαν τινὰ λόγων εὑρηκὼς ἁρμονίαν, ἣ τὰ ὀνόματα κοσμεῖ τε καὶ ἡδύνει, μηδὲν ἔχοντα ὄγκωδες, μηδὲ φορτικόν, ταύτην δευτέραν τὴν ἀρετὴν κελεύω παρὰ τοῦ ῥήτορος τούτου λαμβάνειν, εἴ τινες ἀξιοῦσι τὸν αὐτὸν ἐκείνῳ διαλέγεσθαι τρόπον. ἐγένοντο μὲν οὖν πολλοὶ τῆς προαιρέσεως ταύτης ζηλωταί, συγγραφεῖς τε καὶ ῥήτορες· ἔγγιστα δὲ αὐτῆς μετὰ Λυσίαν ἤψατο τῶν πρεσβυτέρων νέος ἐπασκήσας Ἰσοκράτης. καὶ οὐκ ἂν ἔχοι τις εἰπεῖν, προσωτέρω τούτων σκοπῶν, ἑτέρους ῥήτορας ἰσχὺν καὶ δύ-

Digitized by Google

ναμιν τοσαύτην ἐν ὀνόμασι κυρίοις καὶ κοινοῖς ἀποδειξαμένους.

4. Τρίτην ἀρετὴν ἀποφαίνομαι περὶ τὸν ἄνδρα τὴν σαφήνειαν, οὐ μόνον τὴν ἐν τοῖς ὀνόμασιν, ἀλλὰ καὶ τὴν ἐν τοῖς πράγμασιν. ἔστι γάρ τις καὶ πραγματικὴ σαφήνεια, οὐ πολλοῖς γνώριμος. τεκμαίρομαι δὲ, ὅτι τῆς μὲν Θουκυδίδου λέξεως καὶ Δημοσθένους, οἳ δεινότατοι πράγματα ἐξειπεῖν ἐγένοντο, πολλὰ δυσείκαστά ἐστιν ἡμῖν καὶ ἀσαφῆ, καὶ δεόμενα ἐξηγητοῦ· ἡ δὲ Λυσίου λέξις ἅπασά ἐστι φανερὰ καὶ σαφὴς καὶ τῷ πάνυ πόρρω δοκοῦντι πολιτικῶν ἀφεστάναι λόγων. καὶ εἰ μὲν δι' ἀσθένειαν δυνάμεως ἐγίνετο τὸ σαφές, οὐκ ἄξιον ἦν αὐτὸ ἀγαπᾶν· νῦν δὲ ὁ πλοῦτος τῶν κυρίων ὀνομάτων ἐκ πολλῆς αὐτῷ περιουσίας ἀποδείκνυται ταύτην τὴν ἀρετήν. ὥστε τὴν σαφήνειαν αὐτοῦ ζηλοῦν ἄξιον· καὶ μὴν τό γε βραχέως ἐκφέρειν τὰ νοήματα μετὰ τοῦ σαφοῦς, χαλεποῦ τοῦ πράγματος ὄντος φύσει, τοῦ συναγαγεῖν ἅμφω ταῦτα, καὶ κεράσαι μετρίως· ᾧ μάλιστα οὐδενὸς ἧττον τῶν ἄλλων ἀποδείκνυται Λυσίας χρώμενος· ὥστε οὐδὲν τοῖς διὰ χειρὸς ἔχουσι τὸν ἄνδρα, οὔτε ἀκυρολογίας, οὔτε ἀσαφείας δόξαν λαβεῖν. τούτου δὲ αἴτιον, ὅτι οὐ τοῖς ὀνόμασι δουλεύει τὰ πράγματα παρ' αὐτῷ, τοῖς δὲ πράγμασιν ἀκολουθεῖ τὰ ὀνόματα. τὸν δὲ κόσμον οὐκ ἐν τῷ διαλλάττειν τὸν ἰδιώτην, ἀλλ' ἐν τῷ μιμεῖσθαι, λαμβάνει.

5. Καὶ οὐκ ἐπὶ μὲν τῆς ἑρμηνείας τοιοῦτός ἐστιν, ἐν δὲ τοῖς πράγμασιν ἄκαιρός τις καὶ μα-

Digitized by Google

κρός· συνέστραπται δέ, εἴ τις καὶ ἄλλος, καὶ πεπύκνωται τοῖς νοήμασι. καὶ τοσούτου δεῖ τῶν οὐκ ἀναγκαίων τι λέγειν, ὥστε καὶ πολλὰ τῶν χρησίμων ἂν δόξειε παραλιπεῖν· οὐ μὰ Δί' ἀσθενείᾳ εὑρέσεως αὐτὸ ποιῶν, ἀλλὰ συμμετρήσει τοῦ χρύνου, πρὸς ὃν ἔδει γενέσθαι τοὺς λόγους. βραχὺς γε μὴν οὕτως, ὡς μὲν ἰδιώτῃ, δηλῶσαι βουλομένῳ τὰ πράγματα, ἀποχρῶν, ὡς δὲ ῥήτορι, περιουσίαν δυνάμεως ἐνδείξασθαι ζητοῦντι, οὐχ ἱκανός. μιμητέον δὲ καὶ τὴν βραχύτητα τὴν Λυσίου· μετριωτέρα γὰρ οὐκ ἂν εὑρεθείη παρ' ἑτέρῳ ῥήτορι.

6. Μετὰ ταύτας ἀρετὴν εὑρίσκω παρὰ Λυσίᾳ πάνυ θαυμαστήν, ἣς Θεόφραστος μὲν φησιν ἄρξαι Θρασύμαχον, ἐγὼ δ' ἡγοῦμαι Λυσίαν· καὶ γὰρ τοῖς χρόνοις οὗτος ἐκείνου προέχειν ἔμοιγε δοκεῖ· λέγω δ' ὡς ἐν ἀκμῇ κοινῇ βίου γενομένων ἀμφοῖν· καί, εἰ μὴ τοῦτο δοθείη, τό γέ τοι περὶ τοὺς ἐλληθινοὺς ἀγῶνας ἐκείνου μᾶλλον τετρίφθαι· οὐ μέντοι διαβεβαιοῦμαί γε, ὁπότερος ἦρξε τῆς ἀρετῆς ταύτης κατὰ τὸ παρόν· ἀλλ' ὅτι Λυσίας μᾶλλον ἐν αὐτῇ διήνεγκε, τοῦτο θαῤῥῶν ἂν ἀποφηναίμην. τίς δ' ἐστὶν ἣν φημι ἀρετήν; ἡ συστρέφουσα τὰ νοήματα καὶ στρογγύλως ἐκφέρουσα λέξις, οὐσία πάνυ καὶ ἀναγκαία τοῖς δικανικοῖς λόγοις, καὶ παντὶ ἀληθεῖ ἀγῶνι. ταύτην ὀλίγοι μὲν ἐμιμήσαντο, Δημοσθένης δὲ καὶ ὑπερεβάλετο· πλὴν οὐχ οὕτως εὐτελῶς, οὐδὲ ἀφελῶς, ὥσπερ Λυσίας, χρησάμενος αὐτῇ, ἀλλὰ περιέργως καὶ πικρῶς· λέγε-

Digitized by Google

σθω γὰρ, ὡς ἐμοὶ φαίνεται· ὑπὲρ ὧν κατὰ τὸν οἰκεῖον διαλέξομαι καιρόν.

7. Ἔχει δὲ καὶ τὴν ἐνάργειαν πολλὴν ἡ Λυσίου λέξις· αὕτη δέ ἐστι δύναμίς τις ὑπὸ τὰς αἰσθήσεις ἄγουσα τὰ λεγόμενα, γίνεται δὲ ἐκ τῆς τῶν παρακολουθούντων λήψεως. ὁ δὲ προσέχων τὴν διάνοιαν τοῖς Λυσίου λόγοις, οὐχ οὕτως ἔσται σκαιὸς, ἢ δυσάρεστος, ἢ βραδὺς τὸν νοῦν, ὃς οὐχ ὑπολήψεται τὰ δυλούμενα ὡς γινόμενα ὁρᾶν, καὶ ὥσπερ παροῦσιν, οἷς ἂν ὁ ῥήτωρ εἰσάγῃ, προσώποις ὁμιλεῖν· ἐπιζητήσει τε οὐθὲν εἰκὸς, τοὺς μὲν ἄνδρας αἰτοῦσα εἰ ταθείη, τοὺς δὲ διανοηθῆναι, τοὺς δὲ εἰπεῖν. κράτιστος γὰρ δὴ πάντων ἐγένετο ῥητόρων φύσιν ἀνθρώπων κατοπτεῦσαι, καὶ τὰ προσήκοντα ἑκάστοις ἀποδοῦναι, πάθη τε, καὶ ἤθη, καὶ ἔργα.

8. Ἀποδίδωμί τε οὖν αὐτῷ καὶ τὴν εὐπρεπεστάτην ἀρετὴν, καλουμένην δὲ ὑπὸ τῶν πολλῶν ἠθοποιΐαν. ἁπλῶς γὰρ οὐδὲ εὑρεῖν δύναμαι παρὰ τῷ ῥήτορι τούτῳ πρόσωπον, οὔτε ἀνηθοποίητον, οὔτε ἄψυχον, τριῶν τε ὄντων, ἐν οἷς καὶ περὶ ἃ τὴν ἀρετὴν ταύτην συμβέβηκεν εἶναι, διανοίας τε καὶ λέξεως, καὶ τρίτης τῆς συνθέσεως ἐν ἅπασι τούτοις αὐτὸν ἀποφαίνομαι κατορθοῦν. οὐ γὰρ διανοουμένους μόνον ὑποτίθεται χρηστὰ καὶ ἐπιεικῆ καὶ μέτρια τοὺς λέγοντας, ὥστε εἰκόνας εἶναι δοκεῖν τῶν ἠθῶν τοὺς λόγους, ἀλλὰ καὶ τὴν λέξιν ἀποδίδωσι τοῖς ἤθεσιν οἰκείαν, ἣ πέφυκεν αὐτὰ ἑαυτῶν κράτιστα δηλοῦσθαι, τὴν σαφῆ, καὶ κυρίαν, καὶ κοινὴν, καὶ πᾶσιν ἀνθρώποις συνηθεστάτην· ὁ γὰρ ὄγκος,

Digitized by Google

καὶ τὸ ξένον, καὶ τὸ ἐξ ἐπιτηδεύσεως ἅπαν, ἀνηθοποίητον· καὶ συντίθησί γε αὐτὴν ἁπλῶς πάνυ καὶ ἀφελῶς, ὁρῶν, ὅτι οὐκ ἐν τῇ περιόδῳ καὶ τοῖς ῥυθμοῖς, ἀλλ' ἐν τῇ διαλελυμένῃ λέξει γίνεται τὸ ἦθος. καθόλου δέ, ἵνα καὶ περὶ ταύτης εἴπω τῆς ἀρετῆς, οὐκ οἶδ', εἴ τις ἄλλος ῥητόρων, τῶν γε τῇ ὁμοίᾳ κατασκευῇ χρησαμένων τοῦ λόγου, εἴτε ἥδιον συνέθηκεν, εἴτε πιθανώτερον. δοκεῖ μὲν γὰρ ἀποίητός τις εἶναι καὶ ἀτεχνίτευτος ὁ τῆς ἁρμονίας αὐτοῦ χαρακτήρ. καὶ οὐ θαυμάσαιμ' ἄν, εἰ πᾶσι μὲν τοῖς ἰδιώταις, οὐκ ὀλίγοις δὲ καὶ τῶν φιλολόγων, ὅσοι μὴ μεγάλας ἔχουσι τριβὰς περὶ λόγους, τοιαύτην τινὰ παράσχοι δόξαν, ὅτι ἀνεπιτηδεύτως, καὶ οὐ κατὰ τέχνην, αὐτομάτως δέ πως καὶ ὡς ἔτυχε συγκειται, ἔστι δὲ πάντας μᾶλλον ἔργου τεχνικοῦ κατεσκευασμένος. πεποίηται γὰρ αὐτῷ τοῦτο τὸ ἀποίητον, καὶ δέδεται τὸ λελυμένον, καὶ ἐν αὐτῷ τῷ μὴ δοκεῖν δεινῶς κατεσκευάσθαι τὸ δεινὸν ἔχει. τὴν ἀληθείαν οὖν τις ἐπιτηδεύων, καὶ φύσεως μιμητὴς γίνεσθαι βουλόμενος, οὐκ ἂν ἁμαρτάνοι τῇ Λυσίου συνθέσει χρώμενος· ἑτέραν γὰρ οὐκ ἂν εὕροι ταύτης ἀληθεστέραν.

9. Οἶμαι δὲ καὶ τὸ πρέπον ἔχειν τὴν Λυσίου λέξιν, οὐθενὸς ἧττον τῶν ἀρχαίων ῥητόρων, κρατίστην ἁπασῶν ἀρετὴν καὶ τελειοτάτην, ὁρῶν αὐτὴν πρός τε τὸν λέγοντα, καὶ πρὸς τοὺς ἀκροωντας, καὶ πρὸς τὸ πρᾶγμα, (ἐν τούτοις γὰρ δή καὶ πρὸς ταῦτα τὸ πρέπον) ἀρκούντως ἡρμοσμένην· καὶ γὰρ ἡλικίᾳ, καὶ γένει, καὶ παιδείᾳ, καὶ ἐπιτηδεύματι,

Digitized by Google

καὶ βίᾳ, καὶ τοῖς ἄλλοις, ἐν οἷς διαφέρει προσώπων τὰ πρόσωπα, τὰς οἰκείας ἀποδίδωσι φωνάς· πρός τε τὸν ἀκροατὴν συμμετρεῖται τὰ λεγόμενα οἰκείως, οὐ τὸν αὐτὸν τρόπον δικαστῇ τε καὶ ἐκκλησιαστῇ, καὶ πανηγυρίζοντι διαλεγόμενος ὄχλῳ· διαφορᾶς τε αὐτῷ λαμβάνει κατὰ τὰς ἰδέας τῶν πραγμάτων ἡ λέξις. ἀρχομένῳ μὲν γάρ ἐστι καθεστηκυῖα καὶ ἠθική· διηγουμένῳ δὲ πιθανὴ καὶ ἀπερίεργος· ἀποδεικνύντι δὲ στρογγύλη καὶ πυκνή· αὔξοντί δὲ καὶ παθαινομένῳ σεμνὴ καὶ ἀληθινὴ ἀνακεφαλαιουμένῳ δὲ διαλελυμένη καὶ σύντομος. ληπτέον δὲ καὶ τὸ πρέπον τῆς τάξεως παρὰ Λυσίου.

10. Ὅτι μὲν γὰρ πιθανὴ καὶ πειστικὴ καὶ πολλοῦ τὸ φυσικὸν ὑποφαίνουσα, καὶ πάνθ', ὅσα τῆς τοιαύτης ἰδέας ἔχεται, πρὸς εἰδότας οὐδὲν ἴσως δεῖ λέγειν· δι' ὅλου γὰρ ἤδη τοῦτό γε· καὶ οὐδείς ἐστιν, ὅστις οὐχὶ καὶ πείρᾳ καὶ ἀκοῇ μαθὼν, ὁμολογεῖ, πάντων ῥητόρων αὐτὸν εἶναι πιθανώτατον. ὥστε καὶ ταύτην τὴν ἀρετὴν ληπτέον παρὰ τοῦ ῥήτορος. πολλὰ καὶ καλὰ λέγειν ἔχων περὶ τῆς Λυσίου λέξεως, ἣν λαμβάνων καὶ μιμούμενος ἄν τις ἀμείνων γένοιτο τὴν ἑρμηνείαν, τὰ μὲν ἄλλα, τοῦ χρόνου στοχαζόμενος, ἐάσω· μίαν δὲ ἀρετὴν ἔτι τοῦ ῥήτορος ἐπιδείξομαι, κρίνας καλλίστην τε καὶ κοινοτάτην, καὶ μόνην, τὴν μάλιστα τῶν ἄλλων τὸν Λυσίου χαρακτῆρα δυναμένην βεβαιῶσαι· ἣν ὑπερεβάλετο μὲν οὐδεὶς τῶν ὕστερον, ἐμιμήσαντο δὲ πολλοὶ, καὶ παρ' αὐτὸ τοῦτο κρείσσους ἑτέρων ἔδοξαν εἶναι, τὴν ἄλλην δύναμιν οὐδὲν διαφέροντες·

Digitized by Google

ὑπὲρ ὧν, ἂν ἐγχωρῇ, κατὰ τὸν οἰκεῖον διαλέξομαι τόπον. τίς δέ ἐστιν ἥδε ἀρετὴ, ἥτις πᾶσιν ἐπανθοῦσα τοῖς ὀνόμασι; καὶ τίς ἡ χάρις; πρᾶγμα παντὸς κρεῖττον λόγου καὶ θαυμασιώτατον. ῥᾷστον μὲν γάρ ἐστιν ὀφθῆναι, καὶ παντὶ ὁμοίως ἰδιώτῃ τε καὶ τεχνίτῃ φανερόν· χαλεπώτατον δὲ λόγῳ δηλωθῆναι, καὶ οὐδὲ τοῖς κράτιστα εἰπεῖν δυναμένοις εὔπορον.

11. Ὥστε εἴ τις ἀξιοίη λύγῳ διδαχθῆναι ταύτην τὴν δύναμιν, ἥτις ποτέ ἐστιν, οὐκ ἂν φθάνοι καὶ ἄλλων πολλῶν καὶ καλῶν πραγμάτων δυσεκλαλήτων ἀπαιτῶν λόγον· λέγω δὲ, ἐπὶ κάλλους μὲν σωμάτων, τί δή ποτε τοῦτ' ἐστὶν, ὃ καλοῦμεν ὡραῖον· ἐπὶ κινήσεως δὲ μελισμοῦ καὶ πλοκῆς φθόγγων, τί λέγεται τὸ εὐάρμοστον· ἐπὶ συμμετρίας δὲ χρόνων, τίς ἡ τάξις, καὶ τί τὸ εὔρυθμον· καὶ ἐπὶ παντὸς δὲ συλλήβδην ἔργου τε καὶ πράγματος, τίς ὁ λεγόμενος καιρὸς, καὶ πῶς τὸ μέτριον. αἰσθήσει γὰρ τούτων ἕκαστον καταλαμβάνεται, καὶ οὐ λόγῳ. ὥσθ' ὅπερ μουσικοὶ παραγγέλλουσι ποιεῖν τοῖς βουλομένοις ἀκούειν ἀκριβῶς ἁρμονίας, ὥστε μηδὲ τὴν ἐλαχίστην ἐν τοῖς διηχήμασι δίεσιν ἀγνοεῖν τὴν ἄκοὴν ἐθίζειν, καὶ μηδὲν ἄλλο ταύτης ἀκριβέστερον ζητεῖν κριτήριον· τοῦτο κἀγὼ τοῖς ἀναγινώσκουσι τὸν Λυσίαν, καὶ τίς ἡ παρ' αὐτῷ χάρις ἐστὶ βουλομένοις μαθεῖν, ὑποθείμην ἂν ἐπιτηδεύειν χρόνῳ πολλῷ καὶ μακρᾷ τριβῇ, καὶ ἀλόγῳ πάθει τὴν ἄλογον συνασκεῖν αἴσθησιν. ταύτην μέντοι κρατίστην τε ἀρετὴν καὶ χαρακτηριστικωτάτην τῆς Λυσίου λέξεως ἔγωγε πείθομαι, εἴτε φύσεως αὐτὴν δεῖ καλεῖν εὐτυχίαν, εἴτε

Digitized by Google

πόνου καὶ τέχνης ἐργασίαν, εἴτε μικτὴν ἐξ ἀμφοῖν ἕξιν, ἢ δύναμιν, ἢ πάντας ὑπερέχει τοὺς λοιποὺς ῥήτορας. καὶ ὅταν διαπορῶ περί τινος τῶν ἀναφερομένων εἰς αὐτὸν λόγων, καὶ μὴ ῥᾴδιον ᾖ μοι διὰ τῶν ἄλλων σημείων ταληθὲς εὑρεῖν, ἐπὶ ταύτην καταφεύγω τὴν ἀρετήν, ὡς ἐπὶ ψήφων ἐσχάτην. ἔπειτα ἂν μὲν αἱ χάριτες αἱ τῆς λέξεως ἐπικοσμεῖν δοκῶσί μοι τὴν γραφὴν, τὰς Λυσίου ψυχῆς αὐτὴν τίθεμαι, καὶ οὐδὲν ἔτι πορρώτερω ταύτης σκοπεῖν ἀξιῶ. ἐὰν δὲ μηδεμίαν ἡδονὴν, μηδὲ ἀφροδίτην, ὁ τῆς λέξεως χαρακτὴρ ἔχῃ, δυσωπῶ καὶ ὑποπτεύω, μήποτ' οὐ Λυσίου ᾖ ὁ λόγος, καὶ οὐκ ἔτι βιάζομαι τὴν ἄλογον αἴσθησιν, οὐδὲ ἂν πάνυ δεινὸς εἶναι τἆλλ' οὖν ἄλλα μοι δοκῇ καὶ περιττῶς ἐξειργασμένος ὁ λόγος· τὸ μὲν εὖ γράφειν πολλοῖς οἰόμενος ὑπάρχειν κατά τινας καὶ ἄλλους ἰδίους λέξεως χαρακτῆρας· πολυειδὲς γὰρ τοῦτο· τὸ δ' ἡδέως καὶ κεχαρισμένως καὶ ἐπαφροδίτως, Λυσίᾳ· τεκμηρίῳ γοῦν οὐκ ἄλλῳ τινὶ κρείττονι χρώμενος, ἢ τῷ καθ' ἡδονὴν ἑρμηνεύεσθαι τὰ ὑπὸ τούτου λεγόμενα.

12. Πολλοὺς ἤδη τῶν ἀναφερομένων εἰς αὐτὸν λόγων, καὶ πεπιστευμένων ὑπὸ τοῦ πλήθους, ὡς εἰσὶν ἐν τοῖς πάνυ γνησίοις Λυσίου, καὶ τἆλλα οὐκ ἀτόπως ἔχοντας, ὅτι τὴν χάριν οὐ προσβάλλουσι τὴν Λυσιακὴν, οὐδὲ τὴν εὐστομίαν ἔχουσιν ἐκείνης τῆς λέξεως, ὑποπτεύσας τε καὶ βασανίσας, εὗρον οὐκ ὄντας Λυσίου. ὧν ἐστι καὶ ὁ περὶ τῆς Ἰφικράτους Εἰκόνος· ὃν οἶδ' ὅτι πολλοὶ καὶ χαρακτῆρα ἡγήσαιντο ἂν καὶ κανόνα τῆς ἐκείνου δυνάμεως.

Digitized by Google

σῦτος μέντοι ὁ λόγος, ὁ καὶ τοῖς ὀνόμασιν ἡρμηνεῦσθαι δοκῶν ἰσχυρῶς, καὶ τοῖς ἐνθυμήμασιν εἰρῆσθαι περιττῶς, καὶ ἄλλας πολλὰς ἀρετὰς ἔχων, ἄχαρίς ἐστι, καὶ πολλοῦ δεῖ τὸ Λυσιακὸν ἐπιφαίνειν στόμα· μάλιστα δ' ἐγένετό μοι καταφανὴς, ὅτι οὐχ ὑπ' ἐκείνου τοῦ ῥήτορος ἐγράφη, τοὺς χρόνους ἀναλογισαμένῳ· εἰ γὰρ ὀγδοηκονταετῆ γενόμενον θήσει τις τελευτῆσαι Λυσίαν, ἐπὶ Νίκωνος, ἢ ἐπὶ Ναυσινίκου ἄρχοντος, ἑπτὰ ἔτεσιν ὅλοις ἂν εἴη πρστεροῦσα τῆς γραφῆς τοῦ ψηφίσματος ἡ τελευτὴ τοῦ ῥήτορος. μετὰ γὰρ Ἀλκισθένην ἄρχοντα, ἐφ' οὗ τὴν εἰρήνην Ἀθηναῖοί τε καὶ Λακεδαιμόνιοι καὶ βασιλεὺς ὤμοσαν, ἀποδοὺς τὰ στρατεύματα Ἰφικράτης, ἰδιώτης γίνεται, καὶ τὸ περὶ τῆς εἰκόνος ἦν τότε ἔτεσιν ἑπτὰ πρότερον τῆς γραφῆς τετελευτηκότος Λυσίου, πρὸ τοῦ συντάξαι τοῦτον τὸν ἀγῶνα Ἰφικράτει. ὁμοίως δὲ καὶ τὴν Ἀπολογίαν τοῦ ἀνδρὸς, καὶ αὐτὴν εἰς Λυσίαν ἀναφερομένην, οὔτε τοῖς πράγμασιν ἀτόπως ἔχουσαν, οὔτε τοῖς ὀνόμασιν ἀσθενῶς, δι' ὑποψίας ἔλαβον, οὐκ ἐπανθούσης τῇ λέξει τῆς Λυσιακῆς χάριτος· καὶ παραθεὶς τοὺς χρόνους, οὐκ ὀλίγοις ἔτεσιν εὗρον ὑστεροῦσαν τῆς τελευτῆς τοῦ ῥήτορος, ἀλλὰ καὶ εἴκοσιν ὅλοις. ἐν γὰρ τῷ συμμαχικῷ πολέμῳ τὴν εἰσαγγελίαν Ἰφικράτης ἠγώνισται, καὶ τὰς εὐθύνας ὑπέσχηκε τῆς στρατηγίας, ὡς ἐξ αὐτοῦ γίνεται τοῦ λόγου καταφανές· οὗτος δὲ ὁ πόλεμος πίπτει κατὰ Ἀγαθοκλέα καὶ Ἐλπινίκην ἄρχοντας. ὅτι μὲν οὖν εἰσι λόγοι τοῦ ῥήτορος περί τε τῆς Εἰκόνος καὶ τῆς Προδοσίας, οὐκ ἔχοι βεβαίως εἰ-

Digitized by Google

πεῖν· ὅτι δ' ἑνὸς ἀμφοτέροις, πολλοῖς τεκμηρίοις ἔχοιμ' ἂν εἰπεῖν. ἡ γὰρ αὐτὴ προαίρεσίς τε καὶ δύναμις ἐν ἀμφοτέροις· ὑπὲρ ὧν οὐ καιρὸς ἐν τῷ παρόντι σκοπεῖν. εἰκάζω δὲ, Ἱφικράτους εἶναι αὐτούς· καὶ γὰρ τὰ πολέμια δεινὸς ὁ ἀνὴρ, καὶ ἐν λόγοις οὐκ εὐπαταφρόνητος· ἥ τε λέξις ἐν ἀμφοῖν πολὺ τὸ φορτικὸν καὶ στρατιωτικὸν ἔχει, καὶ οὐχ οὕτως ἐμφαίνει ῥητορικὴν ἀγχίνοιαν, ὡς στρατιωτικὴν αὐθάδειαν καὶ ἀλαζονείαν. ἀλλ' ὑπὲρ μὲν τούτων ἑτέρωθι δηλωθήσεται διὰ πλειόνων.

13. Ἀκμὴν δὲ, ὅθεν ἐξέβημεν εἰς ταῦτα. τὸ κράτιστόν ἐστι τῶν Λυσίου ἔργων καὶ τὸ χαρακτηριστικώτατον τῆς δυνάμεως, ἡ κοσμοῦσά τε καὶ ἀνθίζουσα τὴν λέξιν αὐτοῦ χάρις, ἣν οὔθ' ὑπερεβάλετο τῶν ἐπιγενομένων οὐδεὶς, οὔτε εἰς ἄκρον ἐμιμήσατο. καὶ τὰ μὲν περὶ τὴν ἑρμηνείαν ἀγαθὰ τοῦ ῥήτορος ταῦτα· συγκεφαλαιώσομαι γὰρ τὰ ῥηθέντα· τὸ καθαρὸν τῶν ὀνομάτων, ἡ ἀκρίβεια τῆς διαλέκτου, τὸ διὰ τῶν κυρίων καὶ μὴ τροπικῶν κατασκευῶν ἐκφέρειν τὰ νοήματα, ἡ σαφήνεια, ἡ συντομία, τὸ συστρέφειν τε καὶ στογγυλίζειν τὰ νοήματα, τὸ ὑπὸ τὰς αἰσθήσεις ἄγειν τὰ δηλούμενα, τὸ μηδὲν ἄψυχον ὑποτίθεσθαι πρόσωπον, μηδὲ ἀνηθοποίητον, ἡ τῆς συνθέσεως τῶν ὀνομάτων ἡδονὴ, μιμουμένη τὸν ἰδιώτην, τὸ τοῖς ὑποκειμένοις προσώποις καὶ πράγμασι τοὺς πρέποντας ἐφαρμόττειν λόγους, ἡ πιθανότης, καὶ ἡ χάρις, καὶ ὁ πάντα μετρῶν καιρός. ταῦτα παρὰ Λυσίου λαμβάνων ἔστις ὠφεληθείη. ὑψηλὴ δὲ καὶ μεγαλοπρεπὴς σὺκ

Digitized by Google

ἔστιν ἡ Λυσίου λέξις, οὐδὲ καταπληκτικὴ μὲν λίαν καὶ θαυμαστὴ, οὐδὲ τὸ πικρὸν, ἢ τὸ δεινὸν, ἢ τὸ φοβερὸν, ἐπιφαίνουσα, οὐδὲ ἀφὰς ἔχει καὶ τόνους ἰσχυροὺς, οὐδὲ θυμοῦ καὶ πνεύματός ἐστι μεστή· σὺ δ', ὥσπερ ἐν τοῖς ἤθεσίν ἐστι πιθανὴ, οὕτως ἐν τοῖς πάθεσιν ἰσχυρά· οὐδ', ὡς ἡδῦναι καὶ πεῖσαι καὶ χαριεντίσασθαι δύναται, οὕτω βιάσασθαί τε καὶ παραναγκάσαι· ἀσφαλής τε μᾶλλόν ἐστιν, ἢ παρακεκινδυνευμένη, καὶ οὐκ ἐπὶ τοσοῦτον ἰσχὺν ἱκανὴ δηλῶσαι τέχνης, ἐφ' ὅσον ἀλήθειαν εἰκάσαι φύσεως.

14. Καὶ θαυμάζειν ἄξιον, τί δή ποτε παθὼν ὁ Θεόφραστος, τῶν φορτικῶν καὶ περιέργων αὐτὸν οἴεται ζηλωτὴν γενέσθαι λόγων, καὶ τὸ ποιητικὸν διώκειν μᾶλλον, ἢ τὸ ἀληθινόν. ἐν γοῦν τοῖς Περὶ λέξεως γραφεῖσι τῶν τε ἄλλων καταμέμφεται τῶν περὶ τὰς ἀντιθέσεις καὶ παρισώσεις καὶ παρομοιώσεις, καὶ τὰ παραπλήσια τούτοις σχήματα διεφθαρκότων, καὶ δὴ καὶ τὸν Λυσίαν ἐν τούτοις καταριθμεῖ, καὶ τὸν ὑπὲρ Νικίου, τοῦ στρατηγοῦ τῶν Ἀθηναίων, λόγον, ὃν εἶπεν ἐπὶ Συρακουσίων αἰχμάλωτος ὤν, ὡς ὑπὸ τούτου γεγραμμένον τοῦ ῥήτορος, παρατιθείς. κωλύσει δ' αὐδὲν ἴσως καὶ τὴν λέξιν αὐτὴν θεῖναι τοῦ Θεοφράστου. ἔστι δὲ ἥδε· „Ἀντί-„θεσις δ' ἔστι τριττῶς, ὅταν τῷ αὐτῷ τὰ ἐναντία, „ἢ τῷ ἐναντίῳ τὰ αὐτὰ, ἢ τοῖς ἐναντίοις ἐναντία „προκατηγορηθείη. τοσαυταχῶς γὰρ ἐγχωρεῖ συζευ-„χθῆναι. τούτων δὲ τὸ μὲν ἴσον καὶ τὰ ὅμοιον, „παιδιῶδες, καθάπερεὶ ποίημα· διὸ καὶ ἧττον ἁρ-

Digitized by Google

„μόττει τῇ σπουδῇ. φαίνεται γὰρ ἀπρεπὴς, σπου-
„δάζοντα τοῖς πράγμασι τοῖς ὀνόμασι παίζειν, καὶ
„τὸ πάθος τῇ λέξει περιαιρεῖν. ἀκούει γάρ τὸν
„ἀκροατήν· οἷον ὡς ὁ Λυσίας ἐν τῇ τοῦ Νικίου
„ἀπολογίᾳ βουλόμενος ἔλεον ποιεῖν· Κλαίω τὸν
„ἀμάχητον καὶ ἀναυμάχητον ὄλεθρον. ἔπειτα μὲν
„αὐτοὶ τῶν θεῶν καθίζοντες, προδότας δὲ τῶν ὅρ-
„κων ἡμᾶς ἀποφαίνοντες, ἀνακαλοῦντες συγγένειαν,
„εὐμένειαν.“ ταῦτα γὰρ εἰ μὲν τῷ ὄντι Λυσίας
ἔγραψε, δικαίως ἂν ἐπιτιμήσεως ἀξιοῖτο, χαριεντι-
ζόμενος ἐν οὐ χαριέντι καιρῷ. εἰ δὲ ἑτέρου τινός
ἐστιν ὁ λόγος, ὑπὲρ ἐστὶν, ὁ κατηγορῶν, ἃ μὴ
προσῆκε, τοῦ ἀνδρὸς μεμπτέτερος. ὅτι δὲ οὐκ ἔγρα-
ψε Λυσίας τὸν ὑπὲρ Νικίου λόγον, οὐδ' ἔστιν οὔτε
τῆς ψυχῆς, οὔτε τῆς λέξεως ἐκείνης τὸ γράμμα, πολ-
λοῖς πάνυ τεκμηρίοις ἀποδεῖξαι δυνάμενος, οὐκ ἔχω
καιρὸν ἐν τῷ παρόντι λόγῳ· ἐδίαν δὲ περὶ τοῦ ῥήτο-
ρος πραγματείαν συνταττόμενος, ἐν ᾗ τά τε ἄλλα
δηλωθήσεταί μοι, καὶ τίνες εἰσὶν αὐτοῦ λόγοι γνή-
σιοι, τὴν ἀκρίβειαν ἐν ἐκείνοις καὶ περὶ τούτου ἀπο-
δοῦναι πειράσομαι τοῦ λόγου.

15. Νυνὶ δὲ περὶ τῶν ἑξῆς διαλέξομαι, τίς ὁ
πραγματικός ἐστι Λυσίου χαρακτὴρ, ἐπειδὴ τὸν
ὑπὲρ τῆς λέξεως ἀποδέδωκα· τοῦτο γὰρ ἔτι λείπεται
τὸ μέρος. εὑρετικὸς γάρ ἐστι τῶν ἐν τοῖς πράγμασιν
ἐνόντων λόγων ὁ ἀνὴρ, οὐ μόνον ὧν ἅπαντες εὑρο-
μεν, ἀλλὰ καὶ ὧν μηθείς. οὐδὲν γὰρ ἁπλῶς Λυσίας
παραλείπει τῶν στοιχείων, ἐξ ὧν ὁμολογεῖ, αὐτὰ
πρόσωπα, οὐ τὰ πράγματα, οὐκ αὐτὰς τὰς πράξεις,

Digitized by Google

αὐ τρόπους καὶ αἰτίας αὐτῶν, οὐ καιροὺς, οὐ χρόνους, οὐ τόπους, οὐ τὰς ἑκάστου τούτων διαφορὰς, ἄχρι τῆς εἰς ἐλαχίστην τομῆς· ἀλλ' ἐξ ἁπάσης θεωρίας καὶ παντὸς μερισμοῦ τὰς οἰκείας ἁφορμὰς ἐκλέγει. δηλοῦσι δὲ μάλιστα τὴν δεινότητα τῆς εὑρέσεως αὐτοῦ οἵ τε ἀμάρτυροι τῶν λύχνων, καὶ οἱ περὶ τὰς παραδόξους συνταχθέντες ὑποθέσεις· ἐν οἷς πλεῖστα καὶ κάλλιστα ἐνθυμήματα λέγει, καὶ τὰ πάνυ δοκοῦντα ταῖς ἄλλοις ἄπορα εἶναι καὶ ἀδύνατα, εὔπορα καὶ δυνατὰ φαίνεσθαι ποιεῖ· κριτικὸς ὢν δεῖ λέγειν· καὶ ὅτε μὴ πᾶσιν ἐξῆν χρῆσθαι τοῖς εὑρεθεῖσι, τῶν κρατίστων δὲ καὶ κυριωτάτων ἐκλεκτικὸς, εἰ μὴ καὶ μάλιστα, τῶν γ' ἄλλων ῥητόρων οὐδενὸς ἧττον. τάξει δὲ ἁπλῇ τινι κέχρηται τῶν πραγμάτων, καὶ τὰ πολλὰ ὁμοειδεῖ· περὶ τὰς ἐξεργασίας τῶν ἐπιχειρημάτων ἀφελής τις καὶ ἀπερίεργός ἐστιν· οὔτε γὰρ προκαταρκευαῖς, οὔτ' ἐφόδοις, οὔτε μερισμοῖς, οὔτε ποικιλίαις σχημάτων, οὔτε ταῖς ἄλλαις τοιαύταις πανουργίαις εὐρίσκεται χρώμενος, ἀλλ' ἔστιν ἀπέριττός τις καὶ ἐλεύθερος καὶ ἀπόνηρος οἰκονομῆσαι τὰ εὑρεθέντα. ἐκ δὲ τούτων παρακελεύομαι τοῖς ἀναγινώσκουσιν αὐτὸν, τὴν μὲν εὕρεσιν τῶν ἐνθυμημάτων καὶ τὴν σύγκρισιν ζηλοῦν· τὴν δὲ τάξιν καὶ τὴν ἐργασίαν αὐτῶν, ἐνδεεστέραν οὖσαν τοῦ προαιρουμένου, μὴ ἀπὸ τοῦδε τοῦ ἀνδρὸς, ἀλλὰ παρ' ἑτέρων, οἳ κρείττους οἰκονομῆσαι τὰ εὑρεθέντα ἔγένοντο, περὶ ὧν ὕστερον ἐρῶ, τοῦτο τὸ στοιχεῖον λαμβάνειν.

Ἀποδεδωκὼς δὲ τὸν ὑπὲρ τῶν ἀρετῶν τε καὶ

Digitized by Google

στοιχείων λόγον, ἐρῶ νῦν καὶ περὶ τοῦ γένους τῶν ἀμφισβητημάτων, ἐν οἷς ἐστι θεωρήμασιν ἡ παλαιὰ τέχνη. τριχῇ δὲ γεγημμένου τοῦ ῥητορικοῦ λόγου, καὶ τρία περιειληφότος γένη, τό τε δικανικόν, καὶ τὸ συμβουλευτικόν, καὶ τὸ καλούμενον ἐπιδεικτικόν, ἢ πανηγυρικόν, ἐν ἅπασι μὲν τούτοις ἐστὶν ὁ ἀνὴρ λόγου ἄξιος, μάλιστα δὲ ἐν τοῖς δικανικοῖς ἀγῶσι· κἂν τούτοις δὲ αὐτοῖς ἀμείνων ἐστὶ τὰ μικρὰ καὶ παράδοξα καὶ ἄπορα εἰπεῖν καλῶς, ἢ τὰ σεμνὰ καὶ μεγάλα καὶ εὔπορα δυνατῶς. ὁ βουλόμενος δὴ τὴν Λυσίου δύναμιν ἀκριβῶς καταμαθεῖν, ἐκ τῶν δικανικῶν αὐτὴν μᾶλλον λόγων, ἢ ἐκ τῶν πανηγυρικῶν τε καὶ συμβουλευτικῶν, σκοπείτω, ἵνα δὲ καὶ περὶ τῶν ἰδεῶν ἐγγέγραπταί μοι τὰ προσήκοντα εἰπεῖν, ἐάσω μὲν ταῦτα· περὶ δὲ προοιμίου, καὶ διηγήσεων, καὶ τῶν ἄλλων μερῶν τοῦ λόγου, διαλέξομαι, καὶ δηλώσω, ποῖός τις ἐστὶν ἐν ἑκάστῃ τῶν ἰδεῶν ὁ ἀνήρ· διαιρήσομαι δὲ αὐτὰς, ὡς Ἰσαχράτει τε καὶ τοῖς κατ' ἐκεῖνον τὴν ἄνδρα κοσμουμένοις ἤρεσεν, ἀρξάμενος ἀπὸ τῶν προοιμίων.

17. Φημὶ δὴ πάντων δεξιώτατον εἶναι τὸν ῥήτορα κατὰ τὰς εἰσβολὰς τῶν λόγων, καὶ χαριέστατον· ἐννοούμενος, ὅτι ἄρξασθαι μὲν καλῶς, οὐ ῥᾴδιόν ἐστιν, εἴ γέ τις τῇ προοιμίῳ χρῆσθαι βούλοιτο ἀρχῇ, καὶ μὴ τὸν ἐπιτυχόντα λόγον εἰπεῖν. οὐ γὰρ τὸ πρῶτον ἦθος, ἀλλ' ὁ τοῦ προτεθέντος λόγου μηδαμοῦ μᾶλλον, ἢ ἐπ' αὐτοῦ, ὠφελήσει. τοῦτο ἀρχή τε καὶ προοίμιον. ὁρῶ δὲ τὸν ῥήτορα πᾶσι κεχρημένον, οἷς αἱ τέχναι τὰ παραγγέλλουσι,

Digitized by Google

καὶ τὰ πράγματα βούλεται. τοτὲ μὲν γὰρ ἀπὸ τοῦ ἰδίου ἐπαίνου ὁ λέγων αὐτὸς ἄρχεται, τοτὲ δὲ ἀπὸ τῆς διαβολῆς τοῦ ἀντιδίκου· εἰ δὲ τύχοι αὐτὸς προδιαβληθεὶς, τὰς αἰτίας πρῶτον ἀπολύεται τὰς καθ' ἑαυτοῦ· τοτὲ δὲ τοὺς δικαστὰς ἐπαινῶν καὶ θεραπεύων, οἰκείους ἑαυτῷ τε καὶ τῷ πράγματι καθίστησι· τοτὲ δὲ τὴν ἀσθένειαν τὴν ἰδίαν, καὶ τὴν πλεονεξίαν τὴν τοῦ ἀντιδίκου, καὶ τὸ μὴ περὶ τῶν ἴσων ἀμφοτέροις εἶναι τὸν ἀγῶνα, ἀποδείκνυσι. τοτὲ δὲ, ὡς κοινὰ τὰ πράγματα, καὶ ἀναγκαῖα πᾶσι, καὶ οὐκ ἄξια ὑπὸ τῶν ἀκουόντων ἀμελεῖσθαι, λέγει· τοτὲ δὲ ἄλλο τι κατασκευάζεται τῶν δυναμένων αὐτὸν μὲν ὠφελῆσαι, τὸν δὲ ἀντίδικον ἐλαττῶσαι. ταῦτα δὲ συντόμως καὶ ἀφελῶς διανοίαις τε χρησταῖς καὶ γνώμαις εὐκαίροις καὶ ἐνθυμήμασι μετρίοις περιλαβὼν, ἐπὶ τὴν πρόθεσιν ἐπείγεται· δι' ἧς τὰ μέλλοντα ἐν ταῖς ἀποδείξεσι λέγεσθαι προειπὼν, καὶ τὸν ἀκροατὴν παρασκευάσας εὐμαθῆ πρὸς τὸν μέλλοντα λόγον, ἐπὶ τὴν διήγησιν καθίσταται· καὶ ἔστι μεθόριον αὐτῷ ἑκατέρας τῶν ἰδεῶν ὡς τὰ πολλὰ ἡ πρόθεσις. ἤδη δέ ποτε καὶ ἀπὸ μόνης ταύτης ἤρξατο, καὶ ἀπροσιμίαστός ποτε εἰσέβαλε, τὴν διήγησιν ἀρχὴν λαβών· καὶ οὐκ ἄψυχος, οὐδ' ἀκίνητός ἐστι περὶ ταύτην τὴν ἰδέαν. μάλιστα δ' ἄν τις αὐτοῦ θαυμάσειε τὴν ἐν τοῖς προοιμίοις αὐτοῦ δύναμιν, ἐνθυμηθεὶς, ὅτι διακοσίων οὐκ ἐλάττους δικανικοὺς γράψας λόγους, ἐν οὐδενὶ πέφηνεν, οὔτε ἀπιθάνως προοιμιαζόμενος, οὔτε ἀπηρτημένῃ τῶν πραγμάτων ἀρχῇ χρώμενος, ἀλλ' οὐδὲ τοῖς ἐνθυμή-

Digitized by Google

μάσιν ἐπιβάλλειν τοῖς αὐτοῖς, οὐδ' ἐπὶ τὰς αὐτὰς καταγήσεται διανοίας· καίτοι γε τοῦτο καὶ οἱ τοὺς ὀλίγους γράψαντες ἐμφήναντας πεπονθότες· λέγω δὲ τὸ τοῖς αὐτοῖς ἐπιβάλλειν τάπος· ἐῶ γὰρ, ὅτι καὶ τὰ παρ' ἑτέρου εἰρημένα λαμβάνοντες ὀλίγου δεῖν πάντες, δῆλον ἐν αἰσχύνῃ τίθενται τὸ ἔργον. οὗτοσὶ δὲ καινὸς ὁ ῥήτωρ ἐστὶ καθ' ἕκαστον τῶν λόγων, κατά γε οὖν τὰς εἰσβολὰς καὶ τὰ προοίμια· καὶ δυνατὸς, ὃ βούλοιτο, διαπράξασθαι. οὔτε γὰρ εὔνοιαν κινῆσαι βουλόμενος, οὔτε προσοχὴν, οὔτε εὐμάθειαν, ἀπυχήσειέ ποτε τοῦ σκοποῦ· κατὰ μὲν δὴ ταύτην τὴν ἰδέαν ἢ πρῶτος, ἢ οὐδενὸς δεύτερος, αὐτὸν ἀποφαίνομαι.

18. Ἐν δὲ τῷ διηγεῖσθαι τὰ πράγματα, ὅπερ, οἶμαι, μέρος πλείστης δεῖται φροντίδος καὶ φυλακῆς, ἀναμφιβόλως ἡγοῦμαι κράτιστον αὐτὸν εἶναι πάντων ῥητόρων, ἄρον τε καὶ κανόνα τῆς ἰδέας ταύτης αὐτὸν ἀποφαίνομαι. οἶμαί τε καὶ τὰς τέχνας τῶν λόγων, ἐν αἷς εἴρηται περὶ διηγήσεως ἀξιολόγου, οὐκ ἐξ ἄλλων τινῶν μᾶλλον, ἢ τῶν ὑπὸ Λυσίου γραφεισῶν, εἰληφέναι τὰ παραγγέλματα καὶ τὰς ἁρμονίας. καὶ γὰρ τὸ εὐσύνοπτον μάλιστα αὗται ἔχουσιν ἐν διηγήσεσι καὶ τὸ σαφὲς· ἡδεῖαί τέ εἰσιν, ὡς οὐχ ἧττον, καὶ πιθανοὶ, καὶ τὴν πίστιν ἅμα λεληθότως συνδιαπορεύονται· ὥστε μὴ ῥᾴδιον εἶναι, μήθ' ὅλην διήγησιν μηδεμίαν, μήτε μέρος αὐτῆς, ψευδὲς, ἢ ἐπιθανὸν, εὑρεθῆναι. τοσαύτην ἔχει πειθὼ καὶ ἁρμονίαν τὰ λεγόμενα, καὶ οὕτω λανθάνει τοὺς ἀκούοντας, εἴτ' ἀληθῆ ἔστι, εἴτε πεπλασμένα. καὶ

Digitized by Google

ὅπερ Ὅμηρος, ἐπαινῶν τὸν Ὀδυσσέα, ὡς πιθανὸν εἰπεῖν καὶ πλάσασθαι τὰ μὴ γενόμενα, εἴρηκε, τοῦτό μοι δοκεῖ κἂν ἐπὶ Λυσίου εἰπεῖν.

Ἴσκε ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα.

πᾶσί τε καὶ παντὸς μάλιστα τοῦτο παρακελευσαίμην ἀσκεῖν τὸ μέρος αὐτοῦ Λυσίου, παραδείγματα ποιούμενος τὰς γυμνασίας. κράτιστα γὰρ ἀποδείξαιτο ταύτην τὴν ἰδέαν ὁ μάλιστα τοῦτον τὸν ἄνδρα μιμησάμενος. ἐν δὲ τῷ πιστοῦσθαι τὰ πράγματα, τοιοῦτός τις ὁ ἀνήρ ἐστιν.

19. Ἄρξομαι δὲ ἀπὸ τῶν καλουμένων ἐντέχνων πίστεων, καὶ χωρὶς ὑπὲρ ἑκάστου μέρους διαλέξομαι. τριχῇ δὲ νενεμημένων τούτων, εἴς τε τὸ πρᾶγμα καὶ τὸ πάθος καὶ τὸ ἦθος, τὰ μὲν ἐκ τοῦ πράγματος, οὐδενὸς χεῖρον εὑρεῖν τε καὶ ἐξειπεῖν δύναται Λυσίας. καὶ γὰρ τοῦ εἰκότος ἀνὴρ ἄριστος εἰκαστής· καὶ τοῦ παραδείγματος, πῇ τε ὅμοιον εἶναι πέφυκε, καὶ πῇ διαφέρον, ἀκριβέστατος κριτής· τά τε σημεῖα διελεῖν τὰ παρεπόμενα τοῖς πράγμασι, καὶ εἰς τεκμηρίων δόξαν ἀγαγεῖν δυνατώτατος, καὶ τὰς ἐκ τῶν ἠθῶν γε πίστεις ἀξιολόγως πάνυ κατασκευάζειν ἔμοιγε δοκεῖ. πολλάκις μὲν γὰρ ἐκ τοῦ βίου καὶ τῆς φύσεως, πολλάκις δ' ἐκ τῶν προτέρων πράξεων καὶ προαιρέσεων, ἀξιόπιστα ποιεῖ τὰ ἤθη· ὅταν δὲ μηδεμίαν ἀφορμὴν παρὰ τῶν πραγμάτων τοιαύτην λάβῃ, αὐτὸς ἠθοποιεῖ καὶ κατασκευάζει τὰ πρόσωπα τῷ λόγῳ πιστὰ καὶ χρηστὰ, προαιρέσεις τε αὐτοῖς ἀστείας ὑποτιθεὶς, καὶ πάθη μέτρια προσάπτων, καὶ λόγους ἐπιεικεῖς ἀποδιδοὺς, καὶ ταῖς

Digitized by Google

τύχαις ἀκόλουθα φρονοῦντας εἰσάγων, καὶ ἐπὶ μὲν τοῖς ἀδίκοις ἀχθομένους καὶ λόγοις καὶ ἔργοις, τὰ δὲ δίκαια προαιρουμένους ποιεῖν, καὶ πάντα παραπλήσια τούτοις, ἐξ ὧν ἐπιεικὴς ἂν καὶ μέτριον ἦθος φανείη, κατασκευάζων. περὶ δὲ τὰ πάθη μελανωτερός ἐστι, καὶ οὔτε αὐξήσεις, οὔτε δεινώσεις, οὔτε οἰκτους, οὐθ' ὅσα τούτοις ἐστὶ παραπλήσια, γεανικῶς πάνυ καὶ ἐρρωμένως κατασκευάσαι δυνατός. οὐ δεῖ δὴ ταῦτα ἐπιζητεῖν παρὰ Λυσίου, κἂν τοῖς ἐπιλόγοις δὲ τὸ μὲν ἀνακεφαλαιωτικὸν τῶν ῥηθέντων μέρος μετρίως τε καὶ χαριέντως ἀπαριθμεῖ, τὸ δὲ παθητικὸν ἐκεῖνο, ἐν ᾧ παράκλησίς τε καὶ ἔλεος καὶ δέησις καὶ τὰ τούτοις ἀδελφὰ ἔνεστι, τοῦ προσήκοντος ἐνδεεστέρως ἀποδίδωσι.

20. Τοιοῦτος μὲν δή ἐστιν ὁ Λυσίου χαρακτήρ, ὡς ἐγὼ δόξης ἔχω περὶ αὐτοῦ. εἰ δέ τις ἄλλα παρὰ ταῦτα ἔγνωκε, λεγέτω· κἂν ᾖ πιθανώτερα, πολλὴν αὐτῷ χάριν εἴσομαι. ἵνα δὲ βέλτιον τῷ βουλομένῳ γένηται μαθεῖν, εἴτε ὀρθῶς ἡμεῖς ταῦτα καὶ προσηκόντως πεπείσμεθα, εἴτε καὶ διημαρτήκαμεν τὴν κρίσιν, τὴν ἐξέτασιν ἀπὸ τῶν ὑπ' ἐκείνου γραφέντων ποιήσομαί, προχειρισάμενός τινα λόγον· οὐ γὰρ ἐγχωρεῖ πολλοῖς χρῆσθαι παραδείγμασιν. ἐξ ἐκείνου δὲ τήν τε προαίρεσιν καὶ τὴν δύναμιν τοῦ ἀνδρὸς ἐπιδείξομεν, ἀποχρῆν οἰόμενοι ψυχαῖς εὐπαιδεύτοις καὶ μετρίαις, μικρά τε μεγάλων καὶ ὀλίγα πολλῶν γενέσθαι δείγματα. ἔστι δὲ ὁ λόγος ἐκ τῶν ἐπιτροπικῶν, ἐπιγραφόμενος κατὰ Διογείτονος, ὑπόθεσιν δὲ ἔχων τοιάνδε·

Digitized by Google

21. Διόδοτος, εἷς τῶν μετὰ Θρασύλλου καταλεγέντων ἐν τῷ Πελοποννησιακῷ πολέμῳ, μέλλων ἐκπλεῖν εἰς τὴν Ἀσίαν ἐπὶ Γλαυκίππου ἄρχοντος, ἔχων νήπια παιδία, διαθήκας ἐποιήσατο, καταλιπὼν αὐτοῖς ἐπίτροπον τὸν ἑαυτοῦ μὲν ἀδελφὸν, Διογείτονα, τῶν δὲ παιδίων θεῖόν τε καὶ πάππον ἀπὸ μητέρος. αὐτὸς μὲν οὖν ἐν Ἐφέσῳ μαχόμενος ἀπέθνῃσκει· Διογείτων δὲ πᾶσαν τὴν οὐσίαν τῶν ὀρφανῶν διαχειρισάμενος, καὶ ἐκ πολλῶν πάνυ χρημάτων οὐδὲν ἀποδείξας, αὐτὸς ἔτι περιὼν κατηγορεῖται πρὸς ἑνὸς τῶν μειρακίων δοκιμασθέντος κακῆς ἐπιτροπῆς. λέγει δὲ κατ' αὐτοῦ τὴν δίκην ὁ τῆς ἐκείνου μὲν θυγατριδῆς, τῶν δὲ μειρακίων ἀδελφῆς, ἀνήρ.

22. Προὐλαβον δὲ τὴν ὑπόθεσιν, ἵνα μᾶλλον γένηται καταφανὲς, εἰ μετρία καὶ προσηκούσῃ ἀρχῇ κέχρηται.

23. „Εἰ μὲν μὴ μεγάλα ἦν τὰ διαφέροντα, ὦ „ἄνδρες δικασταὶ, οὐκ ἄν ποτε εἰς ὑμᾶς εἰσελθεῖν „τούτους ἔασα, νομίζων, αἴσχιστον εἶναι πρὸς τοὺς „οἰκείους διαφέρεσθαι, εἰδώς τε, ὅτι οὐ μόνον οἱ „ἀδικοῦντες χείρους ὑμῖν εἶναι δοκοῦσιν, ἀλλὰ καὶ „οἵτινες ἂν ἔλαττον ὑπὸ τῶν προσηκόντων ἔχοντες „ἀνέχεσθαι μὴ δύνωνται. ἐπειδὴ μέντοι, ὦ ἄνδρες „δικασταὶ, πολλῶν χρημάτων ἀπεστέρηνται, καὶ „πολλὰ καὶ δεινὰ πεπονθότες ὑφ' ὧν ἥκιστα ἐχρῆν, „ἐπ' ἐμὲ κηδεστὴν ὄντα κατέφυγον, ἀνάγκη μοι γε„γένηται εἰπεῖν ὑπὲρ αὐτῶν. ἔχω δὲ τούτων μὲν „ἀδελφήν, Διογείτονος δὲ ἀδελφιδῆν· καὶ πολλὰ „ἀμφοτέρων δεηθεὶς, τὸ μὲν πρῶτον ἔπεισε τοῖς φί-

Digitized by Google

„λοις ἐπιτρέψαι διαιτᾶν, περὶ πολλοῦ ποιούμενος
„τὰ τούτων πράγματα μηδένα τῶν ἄλλων εἰδέναι.
„ἐπεὶ δὲ Διογείτων, ἃ φανερῶς ἔχων ἐξήλεγκτο, περὶ
„τούτων οὐδενὶ τῶν αὐτοῦ φίλων ἐτόλμα πείθεσθαι,
„ἀλλ' ἠβουλήθη καὶ φεύγειν δίκας, καὶ μὴ οὔσας
„διώκειν, καὶ ὑπομεῖναι τοὺς ἐσχάτους κινδύνους
„μᾶλλον, ἢ τὰ δίκαια ποιήσας ἀπηλλάχθαι τῶν
„πρὸς τούτους ἐγκλημάτων, ὑμῶν δέομαι, ἐὰν μὲν
„ἀποδείξω οὕτως αἰσχρῶς αὐτοὺς ἐπιτετροπευμένους
„ὑπὸ τοῦ πάππου, ὡς οὐδεὶς πώποτε ὑπὸ τῶν οὐ-
„δὲν προσηκόντων ἐν τῇ πόλει, βοηθεῖν αὐτοῖς τὰ
„δίκαια· εἰ δὲ μή, τούτῳ μὲν ἅπαντα πιστεύειν,
„ἡμᾶς δὲ εἰς τὸν λοιπὸν χρόνον ἡγεῖσθαι χείρους
„εἶναι. ἐξ ἀρχῆς δ' ὑμᾶς περὶ αὐτῶν διδάξαι πειρα-
„σομαι."

24. Τοῦτο τὸ προοίμιον ἁπάσας ἔχει τὰς ἀρε-
τὰς, ὅσας δεῖ τὸ προοίμιον ἔχειν. δηλώσουσι δὲ οἱ
κανόνες αὐτῷ παρατεθέντες οἱ τῶν τεχνῶν. ἅπαντες
γὰρ δή που παραγγέλλουσιν οἱ συνταξάμενοι τὰς
τέχνας, ὅταν ᾖ πρὸς οἰκείους ὁ ἀγὼν, σκοπεῖν, ὅπως
μὴ πονηροὶ, μηδὲ φιλοπράγμονες, οἱ κατήγοροι φα-
νήσονται. κελεύουσί τε πρῶτον μὲν τὴν αἰτίαν εἰς
τοὺς ἀντιδίκους περιϊστάναι καὶ τοῦ ἐγκλήματος καὶ
τοῦ ἀγῶνος, καὶ λέγειν, ὅτι μεγάλα τἀδικήματα, καὶ
οὐκ ἐνῆν αὐτὰ μετρίως ἐνεγκεῖν, καὶ ὅτι ὑπὲρ ἀναγ-
καιοτέρων προσώπων ὁ ἀγὼν, καὶ ἐρήμων, καὶ ἧττον
ὑπεροφθῆναι ἀξίων, οἷς μὴ βοηθοῦντες κακίους ἂν
ἐφάνησαν· καὶ ὅτι προκαλούμενοι τοὺς ἀντιδίκους
εἰς διαλλαγὰς, καὶ φίλοις τὰ πράγματα ἐπιτρέπον-

Digitized by Google

τες, καὶ τὰ δυνατὰ ἐλαττοῦσθαι ὑπομένοντες, οὐδενὸς ἠδυνήθησαν τυχεῖν τῶν μετρίων. ταῦτα μὲν δὴ παραγγέλουσι ποιεῖν οἱ τεχνογράφοι, ἵνα τὸ ἦθος τοῦ λέγοντος ἐπιεικέστερον εἶναι δόξῃ. δύναται δὲ αὐτοῖς εὔνοιαν τοῦτο ποιεῖν· καὶ ἔστι κράτιστον τῆς κατασκευῆς μέρος. ταῦθ' ὁρῶ πάντα διὰ τοῦ προοιμίου τοῦδε γεγονότα. καὶ μὴν εἴς γε τὸ εὐμαθεῖς τοὺς ἀκροατὰς ποιῆσαι, κελεύουσι συστρέφαντας εἰπεῖν τὸ πρᾶγμα, ἵνα μὴ ἀγνοῶσι τὴν ὑπόθεσιν οἱ δικασταὶ, καὶ οἷά περ ἂν ᾖ τὰ μέλλοντα λέγεσθαι, τοιοῦτο καὶ τὸ προοίμιον ὑποτίθεσθαι ἀπ' ἀρχῆς, καὶ δεῖγμα τοῦ πράγματος ποιουμένους, εὐθὺς ἀπ' ἐνθυμημάτων πειρᾶσθαι ἄρχεσθαι. ἔχει δὴ καὶ ταῦτα τὸ προοίμιον. ἔτι περὶ τῆς προσοχῆς ὧδέ πως τεχνολογοῦσιν· ὅτι δεῖ τὸν προσεκτικοὺς μέλλοντα ποιεῖν τοὺς ἀκροατὰς, καὶ λέγειν θαυμαστὰ καὶ παράδοξα, καὶ δεῖσθαι τῶν δικαστῶν ἀκοῦσαι. φαίνεται δὲ καὶ ταῦτα πεπυσμένως ὁ Λυσίας. καὶ προσέτι τούτοις τὸ λεῖον τῆς ἑρμηνείας, καὶ τὸ ἀφελὲς τῆς κατασκευῆς· ὧν μάλιστα δεῖ τοῖς ὑπ' ἐκείνων προοιμιαζομένοις. ἄξιον δὲ καὶ τὴν διήγησιν ὡς ᾠκονόμηται καταμαθεῖν. ἔχει δὲ οὕτως·

25. „Ἀδελφοὶ ἦσαν, ὦ ἄνδρες δικασταὶ, Διόδο„τος καὶ Διογείτων, ὁμοπάτριοι καὶ ὁμομήτριοι. καὶ „τὴν μὲν ἀφανῆ οὐσίαν ἐνείμαντο, τῆς δὲ φανερᾶς „ἐκοινώνουν. ἐργασαμένου δὲ Διοδότου κατ' ἐμπο„ρίαν πολλὰ χρήματα, πείθει αὐτὸν Διογείτων λα„βεῖν τὴν ἑαυτοῦ θυγατέρα, ἥπερ ἦν αὐτῷ μόνη. „καὶ γίνονται αὐτῷ δύο υἱοὶ καὶ θυγάτηρ. χρόνῳ

Digitized by Google

„δὲ ὕστερον καταλεγεὶς Διόδοτος μετὰ Θρασύλλου
„τοῦ ἐπὶ τῶν ὁπλιτῶν, καλέσας τὴν ἑαυτοῦ γυναῖκα,
„ἀδελφιδῆν οὖσαν, καὶ τὸν ἐκείνης μὲν πατέρα, αὖ-
„τοῦ δὲ κηδεστὴν καὶ ἀδελφὸν ὁμοπάτριον, πάππον
„δὲ τῶν παιδίων καὶ θεῖον, ἡγούμενος διὰ ταύτας
„τὰς ἀναγκαιότητας οὐδενὶ μᾶλλον προσήκειν ἑτέρῳ
„εἰς τοὺς παῖδας ἐπιτρόπῳ γενέσθαι, διαθήκην αὐ-
„τῷ δίδωσι, καὶ πέντε τάλαντα ἀργυρίου παρακα-
„ταθήκην. ναυτικὰ δὲ ἐπέδειξεν ἑκδεδομένα ἑπτὰ
„τάλαντα καὶ τετταράκοντα μνᾶς, χιλίας δὲ ὀφειλο-
„μένας ἐν Χερρονήσῳ. ἐπάσχησε δὲ, ἐάν τι πάθῃ,
„τάλαντον μὲν ἐπιδοῦναι τῇ γυναικὶ, καὶ τὰ ἐν τῷ
„δωματίῳ δοῦναι· τάλαντον δὲ τῇ θυγατρὶ. κατέλι-
„πε καὶ εἴκοσι μνᾶς τῇ γυναικὶ, καὶ τριάκοντα στα-
„τῆρας Κυζικηνούς. ταῦτα δὲ πράξας, καὶ οἴκοι
„ἀντίγραφα καταλιπὼν, ᾤχετο στρατευσόμενος μετὰ
„Θρασύλλου. ἀποθανόντος δὲ ἐκείνου ἐν Ἐφέσῳ,
„Διογείτων τὴν μὲν θυγατέρα ἔκρυπτε τὸν θάνατον
„τοῦ ἀνδρὸς, καὶ τὰ γράμματα λαμβάνει, ἃ κατέλι-
„πε σεσημασμένα, φάσκων τὰ ναυτικὰ χρήματα
„δεῖν ἐκ τούτων τῶν γραμματείων κομίσασθαι. ἐπεὶ
„δὲ τῷ χρόνῳ ἐδήλωσε τὸν θάνατον αὐτοῖς, καὶ
„ἐποίησαν τὰ νομιζόμενα, τῶν μὲν πρῶτον ἐνιαυτὸν
„ἐν Πειραιεῖ διῃτῶντο· ἅπαντα γὰρ αὐτοῦ κατελέ-
„λειπτο τὰ ἐπιτήδεια. ἐκείνων δ' ὑπολιπόντων, τοὺς
„μὲν παῖδας εἰς ἄστυ ἀναπέμπει, τὴν δὲ μητέρα
„αὐτῶν ἐκδίδωσιν, ἐπιδοὺς πεντακισχιλίας δραχμὰς,
„χιλίαις ἔλαττον ὧν ὁ ἀνὴρ αὐτῇ ἔδωκεν. ὀγδόῳ δ'
„ἔτει δοκιμασθέντος μετὰ ταῦτα τοῦ πρεσβυτέρου

Digitized by Google

„τοῖν μειρακίοιν, καλέσας αὐτοὺς εἶπε Διογείτων, „ὅτι καταλίποι αὐτοῖς ὁ πατὴρ ἑξήκοντα μνᾶς ἀργυ- „ρίου, καὶ τριάκοντα στατῆρας. Ἐγὼ οὖν πολλὰ „τῶν ἐμαυτοῦ δεδαπάνηκα εἰς τὴν ὑμετέραν τρο- „φήν· καὶ ἕως μὲν εἶχον, οὐδέν μοι διέφερε· νῦν δὲ „καὶ αὐτὸς ἀπόρως διάκειμαι. σὺ οὖν, ἐπειδὴ δεδο- „κίμασαι καὶ ἀνὴρ γεγένησαι, σκόπει αὐτὸς ἤδη, „πόθεν ἕξεις τὰ ἐπιτήδεια. ταῦτ' ἀκούσαντες, ἐκπε- „πληγμένοι καὶ δακρύοντες ᾤχοντο πρὸς τὴν μητέ- „ρα, καὶ παραλαβόντες ἐκείνην ἦκον πρὸς ἐμέ, „οἰκτρῶς ὑπὸ τοῦ πάθους διακείμενοι, καὶ ἀθλίως „ἐκπεπτωκότες, κλαίοντες, καὶ παρακαλοῦντές με „μὴ περιϊδεῖν αὐτοὺς ἀποστερηθέντας τῶν πατρῴων, „μηδ' εἰς πτωχείαν καταστάντες, ὑβρισμένους ὑφ' „ὧν ἧκιστα ἐχρῆν, ἀλλὰ βοηθῆσαι, καὶ τῆς ἀδελφῆς „οὕνεκα καὶ σφῶν αὐτῶν. πολλὰ ἂν εἴη λέγειν, ὅσον „πένθος ἐν τῇ ἐμῇ οἰκίᾳ ἦν ἐν ἐκείνῳ τῷ χρόνῳ. „τελευτῶσα δὲ ἡ μήτηρ αὐτῶν ἠντιβόλει με καὶ ἐκέ- „τευε συναγαγεῖν αὐτῆς τὸν πατέρα καὶ τοὺς φί- „λους, εἰποῦσα, ὅτι, εἰ καὶ πρότερον μὴ εἴθισται „λέγειν ἐν ἀνδράσι, τὸ μέγεθος αὐτὴν ἀναγκάσει „τῶν συμφορῶν, περὶ τῶν σφετέρων κακῶν δηλῶσαι „πάντα πρὸς ἡμᾶς. ἐλθὼν δ' ἐγὼ ἠγανάκτουν μὲν „πρὸς Ἡγήμονα τὸν ἔχοντα τὴν τούτου θυγατέρα, „λόγους δ' ἐποιούμην πρὸς τοὺς ἄλλους ἐπιτηδείους· „ἠξίουν δὲ ταῦταν εἰς ἔλεγχον ἰέναι περὶ τῶν πραγ- „μάτων. Διογείτων δὲ τὸ μὲν πρῶτον οὐκ ἤθελε, „τελευτῶν δὲ ὑπὸ τῶν φίλων ἠναγκάσθη. ἐπειδὴ δὲ „συνήλθομεν, ἤρετο αὐτὸν ἡ γυνή, τίνα ποτὲ ψυχὴν

Digitized by Google

„ἔχων, ἀξιοῖ περὶ τῶν παίδων τοιαύτῃ γνώμῃ χρῆ-
„σθαι, ἀδελφὸς μὲν ὢν τοῦ πατρὸς αὐτῶν, πατὴρ
„δ' ἐμός, θεῖος δὲ αὐτοῖς καὶ πάππος· καὶ, εἰ μη-
„δένα ἀνθρώπων ἡσχύνου, τοὺς θεοὺς ἐχρῆν σε,
„φησὶ, δεδιέναι· ὃς ἔλαβες μὲν, ὅτ' ἐκεῖνος ἐξέπλει,
„πέντε τάλαντα παρακαταθήκην, καὶ περὶ τούτων ἐγὼ
„θέλω, τοὺς παῖδας παραστησαμένη, καὶ τούτους
„καὶ τοὺς ὕστερον ἐμαυτῇ γενομένους, ὀμόσαι, ὅπου
„ἂν αὐτὸς λέγῃς. καίτοι οὐχ οὕτως ἐγὼ εἰμὶ ἀθλία,
„οὐδ' οὕτω περὶ πολλοῦ ποιοῦμαι χρήματα, ὥστ'
„ἐπιορκήσασα κατὰ τῶν παίδων τῶν ἐμαυτῆς τὸν
„βίον καταλιπεῖν, ἀδίκως δὲ ἀφελέσθαι τὴν τοῦ
„πατρὸς οὐσίαν. ἔτι τοίνυν ἐξήλεγχεν αὐτὸν ἑπτὰ
„τάλαντα κεκομισμένον ναυτικὰ, καὶ τετρακισχιλίας
„δραχμὰς, καὶ τούτων τὰ γράμματα ἐπέδειξεν. ἐν
„γὰρ τῇ διοικήσει, ὅτ' ἐκ Κολυττοῦ διῳκίζετο εἰς
„τὴν Φαίδρου οἰκίαν, τοὺς παῖδας ἐπιτυχόντας
„ἐκβεβλημένῳ βιβλίῳ, ἐνεγκεῖν πρὸς ταύτην. ἀπέ-
„φηνε δ' αὐτὸν ἑκατὸν μνᾶς κεκομισμένον ἐγγύσεις
„ἐπὶ τόκῳ δεδανεισμένας, καὶ ἑτέρας δισχιλίας δρα-
„χμὰς, καὶ ἔπιπλα πολλοῦ ἄξια· φοιτᾶν δὲ καὶ σῖ-
„τον αὐτοῖς ἐκ Χερρονήσου καθ' ἕκαστον ἐνιαυτόν.
„ἔπειτα σὺ ἐτόλμησας, ἔφη, εἰπεῖν, ἔχων τοσαῦτα
„χρήματα, ὡς δισχιλίας δραχμὰς ὁ τούτων πατὴρ
„κατέλιπε, καὶ τριάκοντα στατῆρας; ἃ παρ' ἐμοὶ
„καταλειφθέντα, ἐκείνου τελευτήσαντος, ἐγώ σοι
„ἔδωκα, καὶ ἐκβάλλειν τούτους ἠξίωκας θυγατρι-
„δοῦς ὄντας ἐκ τῆς οἰκίας τῆς αὐτῶν ἐν τριβωνίοις,
„ἀνυποδήτους, οὐ μετὰ ἀκολούθου, οὐ μετὰ στρω-

Digitized by Google

„μάτων, οὐ μετὰ ἱματίων, οὐ μετὰ τῶν ἐπίπλων, ἃ „ὁ πατὴρ αὐτοῖς κατέλιπεν, οὐδὲ μετὰ τῶν παρα„καταθηκῶν, ἃς ἐκεῖνος παρά σοι κατέθετο, καὶ „νῦν τοὺς μὲν ἐκ τῆς μητρυιᾶς τῆς ἐμῆς παιδεύεις „ἐν πολλοῖς χρήμασιν εὐδαίμονας ὄντας· καὶ ταῦτα „μὲν καλῶς ποιεῖς· τοὺς δ' ἐμοὺς ἀδικεῖς, οὓς ἀτί„μως ἐκ τῆς οἰκίας ἐκβαλὼν, ἀντὶ πλουσίων πτωχοὺς „ἀποδεῖξαι προθυμῇ. καὶ ἐπὶ τοιούτοις ἔργοις οὔτε „τοὺς θεοὺς φοβῇ, οὔτε ἐμὲ τὴν σὴν θυγατέρα τὴν „συνειδυῖαν αἰσχύνῃ, οὔτε τοῦ ἀδελφοῦ μέμνησαι, „ἀλλὰ πάντας ἡμᾶς περὶ ἐλάττονος ποιῇ χρημάτων. „τότε μὲν οὖν, ὦ ἄνδρες δικασταὶ, πολλῶν καὶ δει„νῶν ὑπὸ τῆς γυναικὸς ῥηθέντων, οὕτω διετέθημεν „πάντες οἱ παρόντες ὑπὸ τῶν τούτῳ πεπραγμένων, „καὶ τῶν λόγων τῶν ἐκείνης, ὁρῶντες μὲν τοὺς παῖ„δας οἷα ἦσαν πεπονθότες, ἀναμιμνησκόμενοι δὲ „τοῦ ἀποθανόντος, ὡς ἀνάξιον τῆς οὐσίας τὸν ἐπί„τροπον κατέλιπεν, ἐνθυμούμενοι δὲ, ὡς χαλεπὸν „ἐξευρεῖν, ὅτῳ χρὴ περὶ τῶν ἑαυτοῦ πιστεῦσαί τινα· „ὥστε, ὦ ἄνδρες δικασταὶ, μηδένα τῶν παρόντων „δύνασθαι φθέγξασθαι, ἀλλὰ καὶ δακρύοντας μη„δὲν ἧττον τῶν πεπονθότων, ἀπιόντας οἴχεσθαι „σιωπῇ."

26. Ἵνα δὲ καὶ ὁ τῶν ἀποδείξεων χαρακτὴρ καταφανὴς γένηται, θήσω καὶ τὰ ἐπὶ τούτοις λεγόμενα. τὰς μὲν οὖν ἰδίας πίστεις, ὡς οὐ πολλῶν ἔτι λόγων δεομένας, δι' αὐτῶν βεβαιοῦται τῶν μαρτύρων, οὐδὲν ἕτερον, ἢ τοῦτο, εἰπών· „Πρῶτον μὲν οὖν „τούτων ἀνάβητέ μοι μάρτυρες." τὰ δὲ τοῦ ἀντι-

Digitized by Google

δίκου δίκαια διχῇ κείμας, ὡς τὰ μὲν ὁμολογήσαντος αὐτοῦ λαβεῖν, καὶ εἰς τὰς τροφὰς τῶν ὀρφανῶν ἀνηλωκέναι σκηψαμένου, τὰ δὲ ἐξάρνου γενηθέντος εἰλῆφέναι, κἄπειτα ἐλεγχθέντος, ὑπὲρ ἀμφοτέρων ποιεῖται τὸν λόγον· τάς τε δαπάνας οὐχ ἃς ἐκεῖνος ἀπέφηνε γενέσθαι λέγων, καὶ περὶ τῶν ἀμφιβόλων τὰς πίστεις ἀποδιδούς·

27. „Ἀξιῶ τοίνυν, ὦ ἄνδρες δικασταί, τῷ λογι„σμῷ προσέχειν τὸν νοῦν, ἵνα τοὺς μὲν νεανίσκους „διὰ τὸ μέγεθος τῶν συμφορῶν ἐλεήσητε, τοῦτον δ' „ἅπασι τοῖς πολίταις ἄξιον ὀργῆς ἡγήσησθε. εἰς „τοσαύτην γὰρ ὑποψίαν Διογείτων πάντας ἀνθρώ„πους εἰς ἀλλήλους καθίστησιν, ὥστε μηδὲ ζῶντας, „μηδὲ ἀποθνήσκοντας, μηδὲν μᾶλλον τοῖς οἰκειο„τάτοις, ἢ τοῖς ἐχθίστοις, πιστεύειν· ὃς ἐτόλμησε „τὰ μὲν ἔξαρνος γενέσθαι, τὰ δὲ τελευτῶν ὁμολογή„σας ἔχειν, εἰς δύο παῖδας καὶ ἀδελφὴν λῆμμα καὶ „ἀνάλωμα ἐν ὀκτὼ ἔτεσιν, ἑπτὰ τάλαντα ἀργυρίου, „καὶ ἑπτακισχιλίας δραχμὰς ἀποδεῖξαι· καὶ εἰς τοῦ„το ἦλθεν ἀναισχυντίας, ὥστε οὐκ ἔχων, ὅπου „στρέψειε τὰ χρήματα, εἰς ὄψον μὲν δυοῖν παιδίοιν „καὶ ἀδελφῇ πέντε ὀβολοὺς τῆς ἡμέρας ἐλογίζετο, „εἰς ὑποδήματα δὲ καὶ εἰς γναφεῖον [ἱμάτια,] καὶ „εἰς κουρεῖον, οὐκ ἦν αὐτῷ κατὰ μῆνα, οὐδὲ κατ' „ἐνιαυτὸν γεγραμμένα, συλλήβδην δὲ παντὸς τοῦ „χρόνου, πλεῖον, ἢ τάλαντον ἀργυρίου. εἰς δὲ τὸ „μνῆμα τοῦ πατρὸς οὐκ ἀναλώσας πέντε καὶ εἴκοσι „μνᾶς, ἐν πεντακισχιλίων δραχμῶν, τὸ μὲν ἥμισυ „αὐτῶν τίθησι τούτοις λελογίσθαι. εἰς Διονύσια

Digitized by Google

„τοίνυν, ὦ ἄνδρες δικασταί, (οὐκ ἄτοπον γάρ μοι „δοκεῖ καὶ περὶ τούτου μνησθῆναι·) ἑκκαίδεκα „δραχμῶν ἀπέφαινεν ἐωνημένον ἱμάτιον· καὶ τού- „των τὰς ὀκτὼ δραχμὰς ἐλογίζετο τοῖς παισίν· ἐφ „ὧν ἡμεῖς οὐχ ἥκιστα ὠργίσθημεν. οὕτως, ὦ ἄνδρες, „ἐν ταῖς μεγάλαις ζημίαις ἐνίοτε οὐχ ἧττον τὰ μι- „κρὰ λυπεῖ τοὺς ἀδικουμένους. λίαν γὰρ φανερὰν „τὴν πονηρίαν τῶν ἀδικούντων ἐπιδείκνυσιν. εἰς „τοίνυν τὰς ἄλλας ἑορτὰς καὶ θυσίας ἐλογίσατο αὐ- „τοῖς πλέον, ἢ τετρακισχιλίας δραχμὰς, ἀνηλωμένας, „ἕτερά τε παμπληθῆ, ἃ πρὸς τὸ κεφάλαιον συνελο- „γίζετο· ὥσπερ διὰ τοῦτο ἐπίτροπος τῶν παίδων „καταλειφθεὶς, ἵνα γράμματα αὐτοῖς ἀντὶ τῶν χρη- „μάτων ἀποδείξειε, καὶ πενεστάτους ἀντὶ πλουσίων „ἀποφήνειε, καὶ ἵνα, εἰ μέν τις αὐτοῖς πατρικὸς „ἐχθρὸς ἦν, ἐκείνου μὲν ἐπιλάθωνται, τῷ δ', ἐπεὶ „τῶν πατρῴων εἰσὶν ἀπεστερημένοι, πολεμῶσι. καί- „τοι εἰ ἐβούλετο δίκαιος εἶναι περὶ τοὺς παῖδας, „ἐξῆν αὐτῷ κατὰ τοὺς νόμους, οἳ κεῖνται περὶ τῶν „ὀρφανῶν, καὶ τοῖς ἀδυνάτοις τῶν ἐπιτρόπων, καὶ „τοῖς δυναμένοις, μισθώσασι τὸν οἶκον, ἀπηλλαγμέ- „νοις πολλῶν πραγμάτων, ἢ γῆν πριαμένοις, ἐκ τῶν „προσιόντων τοὺς παῖδας τρέφειν· καὶ ὁπότερον „τούτων ἐποίησεν, οὐδενὸς ἂν ἧττον Ἀθηναίων „πλουσίοις ἦσαν. νῦν δέ μοι δοκεῖ οὐδεπώποτε δια- „νοηθῆναι, ὡς φανερὰν καταστήσων τὴν οὐσίαν, „ἀλλ' ὡς αὐτὸς ἔξων τὰ τούτων· ἡγούμενος δεῖν τὴν „αὐτοῦ πονηρίαν κληρονόμον εἶναι τῶν τοῦ τεθνεῶ- „τος χρημάτων. ὃ δὲ πάντων δεινότατον, ὦ δικα-

Digitized by Google

„σταί· οὗτος γὰρ, συντριηραρχῶν Ἀλέξιδι τῷ Ἀρι-
„στοδίκου, φάσκων δυοῖν δεούσας πεντήκοντα μνᾶς
„ἐκείνῳ συμβαλέσθαι, τὸ ἥμισυ τούτων τοῖς ὀρφα-
„νοῖς οὖσι λελόγισται, οὓς ἡ πόλις οὐ μόνον παῖδας
„ὄντας ἀτελεῖς ἐποίησεν, ἀλλὰ καὶ ἐπειδὰν δοκιμα-
„σθῶσιν, ἐνιαυτὸν ἀφῆκεν ἁπασῶν τῶν λειτουργιῶν.
„οὗτος δὲ, πάππος ὢν, παρὰ τοὺς νόμους, τῆς ἑαυ-
„τοῦ τριηραρχίας παρὰ τῶν θυγατριδῶν τὸ ἥμισυ
„πράττεται. καὶ ἀποπέμψας εἰς τὸν Ἀδρίαν ἁλκάδα
„δυοῖν ταλάντοιν; ὅτε μὲν ἀπέστελλεν, ἔλεγε πρὸς
„τὴν μητέρα αὐτῶν, ὅτι τῶν παίδων ὁ κίνδυνος εἴη·
„ἐπεὶ δὲ ἐσώθη καὶ ἐδιπλασίασεν, αὑτοῦ τὴν ἐμπο-
„ρίαν ἔφασκεν εἶναι. καίτοι εἰ μὲν τὰς ζημίας τού-
„των ἀποδείξει, τὰ δὲ σωθέντα τῶν χρημάτων αὐ-
„τὸς ἕξει, ὅπη δὲ μὴ ἀνήλωται τὰ χρήματα, οὐ χα-
„λεπῶς εἰς τὸν λόγον ἐγγράψει, ῥᾳδίως ἐκ τῶν ἀλλο-
„τρίων αὐτὸς πλουτήσει. καθ' ἕκαστον μὲν οὖν, ὦ
„δικασταὶ, πολὺ ἂν εἴη ἔργον πρὸς ὑμᾶς λογίζεσθαι·
„ἐπειδὴ δὲ μόλις παρ' αὐτοῦ παρέλαβον τὰ γράμ-
„ματα, μάρτυρας ἔχων, ἠρώτων Ἀριστόδικον, τὸν
„ἀδελφὸν τοῦ Ἀλέξιδος· αὐτὸς γὰρ ἐτύγχανε τετε-
„λευτηκώς· εἰ ὁ λόγος αὐτῷ εἴη τῆς τριηραρχίας, ὁ
„δὲ ἔφασκεν εἶναι. καὶ ἐλθόντες οἴκαδε, εὕρομεν
„Διογείτονα τέτταρας καὶ εἴκοσι μνᾶς ἐκείνῳ συμ-
„βεβλημένον εἰς τὴν τριηραρχίαν· οὗτος δὲ ἐπέδειξε
„δυοῖν δεούσας πεντήκοντα μνᾶς ἀνηλωκέναι· ὥστε
„τούτοις λελογίσθαι, ὅσονπερ ὅλον τὸ ἀνάλωμα
„αὐτῷ γεγένηται. καίτοι τί αὐτὸν οἴεσθε πεποιηκέ-
„ναι περὶ ὧν αὐτῷ οὐδεὶς σύνοιδεν, ἀλλ' αὐτὸς μό-

Digitized by Google

„νος διεχείριζεν, ὃς ἃ δὲ ἑτέρων ἐπράχθη, καὶ οὐ
„καλεπὸν ἦν περὶ τούτων πυθέσθαι, ἐτόλμησε ψευ-
„σάμενος, τέτταρσι καὶ εἴκοσι μναῖς τοὺς αὑτοῦ
„θυγατριδοῦς ζημιῶσαι; καί μοι ἀνάβητε τούτων
„μάρτυρες." — *Μάρτυρες.* — „Τῶν μὲν μαρτύρων
„ἀκηκόατε, ὦ δικασταί. ἐγὼ δ' ὅσα τελευτῶν ὁμολόγη-
„σεν αὐτὸς ἔχειν χρήματα, ἑπτὰ τάλαντα καὶ τετρακό-
„σια μνᾶς, ἐκ τούτων αὐτῶν λογιοῦμαι, πρόσο-
„δον μὲν οὐδεμίαν ἀποφαίνων, ἀπὸ δὲ τῶν ὑπαρ-
„χόντων ἀναλίσκων· καὶ θήσω, ὅπου οὐδεὶς πώπο-
„τε ἐν τῇ πόλει, εἰς δύο παῖδας, καὶ ἀδελφὴν, καὶ
„παιδαγωγὸν, καὶ θεράπαιναν, χιλίας δραχμὰς ἑκά-
„στου ἐνιαυτοῦ, μικρῷ ἔλαττον, ἢ τρεῖς δραχμὰς
„τῆς ἡμέρας. ἐν ὀκτὼ ἔτεσιν αὗται γίνονται ὀκτα-
„κισχίλιαι δραχμαί· καὶ ἀποδείκνυνται ἓξ τάλαντα
„περιόντα τῶν ἑπτὰ ταλάντων, καὶ εἴκοσι μναῖ. οὐ
„γὰρ ἂν δύναιτο ἀποδεῖξαι οὔθ' ὑπὸ τῶν λῃστῶν
„ἀπολωλεκώς, οὔτε ζημίαν εἰληφὼς, οὔτε χρήσταις
„ἀποδεδωκώς." . . .

28. Ἐν μὲν δὴ τοῖς ἐπιδεικτικοῖς λόγοις μαλα-
κώτερος, ὥσπερ ἔφην. βούλεται μὲν γὰρ ὑψηλότερος
εἶναι, καὶ μεγαλοπρεπέστερος, καὶ τῶν γε καθ' ἑαυ-
τὸν, ἢ πρότερον, ῥητόρων ἁπάντων οὐδενὸς ἂν
δόξειεν εἶναι καταδεέστερος· οὐ διεγείρει δὲ τὸν
ἀκροατὴν, ὥσπερ Ἰσοκράτης, ἢ Δημοσθένης. θήσω
δὲ καὶ τούτων παράδειγμα.

29. Ἔστι δή τις αὐτῷ παηγυρικὸς λόγος, ἐν ᾧ
πείθει τοὺς Ἕλληνας, ἀγομένης Ὀλυμπιάδος τῆς πα-
νηγύρεως, ἐκβάλλειν Διονύσιον τὸν τύραννον τῆς

Digitized by Google

ἀρχῆς, καὶ Σικελίαν ἐλευθέρωσαι, ἄρξασθαί τε τῆς ἔχθρας αὐτίκα μάλα, διαρπάσαντας τὴν τοῦ τυράννου σκηνὴν χρυσῷ τε καὶ πορφύρᾳ καὶ ἄλλῳ πλούτῳ πολλῷ κεκοσμημένην. ἔπεμψε γὰρ θεωροὺς εἰς τὴν πανήγυριν ὁ Διονύσιος, ἄγοντας θυσίαν τῷ θεῷ· μεγαλοπρεπὴς τε καταγωγὴ τῶν θεωρῶν ἐγίνετο ἐν τῷ τεμένει καὶ πολυτελὴς, ἵνα θαυμασθείη μᾶλλον ὁ τύραννος ὑπὸ τῆς Ἑλλάδος. ταύτην λαβὼν τὴν ὑπόθεσιν, τοιαύτην πεποίηται τὴν ἀρχὴν τοῦ λόγου·

30. „Ἄλλων τε πολλῶν καὶ καλῶν ἔργων ἕνεκα, „ὦ ἄνδρες, ἄξιον Ἡρακλείους μεμνῆσθαι, καὶ ὅτι „τόνδε τὸν ἀγῶνα πρῶτος συνήγειρε δι' εὔνοιαν τῆς „Ἑλλάδος. ἐν μὲν γὰρ τῷ τέως χρόνῳ ἀλλοτρίως αἱ „πόλεις πρὸς ἀλλήλας διέκειντο· ἐπειδὴ δὲ ἐκεῖνος „τοὺς τυράννους ἔπαυσε, καὶ τοὺς ὑβρίζοντας ἐκώ„λυσεν, ἀγῶνα μὲν σωμάτων ἐποίησε, φιλοτιμίαν δὲ „πλούτῳ, γνώμης δ' ἐπίδειξιν ἐν τῷ καλλίστῳ τῆς „Ἑλλάδος· ἵνα τούτων ἁπάντων ἕνεκα εἰς τὸ αὐτὸ „συνέλθωμεν, τὰ μὲν ὀψόμενοι, τὰ δὲ ἀκουσόμενοι. „ἡγήσατο γὰρ τὸν ἐνθάδε σύλλογον ἀρχὴν γενέσθαι „τοῖς Ἕλλησι τῆς πρὸς ἀλλήλους φιλίας. ἐκεῖνος μὲν „οὖν ταῦθ' ὑφηγήσατο. ἐγὼ δὲ ἦκω οὐ μικρολογη„σόμενος, οὐδὲ περὶ τῶν ὀνομάτων μαχούμενος· „ἡγοῦμαι γὰρ ταῦτα, ἔργα μὲν εἶναι σοφιστῶν λίαν „ἀχρήστων καὶ σφόδρα βίου δεομένων· ἀνδρὸς δ' „ἀγαθοῦ καὶ πολίτου πολλοῦ ἀξίου, περὶ τῶν με„γίστων συμβουλεύειν· ὁρῶν οὖσας αἰσχρῶς διαπει„μένην τὴν Ἑλλάδα, καὶ πολλὰ μὲν αὐτῆς ἤδη ὑπὸ

Digitized by Google

τακισχίλιοι σχεδὸν Ἀθηναίων ἀπελαθήσεσθαι τῶν κοινῶν. ἵνα δὴ μὴ τοῦτο γένοιτο, γράφει τὸν λόγον τόνδε ὁ Λυσίας τῶν ἐπισήμων τινὶ καὶ πολιτευομένων. εἰ μὲν οὖν ἐρρήθη τότε, ἄδηλον· σύγκειται γοῦν ὡς πρὸς ἀγῶνα ἐπιτηδείως. ἔστι δὲ ὅδε·

33. „Ὅτε ἐνομίζομεν, ὦ Ἀθηναῖοι, τὰς γεγε„νημένας συμφορὰς ἱκανὰ μνημεῖα τῇ πόλει κατα„λελεῖφθαι, ὥστε μηδ' ἂν τοὺς ἐπιγινομένους ἐτέ„ρας πολιτείας ἐπιθυμεῖν, τότε δὴ οὗτοι τοὺς κα„κῶς πεπονθότας, καὶ ἀμφοτέρων πεπειραμένους, „ἐξαπατῆσαι ζητοῦσι τοῖς αὐτοῖς ψηφίσμασιν, οἷό„περ καὶ πρότερον. διὸ δὴ καὶ τούτων μὲν οὐ θαυ„μάζω, ὑμῶν δὲ τῶν ἀκροωμένων, ὅτι πάντων εἰ„σὶν ἐπιλησμονέστατοι, ἢ πάσχειν ἑτοιμότατοι κα„κῶς ὑπὸ τοιούτων ἀνδρῶν, οἳ τῇ μὲν τύχῃ τῶν ἐκ „Πειραιῶς πραγμάτων μετέσχον, τῇ δὲ γνώμῃ τῶν ἐξ „ἄστεος. καίτοι τί ἔδει φεύγοντας κατελθεῖν, εἰ χει„ροτονοῦντες ὑμᾶς αὐτοὺς καταδουλώσεσθε; ἐγὼ „μὲν οὖν, ὦ Ἀθηναῖοι, οὔτε ἡλικίᾳ, οὔτε γένει, „ἀπελαυνόμενος, ἀλλ' ἀμφότερα τῶν ἀντιλεγόντων „πρότερος ὤν, ἡγοῦμαι, ταύτην μόνην σωτηρίαν „εἶναι τῇ πόλει, ἅπασιν Ἀθηναίοις τῆς πολιτείας μέτ„εἶναι· ἐπεὶ ὅτε καὶ τὰ τείχη, καὶ τὰς ναῦς, καὶ „τὰ χρήματα, καὶ συμμάχους ἐκτησάμεθα, οὐχ „ὅπως ἵνα Ἀθηναίων τινὰ ποιήσωμεν, διενοούμεθα, „ἀλλὰ καὶ Εὐβοεῦσιν ἐπιχαμίαν ἐποιούμεθα· νῦν „δὲ καὶ τοὺς ὑπάρχοντας πολίταις ἀπελοῦμεν; οὐκ, „ἄν ἔμοιγε πείθωμεθα. οὐδὲ μετὰ τῶν τειχῶν καὶ

Digitized by Google

„ταῦτα ἡμῶν αὐτῶν περιαιρησόμεθα, ὁπλίτας πολ-
„λοὺς καὶ ἱππέας καὶ τοξότας· ὧν ὑμεῖς ἀντεχόμε-
„νοι, βεβαίως δημοκρατήσεσθε, τῶν δὲ ἐχθρῶν
„πλέον ἐπικρατήσετε; ὠφελιμώτεροι δὲ τοῖς συμ-
„μάχοις ἔσεσθε. ἐπίστασθε γὰρ ταῖς ἐφ' ἡμῶν ὀλι-
„γαρχίαις γεγενημέναις, καὶ οὐ τοὺς γῆν κεκτημέ-
„νους ἔχοντας τὴν πόλιν, ἀλλὰ καὶ πολλοὺς μὲν
„αὐτῶν ἀποθανόντας, πολλοὺς δ' ἐκ τῆς πόλεως
„ἐκπεσόντας· οὓς ὁ δῆμος καταγαγὼν, ὑμῖν μὲν
„τὴν ὑμετέραν ἀπέδωκεν, αὐτὸς δὲ ταύτης οὐκ ἐτόλ-
„μησε μετασχεῖν. ὥστε, ἂν ἔμοιγε πείθησθε, οὐ
„τοὺς εὐεργέτας, καθὸ δύνασθε, τῆς πατρίδος ἀπο-
„στερήσετε, οὐδὲ τοὺς λόγους πιστοτέρους τῶν ἔρ-
„γων, οὐδὲ τὰ μέλλοντα τῶν γεγενημένων, νομι-
„εῖτε· ἄλλως τε καὶ μεμνημένοι τῶν περὶ τῆς ὀλι-
„γαρχίας μαχομένων, οἳ τῷ μὲν λόγῳ τῷ δήμῳ πο-
„λεμοῦσι, τῷ δὲ ἔργῳ τῶν ὑμετέρων ἐπιθυμοῦσιν·
„ἅπερ κτήσονται, ὅταν ὑμᾶς ἐρήμους συμμάχων
„λάβωσιν. εἶτα τοῖς τῶν ἡμῖν ὑπαρχόντων ἐρῶσι,
„τίς ἔσται σωτηρία τῇ πόλει, εἰ μὴ ποιήσομεν, ἃ
„Λακεδαιμόνιοι κελεύουσιν. ἐγὼ δὲ τούτους εἰπεῖν
„ἀξιῶ, τί τῷ πλήθει περιγενήσεται, εἰ ποιήσαιμεν,
„ἃ ἐκεῖνοι προστάττουσιν; εἰ δὲ μὴ, πολὺ κάλλιον
„μαχομένους ἀποθνήσκειν, ἢ φανερῶς ἡμῶν αὐτῶν
„θάνατον καταψηφίσασθαι. ἡγοῦμαι γὰρ, ἐὰν
„μὴ πείθω, ἀμφοτέροις κοινὸν εἶναι κίνδυνον· ὁρῶ
„δὲ Ἀργείους καὶ Μαντινέας τὴν αὐτὴν ἔχοντας
„γνώμην, τὴν αὑτῶν οἰκοῦντας, τοὺς μὲν ὁμόρους
„ὄντας Λακεδαιμονίοις, τοὺς δὲ ἐγγὺς οἰκοῦντας,

Digitized by Google

„καὶ τοὺς μὲν οὐδὲν ἡμῶν πλείους, τοὺς δὲ οὐδὲ
„τρισχιλίους ὄντας. ἴσασι γὰρ, ὅτι, κἂν πολλάκις
„εἰς τὴν τούτων ἐμβάλωσι, πολλάκις αὐτοῖς ἀπαν-
„τήσονται, ὅπλα λαβόντες· ὥστε οὐ καλὸς ὁ κίν-
„δυνος αὐτοῖς δοκεῖ εἶναι, ἐὰν μὲν νικήσωσι, τού-
„τους καταδουλώσεσθαί γε, ἐὰν δὲ ἡττηθῶσι, σφᾶς
„αὐτοὺς τῶν ὑπαρχόντων ἀγαθῶν ἀποστερῆσαι·
„ὅσοι δ' ἂν ἄμεινον πράττωσι, τοσούτῳ ἐπιθυμοῦ-
„σι κινδυνεύειν. εἴχομεν δὲ, ὦ ἄνδρες, καὶ ἡμεῖς
„ταύτην τὴν γνώμην, ὅτε τῶν Ἑλλήνων ἤρχομεν,
„καὶ ἐδοκοῦμεν καλῶς βουλεύεσθαι, περιορῶντες
„μὲν τὴν χώραν τεμνομένην, οὐ νομίζοντες δὲ χρῆ-
„ναι περὶ αὐτῆς διαμάχεσθαι. ἄξιον γὰρ ἦν, ὀλί-
„γων ἀμελοῦντας, πολλῶν ἀγαθῶν φείσασθαι. νῦν
„δὲ, ἐπεὶ ἐκείνων μὲν ἁπάντων μάχῃ ἐστερήμεθα,
„ἡ δὲ πατρὶς ἡμῶν λέλειπται, ἴσμεν, ὅτι ὁ κίνδυ-
„νος οὗτος μόνος ἔχει τὰς ἐλπίδας τῆς σωτηρίας.
„ἀλλὰ γὰρ χρὴ ἀναμνησθέντας, ὅτι ἤδη καὶ ἑτέροις
„ἀδικουμένοις βοηθήσαντες, ἐν τῇ ἀλλοτρίᾳ πολλὰ
„τρόπαια τῶν πολεμίων ἐστήσαμεν, ἄνδρας ἀγα-
„θοὺς περὶ τῆς πατρίδος καὶ ἡμῶν αὐτῶν γίνεσθαι,
„πιστεύοντας μὲν τοῖς θεοῖς, καὶ ἐλπίζοντας ἐπὶ
„τὸ δίκαιον μετὰ τῶν ἀδικουμένων ἕσεσθαι. δεινὸν
„γὰρ ἂν εἴη, ὦ Ἀθηναῖοι, εἰ, ὅτε μὲν ἐφεύγο-
„μεν, ἐμαχόμεθα Λακεδαιμονίοις, ἵνα κατέλθω-
„μεν κατελθόντες δὲ φευξόμεθα, ἵνα μὴ μαχώ-
„μεθα. οὐκοῦν αἰσχρὸν, εἰ εἰς τοῦτο κακίας
„ἥξομεν, ὥστε οἱ μὲν πρόγονοι καὶ ὑπὲρ τῆς τῶν
„ἄλλων ἐλευθερίας Ἑλλήνων διεκινδύνευον, ὑμεῖς

Digitized by Google

„δὲ οὐδὲ ὑπὲρ τῆς ὑμετέρας αὐτῶν τολμᾶτε πο-
„λεμεῖν;“

34. Ἀλλ' ἄλις ἤδη παραδειγμάτων, ἵνα καὶ περὶ τῶν λοιπῶν ῥητόρων τὸν αὐτὸν διαλεχθῶμεν τρόπον. ἕπεται δὲ τῷ ῥήτορι τούτῳ κατὰ τὴν τάξιν τῶν χρόνων Ἰσοκράτης. περὶ δὴ τούτου λεκτέον ἑφεξῆς, ἑτέραν ἀρχὴν λαβοῦσιν.

ΙΣΟΚΡΑΤΗΣ ΑΘΗΝΑΙΟΣ.

Ἰσοκράτης ὁ Ἀθηναῖος ἐγεννήθη μὲν ἐπὶ τῆς ὀγδοηκοστῆς καὶ ἕκτης Ὀλυμπιάδος, ἄρχοντος Ἀθήνῃσι Λυσιμάχου, πέμπτῳ πρότερον ἔτει τοῦ Πελοποννησιακοῦ πολέμου, δυσὶ καὶ εἴκοσιν ἔτεσι νεώτερος Λυσίου, πατρὸς δ' ἦν Θεωδώρου, τινὸς τῶν μετρίων πολιτῶν, θεράποντας αὐλοποιοὺς κεκτημένου, καὶ τὸν βίον ἀπὸ ταύτης ἔχοντος τῆς ἐργασίας. ἀγωγῆς δὲ τυχὼν εὐσχήμονος, καὶ παιδευθεὶς οὐδενὸς Ἀθηναίων χεῖρον, ἐπειδὴ τάχιστα ἀνὴρ ἐγένετο, φιλοσοφίας ἐπεθύμησε. γενόμενος δ' ἀκουστὴς Προδίκου τε τοῦ Κείου, καὶ Γοργίου τοῦ Λεοντίνου, καὶ Τισίου τοῦ Συρακουσίου, τῶν τότε μέγιστον ὄνομα ἐν τοῖς Ἕλλησιν ἐχόντων ἐπὶ σοφίᾳ· ὡς δέ τινες ἱστοροῦσι, καὶ Θηραμένους τοῦ ῥήτορος, ὃν οἱ τριάκοντα ἀπέκτειναν, δημοτικὸν εἶναι δοκοῦντα· σπουδὴν μὲν ἐποιεῖτο πράττειν τε καὶ λέγειν τὰ πολιτικά. ὡς δὲ ἡ φύσις ἠναντιοῦτο, τὰ πρῶτα καὶ κυριώτατα τοῦ ῥήτορος ἀφελομένη, τόλμαν τε καὶ φωνῆς μέγεθος, ὧν χωρὶς οὐχ οἷόν τ' ἦν ἐν ὄχλῳ λέγειν, ταύτης μὲν ἀπέστη τῆς προαιρέσεως.

Digitized by Google

ἐπιθυμῶν δὲ δόξης, καὶ τοῦ πρωτεῦσαι παρὰ τοῖς Ἕλλησιν ἐπὶ σοφίᾳ, καθάπερ αὐτὸς εἴρηκεν, ἐπὶ τὸ γράφειν, ἃ διανοηθείη, κατέφυγεν· οὐ περὶ μικρῶν τὴν προαίρεσιν ποιούμενος, οὐδὲ περὶ τῶν ἰδίων συμβολαίων, οὐδὲ ὑπὲρ ὧν ἄλλοι τινὲς τῶν τότε σοφιστῶν· περὶ δὲ τῶν Ἑλληνικῶν καὶ βασιλικῶν πραγμάτων, ἐξ ὧν ὑπελάμβανε τάς τε πόλεις ἄμεινον οἰκήσεσθαι, καὶ τοὺς ἰδιώτας ἐπίδοσιν ἕξειν πρὸς ἀρετήν. ταῦτα γὰρ ἐν τῷ Παναθηναϊκῷ λόγῳ περὶ αὐτοῦ γράφει. πεφυρμένην δὲ παραλαβὼν τὴν ἄσκησιν τῶν λόγων ὑπὸ τῶν περὶ Γοργίαν καὶ Πρωταγόραν σοφιστῶν, πρῶτος ἐχώρησεν ἀπὸ τῶν ἐριστικῶν τε καὶ φυσικῶν ἐπὶ τοὺς πολιτικούς, καὶ περὶ ταύτην σπουδάζων τὴν ἐπιστήμην διετέλεσεν· ἐξ ἧς, ὡς φησιν αὐτός, τὸ βουλεύεσθαι καὶ λέγειν καὶ πράττειν τὰ συμφέροντα παραγίνεται τοῖς μαθοῦσιν. ἐπιφανέστατος δὲ γενόμενος τῶν κατὰ τὸν αὐτὸν ἀκμασάντων χρόνον, καὶ τοὺς κρατίστους τῶν Ἀθήνησί τε καὶ ἐν τῇ ἄλλῃ Ἑλλάδι νέων παιδεύσας· ὧν οἱ μὲν ἐν τοῖς δικανικοῖς ἐγένοντο ἄριστοι λόγοις, οἱ δ' ἐν τῷ πολιτεύεσθαι καὶ τὰ κοινὰ πράττειν διήνεγκαν, καὶ ἄλλοι δὲ τὰς κοινὰς τῶν Ἑλλήνων τε καὶ βαρβάρων πράξεις ἀνέγραψαν· καὶ τῆς Ἀθηναίων πόλεως εἰκόνα ποιήσας τὴν ἑαυτοῦ σχολήν, κατὰ τὰς ἀποικίας τῶν λόγων, πλοῦτον, ὅσον οὐδεὶς τῶν ἀπὸ φιλοσοφίας χρηματισαμένων, περιποιησάμενος, ἐτελεύτα τὸν βίον ἐπὶ Χαιρωνίδου ἄρχοντος, ὀλίγαις ἡμέραις ὕστερον τῆς ἐν Χαιρωνείᾳ μάχης, δυοῖν δέοντα βεβιωκὼς ἑκα-

Digitized by Google

τὸν ἔτη γνώμῃ χρησάμενος, ἅμα τοῖς ἀγαθοῖς τῆς πόλεως συγκαταλῦσαι τὸν ἑαυτοῦ βίον, ἀδήλου ἔτι ὄντος, πῶς χρήσεται τῇ τύχῃ Φίλιππος παραλαβὼν τὴν τῶν Ἑλλήνων ἀρχήν. τὰ μὲν οὖν ἱστορούμενα περὶ αὐτοῦ, κεφαλαιωδῶς ταῦτ' ἐστίν.

2. Ἡ δὲ λέξις, ᾗ κέχρηται, τοιοῦτόν τινα χαρακτῆρα ἔχει. καθαρὰ μέν ἐστιν οὐχ ἧττον τῆς Λυσίου, καὶ οὐδὲν εἰκῇ τιθεῖσα ὄνομα· τήν τε διάλεκτον ἀκριβοῦσα ἐν τοῖς πάνυ τὴν κοινὴν καὶ συνηθεστάτην· καὶ γὰρ αὕτη πέφευγεν ἀπηρχαιωμένων καὶ σημειωδῶν ὀνομάτων τὴν ἀπειροκαλίαν. [κατὰ δὲ τὴν τροπικὴν φράσιν ὀλίγον τι διαλλάττει τῆς Λυσίου] καὶ κέκραται συμμέτρως· τό τε σαφὲς ἐκείνῃ παραπλήσιον ἔχει, καὶ τὸ ἐναργές. ἠθική τ' ἐστὶ καὶ πιθανή. καὶ στρογγύλη δ' οὐκ ἔστιν, ὥσπερ ἐκείνη, καὶ συγκεκροτημένη, καὶ πρὸς ἀγῶνας δικανικοὺς εὔθετος· ὑπτία δέ ἐστι μᾶλλον καὶ κεχυμένη πλουσίως. οὐ δὲ δὴ σύντομος οὕτως, ἀλλὰ καὶ κατασκελὴς καὶ βραδυτέρα τοῦ μετρίου· δι' ἣν δ' αἰτίαν τοῦτο πάσχει, μετὰ μικρὸν ἐρῶ. οὐδὲ τὴν σύνθεσιν ἐπιδείκνυται τὴν φυσικὴν καὶ ἀφελῆ καὶ ἐναγώνιον, ὥσπερ ἡ Λυσίου, ἀλλὰ πεποιημένην μᾶλλον εἰς σεμνότητα πομπικὴν καὶ ποικίλην, καὶ ᾗ μὲν εὐπρεπεστέραν ἐκείνης, ᾗ δὲ περιεργοτέραν. ὁ γὰρ ἀνὴρ οὗτος τὴν εὐέπειαν ἐκ παντὸς διώκει, καὶ τοῦ γλαφυρῶς λέγειν στοχάζεται μᾶλλον, ἢ τοῦ ἀφελῶς, τῶν τε γὰρ φωνηέντων τὰς παραλλήλους θέσεις, ὡς λυούσας τὰς ἁρμονίας τῶν ἤχων, καὶ τὴν λειότητα τῶν φθόγγων

Digitized by Google

λυμαινομένας, παραιτεῖται· περιόδῳ τε καὶ κύκλῳ περιλαμβάνειν τὰ νοήματα πειρᾶται ῥυθμοειδεῖ πάνυ, καὶ οὐ πολὺ ἀπέχοντι τοῦ ποιητικοῦ μέτρου· ἀφραγνώστως τε μᾶλλον οἰκειότερός ἐστιν, ἢ ῥήσεως· τοιγάρτοι τὰς μὲν ἐπιδείξεις τὰς ἐν ταῖς πανηγύρεσι, καὶ τὴν ἐκ χειρὸς θεωρίαν φέρουσιν αὐτοῦ οἱ λόγοι· τοὺς δ' ἐκ ἐκκλησίαις καὶ δικαστηρίοις ἀγῶνας οὐχ ὑπομένουσι. τούτου δ' αἴτιον, ὅτι πολὺ τὸ παθητικὸν ἐν ἐκείνοις εἶναι δεῖ· τοῦτο δὲ ἥκιστα δέχεται περίοδος. αἵ τε παρομοιώσεις καὶ παρισώσεις καὶ τὰ ἀντίθετα, καὶ πᾶς ὁ τῶν τοιούτων σχημάτων κόσμος, πολύς ἐστι παρ' αὐτῷ, καὶ λυπεῖ πολλάκις τὴν ἄλλην κατασκευὴν, προσιστάμενος ταῖς ἀκοαῖς.

3. Καθόλου δὲ τριῶν ὄντων, ὡς φησι Θεόφραστος, ἐξ ὧν γίνεται τὸ μέγα καὶ σεμνὸν καὶ περιττὸν ἐν λέξει, τῆς τ' ἐκλογῆς τῶν ὀνομάτων, καὶ τῆς ἐκ τούτων ἁρμονίας, καὶ τῶν περιλαμβανόντων αὐτὰ σχημάτων, ἐκλέγει μὲν εὖ πάνυ, καὶ τὰ κράτιστα ὀνόματα τίθησιν· ἁρμόττει δ' αὐτὰ περιέργως, τὴν εὐφωνίαν ἐντείνων μουσικήν· σχηματίζει τε φορτικῶς, καὶ τὰ πολλὰ γίνεται ψυχρὸς, ἢ τῷ πόρρωθεν λαμβάνειν, ἢ τῷ μὴ πρέποντα εἶναι τὰ σχήματα τοῖς πράγμασιν, [ἢ] διὰ τὸ μὴ κρατεῖν τοῦ μετρίου. ταῦτα μέντοι καὶ μακροτέραν αὐτῷ ποιεῖ τὴν λέξιν πολλάκις· λέγω δὲ τὸ τ' εἰς περιόδους ἐναρμόττειν ἅπαντα τὰ νοήματα, καὶ τὸ τοῖς αὐτοῖς τύποις τῶν σχημάτων τὰς περιόδους περιλαμβάνειν, καὶ τὸ διώκειν ἐκ παντὸς τὴν εὐ-

Digitized by Google

ρυθμίαν. οὐ γὰρ ἅπαντα δέχεται οὔτε μῆκος τὸ αὐτό, οὔτε σχῆμα τὸ παραπλήσιον, οὔτε ῥυθμὸν τὸν ἴσον. ὥστ' ἀνάγκη παραπληρώμασι λέξεων οὐδὲν ὠφελουσῶν χρῆσθαι, καὶ ἀπομηκύνειν πέρα τοῦ χρησίμου τὸν λόγον. λέγω δ' οὐχ ὡς διὰ παντὸς αὐτοῦ ταῦτα ποιοῦντος· οὐχ οὕτω μαίνομαι· καὶ γὰρ συντίθησί ποτε ἀφελῶς τὰ ὀνόματα, καὶ λύει τὴν περίοδον εὐγενῶς, καὶ τὰ περίεργα σχήματα καὶ φορτικὰ φεύγει, καὶ μάλιστα ἐν τοῖς συμβουλευτικοῖς τε καὶ δικανικοῖς λόγοις· ἀλλ'. ὡς ἐπὶ πολὺ τῷ ῥυθμῷ δουλεύοντος, καὶ τῷ κύκλῳ τῆς περιόδου, καὶ τὸ κάλλος τῆς ἀπαγγελίας ἐν τῷ περιττῷ τιθεμένου, κρινότερον εἴρηκα περὶ αὐτοῦ. κατὰ δὴ ταῦτα φημὶ τὴν Ἰσοκράτους λέξιν λείπεσθαι τῆς Λυσίου, καὶ ἔτι κατὰ τὴν χάριν. καίτοιγε ἀνθηρός ἐστιν, εἰ καί τις ἄλλος, καὶ ἐπαγωγὸς ἡδονῇ τῶν ἀκροωμένων Ἰσοκράτης· ἀλλ' οὐκ ἔχει τὴν αὐτὴν χάριν ἐκείνῳ. τοσοῦτον δ' αὐτοῦ λείπεται κατὰ ταύτην τὴν ἀρετήν, ὅσον τῶν φύσει καλῶν σωμάτων τὰ συνεραγιζόμενα κόσμοις ἐπιθέτοις. πέφυκε γὰρ ἡ Λυσίου λέξις ἔχειν τὸ χάριεν· ἡ δ' Ἰσοκράτους βούλεται, ταύταις μὲν δὴ ταῖς ἀρεταῖς ὑστερεῖ Λυσίου, κατὰ γοῦν τὴν ἐμὴν γνώμην· προτερεῖ δέ γε ἐν ταῖς μεγαλούσαις λέγεσθαι. ὑψηλότερός ἐστιν ἐκείνου κατὰ τὴν ἑρμηνείαν, καὶ μεγαλοπρεπέστερος μακρῷ, καὶ ἀξιωματικώτερος. θαυμαστὸν γὰρ δὴ καὶ μέγα τὸ τῆς Ἰσοκράτους κατασκευῆς ὕψος, ἡρωϊκῆς μᾶλλον, ἢ ἀνθρωπίνης, φύσεως οἰκεῖον. δοκεῖ δή μοι μὴ ἄπο σκοποῦ τις

Digitized by Google

ἂν εἰκάσαι τὴν μὲν Ἰσοκράτους ῥητορικὴν τῇ Πολυκλείτου τε καὶ Φειδίου τέχνῃ κατὰ τὸ σεμνὸν καὶ μεγαλότεχνον καὶ ἀξιωματικόν· τὴν δὲ Λυσίου τῇ Καλάμιδος καὶ Καλλιμάχου, τῆς λεπτότητος ἕνεκα καὶ τῆς χάριτος. ὥσπερ γὰρ ἐκείνων οἱ μὲν ἐν τοῖς ἐλάττοσί καὶ ἀνθρωπικοῖς ἔργοις εἰσὶν ἐπιτυχέστεροι τῶν ἑτέρων, οἱ δ' ἐν τοῖς μείζοσι καὶ θειοτέροις δεξιώτεροι· οὕτω καὶ τῶν ῥητόρων ὁ μὲν ἐν τοῖς μικροῖς ἐστι σοφώτερος, ὁ δ' ἐν τοῖς μεγάλοις περιττότερος· τάχα μὲν γὰρ καὶ τῇ φύσει μεγαλόφρων τις ὤν· εἰ δὲ μή, τῇ γε προαιρέσει πάντως τὸ σεμνὸν καὶ θαυμαστὸν διώκων. ταῦτα μὲν οὖν περὶ τῆς λέξεως τοῦ ῥήτορος.

4. Τὰ δ' ἐν τῷ πρακτικῷ τρόπῳ θεωρήματα, τὰ μὲν ὅμοια τοῖς Λυσίου· τὰ δὲ κρείττονα. ἡ μὲν εὕρεσις ἡ τῶν ἐνθυμημάτων, ἡ πρὸς ἕκαστον ἁρμόττουσα πρᾶγμα, πολλὴ καὶ πυκνὴ καὶ οὐδὲν ἐκείνης λειπομένη· καὶ κρίσις ὡσαύτως ἀπὸ μεγάλης φρονήσεως γινομένη· τάξις δὲ καὶ μερισμοὶ τῶν πραγμάτων, καὶ ἡ κατ' ἐπιχείρημα ἐξεργασία, καὶ τὸ διαλαμβάνεσθαι τὴν ὁμοειδίαν ἰδίαις μεταβολαῖς, καὶ ξένοις ἐπεισοδίοις, τά τ' ἄλλα, ὅσα περὶ τὴν πραγματικὴν οἰκονομίαν ἐστὶν, ἀγαθὰ, πολλῷ μείζονά ἐστι παρ' Ἰσοκράτει καὶ κρείττονα· μάλιστα δ' ἡ προαίρεσις ἡ τῶν λόγων, περὶ οὓς ἐσπούδαζε, καὶ τῶν ὑποθέσεων τὸ κάλλος, ἐν αἷς ἐποιεῖτο τὰς διατριβάς· ἐξ ὧν οὐ λέγειν δεινοὺς μόνον ἀπεργάσαιτ' ἂν τοὺς προσέχοντας αὐτῷ τὸν νοῦν, ἀλλὰ καὶ τὰ ἤθη σπουδαίους, οἰκῳ τε καὶ πόλει

Digitized by Google

καὶ ὅλῃ τῇ Ἑλλάδι χρησίμους. κράτιστα γὰρ δὴ παιδεύματα πρὸς ἀρετὴν ἐν τοῖς Ἰσοκράτους ἐστὶν εὑρεῖν λόγοις. καὶ ἔγωγέ φημι χρῆναι τοὺς μέλλοντας οὐχὶ μέρος τι τῆς πολιτικῆς δυνάμεως, ἀλλ' ὅλην αὐτὴν κτήσασθαι, τοῦτον ἔχειν τὸν ῥήτορα διὰ χειρός· καὶ εἴ τις ἐπιτηδεύει τὴν ἀληθινὴν φιλοσοφίαν, μὴ τὸ θεωρητικὸν αὐτῆς μόνον ἀγαπῶν, ἀλλὰ καὶ τὸ πραγματικόν, μηδ' ἀφ' ὧν αὐτὸς ἄλυπον ἕξει βίον προαιρούμενος, ἀλλὰ ἐξ ὧν πολλοὺς ὠφελήσει, παραπελευσαίμην ἂν αὐτῷ τὴν ἐκείνου τοῦ ῥήτορος μιμεῖσθαι προαίρεσιν.

5. Τίς γὰρ οὐκ ἂν γένοιτο φιλόπολίς τε καὶ φιλόδημος· ἢ τίς οὐκ ἂν ἐπιτηδεύσειε τὴν πολιτικὴν καλοκἀγαθίαν, ἀναγνοὺς αὐτοῦ τὸν Πανηγυρικόν; ἐν ᾧ διεξιὼν τὰς τῶν ἀρχαίων ἀρετάς, φησὶν, ὡς οἱ τὴν Ἑλλάδα ἐλευθερώσαντες ἀπὸ τῶν βαρβάρων οὐ τὰ πολέμια δεινοὶ μόνον ἦσαν, ἀλλὰ καὶ τὰ ἤθη γενναῖοι, καὶ φιλότιμοι καὶ σώφρονες· οἵ γε τῶν μὲν κοινῶν μᾶλλον ἐφρόντιζον, ἢ τῶν ἰδίων, τῶν δ' ἀλλοτρίων ἧττον ἐπεθύμουν, ἢ τῶν ἀδυνάτων· καὶ τὴν εὐδαιμονίαν οὐ πρὸς ἀργύριον ἔκρινον, ἀλλὰ πρὸς εὐδοξίαν· μέγαν οἰόμενοι τοῖς παισὶ καταλείψειν πλοῦτον καὶ ἀνεπίφθονον, τὴν παρὰ τοῖς πλήθεσι τιμήν· κρεῖττονα δὲ ἡγοῦντο τὸν εὐσχήμονα θάνατον, ἢ τὸν ἀκλεῆ βίον· ἐσκόπουν δ' οὐχ ὅπως οἱ νόμοι καλῶς καὶ ἀκριβῶς αὐτοῖς ἕξουσιν, ἀλλ' ὡς ἡ τῶν καθ' ἡμέραν ἐπιτηδευμάτων μετριότης μηθὲν ἐκβήσεται τῶν πατρίων· οὕτω δ' εἶχεν αὐτοῖς τὰ πρὸς ἀλλήλους φιλοτίμως καὶ πο-

Digitized by Google

λιτικῶς, ὥστε καὶ τὰς στάσεις ἐποιοῦντο πρὸς ἀλλήλους, πότεροι πλείω τὴν πόλιν ἀγαθὰ ποιήσουσιν, οὐχ οἵτινες, τοὺς ἑτέρους ἀπολέσαντες, τῶν λοιπῶν αὐτοὶ ἄρξουσι· τῇ δ' αὐτῇ προθυμίᾳ χρώμενοι καὶ πρὸς τὴν Ἑλλάδα, τῷ θεραπεύειν προσήγοντα τὰς πόλεις, καὶ τῷ πείθειν ταῖς εὐεργεσίαις μᾶλλον, ἢ τῷ βιάζεσθαι τοῖς ὅπλοις, κατεῖχον· πιστοτέροις χρώμενοι τοῖς λόγοις, ἢ νῦν τοῖς ὅρκοις, καὶ ταῖς συνθήκαις ἀξιοῦντες μᾶλλον ἐμμένειν, ἢ ταῖς ἀνάγκαις· τοιαῦτα δὲ περὶ τῶν ἡττόνων ἀξιοῦντες γινώσκειν, οἷα περὶ σφῶν αὐτῶν τοὺς κρείττους ἂν ἠξίωσάν φρονεῖν· οὕτω δὲ παρεσκευασμένοι τὰς γνώμας, ὡς ἰδίᾳ μὲν ἔχοντες τὰς ἑαυτῶν πόλεις, κοινὴν δὲ πατρίδα τὴν Ἑλλάδα οἰκοῦντες.

6. Τίς δ' οὐκ ἂν ἀγαπήσειε μέγεθος ἔχων ἀνὴρ καὶ δυνάμεώς τινος ἡγούμενος, ἃ πρὸς Φίλιππον αὐτῷ τὸν Μακεδόνα γέγραπται; ἐν οἷς ἄξιοῖ στρατηγὸν ἄνδρα, καὶ τηλικαύτης ἐξουσίας κύριον, διαλλάττειν μὲν τὰς διαφερομένας πόλεις, ἀλλὰ μὴ συγκρούειν πρὸς ἀλλήλας, τὴν δὲ Ἑλλάδα μεγάλην ἐκ μικρᾶς ποιεῖν· ὑπεριδόντα [δὲ] τῆς περὶ τὰ μικρὰ φιλοτιμίας, τοῖς τοιούτοις ἐπιχειρεῖν ἔργοις, ἐξ ὧν κατορθώσας τε, πάντων ἡγεμόνων ἐπιφανέστατος ἔσται, καὶ ἀποτυχών, τήν γ' εὔνοιαν τὴν παρὰ τῶν Ἑλλήνων κτήσεται· ἧς οἱ τυχόντες πολλῷ μᾶλλόν εἰσι ζηλωτότεροι τῶν μεγάλας πόλεις καὶ πολλὰς χώρους καταστρεφομένων. ἔτι δὲ παρακελεύεται μιμεῖσθαι τὴν Ἡρακλέους τε προαίρεσιν, καὶ τῶν ἄλλων ἡγεμόνων, ὅσοι μετὰ τῶν Ἑλλήνων ἐπὶ τοὺς βαρβά-

Digitized by Google

ρους ἐστράτευσαν· καί φησι, χρῆναι τοὺς ἑτέρων διαφέροντας προαιρεῖσθαι μὲν τὰς μέγεθος ἐχούσας πράξεις, ἐπιτελεῖν δ' αὐτὰς μετὰ ἀρετῆς, ἐνθυμουμένους, ὅτι τὸ μὲν σῶμα θνητὸν ἔχομεν, ἀθάνατοι δὲ γινόμεθα δι' ἀρετήν· καὶ τοῖς μὲν πρός ἄλλο τι τῶν ἀγαθῶν ἁπλήστως διακειμένοις ἀχθόμεθα, τοὺς δὲ τιμὴν μείζω τῆς ὑπαρχούσης ἀεὶ κτωμένους ἐπαινοῦμεν· καὶ ὅτι τῶν μὲν ἄλλων, ἐφ' οἷς [χαίρουσιν οἱ πολλοὶ,] τοῦ τε πλούτου καὶ ἀρχῆς καὶ δυναστείας, πολλάκις τοὺς ἐχθροὺς συμβαίνει γίνεσθαι κυρίους, τῆς δ' ἀρετῆς καὶ τῆς παρὰ τοῖς πλήθεσιν εὐνοίας τοὺς οἰκείους ἑκάστου κληρονομεῖν. πολλὴ γὰρ ἀνάγκη τοὺς ἀναγινώσκοντας ταῦτα δυνάστας φρονήματός τε μείζονος ὑποπίμπλασθαι, καὶ μᾶλλον ἐπιθυμεῖν τῆς ἀρετῆς.

8. Τίς δ' ἂν μᾶλλον ἐπὶ τὴν δικαιοσύνην καὶ τὴν εὐσέβειαν προτρέψαιτο, καθ' ἕκαστόν τ' ἄνδρα ἰδίᾳ καὶ κοινῇ τὰς πόλεις ὅλας, τοῦ περὶ τῆς Εἰρήνης λόγου; ἐν γὰρ δὴ τούτῳ πείθει τοὺς Ἀθηναίους, τῶν μὲν ἀλλοτρίων μὴ ἐπιθυμεῖν, ἐπὶ δὲ τοῖς παροῦσι στέργειν· καὶ τῶν μὲν μικρῶν πόλεων ὥσπερ ἀνεὶ κτημάτων φείδεσθαι, τοὺς δὲ συμμάχους [εὐνοίᾳ] τε καὶ εὐεργεσίαις πειρᾶσθαι κατέχειν, ἀλλὰ μὴ ταῖς ἀνάγκαις, μηδὲ ταῖς βίαις· τῶν δὲ προγόνων μιμεῖσθαι μὴ τοὺς πρὸ τῶν Δεκελεικῶν γενομένους, οἳ μικροῦ ἐδέησαν ἀπολέσαι τὴν πόλιν, ἀλλὰ τοὺς πρὸ τῶν Περσικῶν, οἳ καλοκἀγαθίαν ἀσκοῦντες διετέλεσαν. ἐπιδείκνυταί τε, ὡς οὐχ αἱ πολλαὶ τριήρεις, οὐδ' οἱ μετὰ βίας ἄρχόμενοι Ἕλληνες μεγάλην ποι-

Digitized by Google

οὖσι τὴν πόλιν, ἀλλ' αἱ δίκαιαί τε προαιρέσεις, καὶ τὸ τοῖς ἀδικουμένοις βοηθεῖν. παρακαλεῖ τε τὴν τῶν Ἑλλήνων εὔνοιαν οἰκείαν ποιεῖν τῇ πόλει, μεγίστην ἡγούμενος πρὸς εὐδαιμονίαν· καὶ πολεμικοὺς μὲν εἶναι ταῖς παρασκευαῖς καὶ ταῖς μελέταις, εἰρηνικοὺς δὲ τῷ μηδένα μηδὲν ἀδικεῖν· διδάσκων, ὡς οὔτε πρὸς πλοῦτον, οὔτε πρὸς δόξαν, οὔθ' ὅλως πρὸς εὐδαιμονίαν, οὐθὲν ἂν συμβάλοιτο τηλικαύτην δύναμιν, ὅσην ἀρετὴ καὶ τὰ μέρη ταύτης· καὶ τοῖς μὴ ταὐτὰ ὑπειληφόσιν ἐπιτιμῶν, οἳ τὴν μὲν ἀδικίαν κερδαλέαν ἡγοῦντο, καὶ πρὸς τὸν βίον τὸν καθ' ἡμέραν συμφέρουσαν· τὴν δὲ δικαιοσύνην ἀλυσιτελῆ, καὶ μᾶλλον ἑτέροις, ἢ τοῖς ἔχουσιν, ὠφέλιμον. τούτων γὰρ οὐκ οἶδ' εἴ τις ἂν ἢ βελτίους, ἢ ἀληθεστέρους, ἢ μᾶλλον πρέποντας φιλοσοφίᾳ, δύναιτο λόγους εἰπεῖν.

8. Τίς δὲ τὸν Ἀρεοπαγιτικὸν ἀναγνοὺς λόγον οὐκ ἂν γένοιτο κοσμιώτερος; ἢ τίς οὐκ ἂν θαυμάσειε τὴν ἐπιβολὴν τοῦ ῥήτορος; ὃς ἐτόλμησε διαλεχθῆναι περὶ πολιτείας Ἀθηναίοις, ἀξιῶν μεταθέσθαι μὲν τὴν τότε καθεστῶσαν δημοκρατίαν, ὡς μεγάλα βλάπτουσαν τὴν πόλιν, ὑπὲρ ἧς [τῶν] δημαγωγῶν οὐθεὶς ἐπεχείρει λέγειν· θεωρῶν εἰς τοσαύτην αὐτὴν προελθοῦσαν ἀκοσμίαν, ὥστε μηδὲ τοὺς ἄρχοντας ἔτι τῶν ἰδιωτῶν κρατεῖν, ἀλλ' ἕκαστον, ὅ τι καθ' ἡδονὴν αὐτῷ γένοιτο, καὶ ποιοῦντα καὶ λέγοντα, καὶ τὸν ἄκαιρον παῤῥησίαν, δημοτικὴν ἐξουσίαν ὑπὸ πάντων νομιζομένην· ἀνασώσασθαι δὲ τὴν ὑπὸ Σόλωνός τε καὶ Κλεισθένους καταστα-

Digitized by Google

θεῖσαν πολιτείαν· ἧς τὴν προαίρεσιν καὶ τὰ ἤθη διεξιὼν δεινότερον μὲν ἡγεῖσθαί φησι τοὺς τότ' ἀνθρώπους τὸ τοῖς πρεσβυτέροις ἀντειπεῖν, ἢ τὴν τάξιν λύειν· δημοκρατίαν δ' αὐτοὺς νομίζειν οὐ τὴν ἀκολασίαν, ἀλλὰ τὴν σωφροσύνην· τὸ δ' ἐλεύθερον οὐκ ἐν τῷ καταφρονεῖν τῶν ἀρχόντων, ἀλλ' ἐν τῷ τὰ κελευόμενα ποιεῖν, τίθεσθαι· ἐξουσίαν τ' οὐδενὶ τῶν ἀκολάστων ἐπιτρέπειν, ἀλλὰ τοῖς βελτίστοις ἀπατιθέναι τὰς ἀρχάς· τοιούτους ἔσεσθαι τοὺς ἄλλους ὑπολαμβάνοντας, οἱοίπερ ἂν ὦσιν οἱ τὴν πόλιν διοικοῦντες· ἀντὶ δὲ τοῦ τὰς ἰδίας οὐσίας ἐκ τῶν δημοσίων ἐπανορθοῦν, τοὺς ἰδίους πλούτους εἰς τὰ κοινὰ καταχορηγῆσαι. χωρὶς δὲ τούτων, πλείω τὴν ἐπιμέλειαν ποιεῖσθαι τοὺς πατέρας τῶν υἱῶν ἀνδρῶν γενομένων, ἢ παίδων ὄντων ἐποιοῦντο· ἐνθυμουμένους, ὡς οὐκ ἐξ ἐκείνης τῆς παιδείας, ἀλλ' ἐκ ταύτης τῆς σωφροσύνης μᾶλλον ὠφελεῖται τὸ κοινόν· κρεῖττόν τε ὑπολαμβάνειν τὰ χρηστὰ ἐπιτηδεύματα τῆς ἀκριβοῦς νομοθεσίας, σκοποῦντας, οὐχ ὅπως ταῖς τιμωρίαις τοὺς ἁμαρτάνοντας ἀνείρξουσιν, ἀλλ' ὡς μηδὲν ἄξιον ζημίας ἕκαστον ἐπιτηδεύειν· καὶ τὴν μὲν πατρίδα δεῖν οἰομένους ἐν ἐξουσίᾳ διάγειν μεγάλῃ, τοῖς δ' ἰδιώταις μηδὲν ἐξεῖναι ποιεῖν, ὅ τι ἂν οἱ νόμοι κωλύωσι· κατερεῖν δὲ τὰ δεινὰ, καὶ μὴ ἐκπλήττεσθαι ταῖς συμφοραῖς.

9. Τίς δ' ἂν μᾶλλον πείσειε καὶ πόλιν καὶ ἄνδρας τοῦ ῥήτορος, πολλαχῇ μὲν καὶ ἄλλῃ, μάλιστα δ' ἐν τῷ πρὸς Λακεδαιμονίους γραφέντι λόγῳ, ὃς ἐπιγράφεται μὲν Ἀρχίδαμος, ὑπόθεσιν δὲ περιείληφε

Digitized by Google

τὴν περὶ τοῦ μὴ προέσθαι Μεσσήνην Βοιωτοῖς, μηδὲ ποιεῖν τὸ προσταττόμενον ὑπὸ τῶν ἐχθρῶν; ἠτύχητο γὰρ δὴ τοῖς Λακεδαιμονίοις ἥ τε περὶ Λεῦκτρα μάχη, καὶ πολλαὶ μετ' ἐκείνην ἕτεραι· καὶ τὰ μὲν Θηβαίων πράγματα ἤνθει τε καὶ εἰς μέγεθος ἀρχῆς προεληλύθει· τὰ δὲ τῆς Σπάρτης ταπεινὰ καὶ ἀνάξια τῆς ἀρχαίας ἡγεμονίας ἐγεγόνει. τελευτῶσα γοῦν ἵνα τύχῃ τῆς εἰρήνης ἡ πόλις, ἐβουλεύετο, εἰ χρὴ Μεσσηνίας ἀποστῆναι, ταύτην ἐπιτιθέντων αὐτῇ Βοιωτῶν τὴν ἀνάγκην. ὁρῶν οὖν αὐτὴν ἀνάξια πράττειν μέλλουσαν τῶν προγόνων, τόνδε τὸν λόγον συνετάξατο Ἀρχιδάμῳ, νέῳ μὲν ὄντι, καὶ οὔπω βασιλεύοντι, ἐλπίδας δὲ πολλὰς ἔχοντι ταύτης τεύξεσθαι τῆς τιμῆς. ἐν ᾧ διεξέρχεται πρῶτον μέν, ὡς δικαίως ἐκτήσαντο Μεσσήνην Λακεδαιμόνιοι, παραδόντων τ' αὐτὴν τῶν Κρεσφόντου παίδων, ὅτ' ἐξέπεσον ἐκ τῆς ἀρχῆς, καὶ τοῦ θεοῦ προστάξαντος δέχεσθαι καὶ τιμωρεῖν τοῖς ἀδικουμένοις· πρὸς δὲ τούτοις ἐπικυρώσαντος μὲν τὴν κτῆσιν τοῦ πολέμου, κάτοχον δὲ καὶ βέβαιον πεποιηκότος τοῦ χρόνου. διδάσκει δὲ, ὡς οὐ Μεσσηνίοις τοῖς οὐκέτ' οὖσιν, ἀλλὰ δούλοις καὶ εἵλωσιν ὁρμητήριον καὶ καταφυγὴν παρέξουσι τὴν πόλιν. διεξέρχεταί τε τοὺς κινδύνους τῶν προγόνων, οὓς ὑπέμειναν ἕνεκα τῆς ἡγεμονίας· καὶ τῆς δόξης ὑπομιμνήσκει τῆς παρὰ τοῖς Ἕλλησιν ὑπαρχούσης περὶ αὐτῶν· παραινεῖ τε μὴ συγκαταπίπτειν ταῖς τύχαις, μηδ' ἀπογινώσκειν τὰς μεταβολάς· ἐνθυμουμένους, ὅτι πολλοὶ μὲν ἤδη μείζω δύναμιν ἔχοντες, ἢ Θηβαῖοι, ὑπὸ τῶν

Digitized by Google

ἀσθενεστέρων ἐκρατήθησαν· πολλοὶ δ' εἰς πολιορκίαν κατακλεισθέντες, καὶ δεινότερα, ἢ Λακεδαιμόνιοι, πάσχοντες, διέφθειραν τοὺς ἐπιστρατεύσαντας· καὶ παράδειγμα ποιεῖται τὴν Ἀθηναίων πόλιν, ἥτις ἐκ πολλῆς εὐδαιμονίας ἀνάστατος γενομένη, τοὺς ἐσχάτους ὑπέστη κινδύνους, ἵνα μὴ τοῖς βαρβάροις ποιῇ τὸ προσταττόμενον. παρακελεύεται δὲ καὶ καρτερεῖν ἐπὶ τοῖς παροῦσι, καὶ θαῤῥεῖν περὶ τῶν μελλόντων· ἐπισταμένους, ὅτι τὰς τοιαύτας συμφορὰς αἱ πόλεις ἐπανορθοῦνται πολιτείᾳ χρηστῇ καὶ πολέμων ἐμπειρίαις· ἐν οἷς προεῖχεν ἡ Σπάρτη τῶν ἄλλων πόλεων. οἴεται δὲ δεῖν αὐτοὺς κακῶς πράττοντας μὴ εἰρήνης ἐπιθυμεῖν, οἷς ἐκ τῆς καινουργίας ἐπὶ τὸ κρεῖττον μεταβάλλειν τὰ πράγματα ἐλπὶς, ἀλλὰ τοὺς εὐτυχοῦντας· ἐν γὰρ τῷ κινδύνῳ τὴν τῶν παρόντων ἀγαθῶν εἶναι φυλακήν. πολλὰ δὲ καὶ ἄλλα πρὸς τούτοις διεξελθὼν, ὅσα καὶ κοινῇ καὶ ἰδίᾳ τοῖς ἐπιφανεστάτοις αὐτῶν ἐπράχθη κατὰ τοὺς πολέμους λαμπρὰ ἔργα, καὶ ὅσης αἰσχύνης ἄξια δράσουσι, καὶ ὡς διαβληθήσονται παρὰ τοῖς Ἕλλησιν ἐπιλογισάμενος, καὶ ὅτι πάντοθεν αὐτοῖς ἐπικουρία τις ἔσται τὸν ἀγῶνα ποιουμένοις; καὶ παρὰ θεῶν, καὶ παρὰ συμμάχων, καὶ παρὰ πάντων ἀνθρώπων, οἷς ἐπίφθονος ἡ Θηβαίων δύναμις αὐξομένη· καὶ τὴν κατέχουσαν ἀκοσμίαν καὶ ταραχὴν τὰς πόλεις ἐπιτροπευόντων τῆς Ἑλλάδος Βοιωτῶν ἐπιδειξάμενος, τελευτῶν, εἰ καὶ μηθὲν τούτων μέλλοι γίνεσθαι, μηδ' ὑπολείποιτό τις ἄλλη σωτηρίας ἐλπὶς, ἐκλιπεῖν κελεύει τὴν πόλιν· διδάσκων αὐτοὺς,

Digitized by Google

ὡς χρὴ παῖδας μὲν καὶ γυναῖκας, καὶ τὸν ἄλλον ὄχλον εἴς τε Σικελίαν ἐλπέμψαι καὶ Ἰταλίαν, καὶ τἆλλα χωρία τὰ φίλια· αὐτοὺς δὲ καταλαβομένους τόπον, ὅστις ἂν ὀχυρώτατος ᾖ, καὶ πρὸς τὸν πόλεμον ἐπιτηδειότατος, ἄγειν καὶ φέρειν τοὺς πολεμίους καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. οὐδεμίαν γὰρ ἀξιώσειν δύναμιν ὁμόσε χωρεῖν ἀνδράσι κρατίστοις μὲν τὰ πολέμια τῶν Ἑλλήνων, ἀπονενοημένως δὲ πρὸς τὸ ζῆν διακειμένοις, δικαίαν δ' ὀργὴν καὶ πρόφασιν εὐπρεπῆ τῆς ἀνάγκης ἔχουσι. ταῦτα γὰρ οὐ Λακεδαιμονίοις συμβουλεύειν φαίην ἂν αὐτὸν ἔγωγε, ἀλλὰ καὶ τοῖς ἄλλοις Ἕλλησι καὶ πᾶσιν ἀνθρώποις, πολλῷ κρεῖττον ἁπάντων φιλοσόφων, οἳ τέλος ποιοῦνται τοῦ βίου τὴν ἀρετὴν καὶ τὸ καλόν.

10. Ἔχων δὲ πολλοὺς αὐτοῦ καὶ ἄλλους διεξιέναι λόγους πρὸς πόλεις τε καὶ δυνάστας καὶ ἰδιώτας γραφέντας, ὧν οἱ μὲν εἰς τὸν βίον καὶ σωφροσύνην τὰ πλήθη παρακαλοῦσιν, οἱ δ' εἰς μετριότητα καὶ νόμιμον ἀρχὴν τοὺς δυνάστας προάγουσιν, οἱ δὲ κοσμίους τῶν ἰδιωτῶν ἀπεργάζονται τοὺς βίους, ἃ δεῖ πράττειν ἕκαστον ὑποτιθέμενοι· δεδοικὼς, μὴ πέρα τοῦ δέοντος ὁ λόγος ἐκμηκυνθῇ μοι, ταῦτα μὲν ἐάσω· τοῦ δ' εὐπαρακολούθητα γενέσθαι μοι μᾶλλον τὰ πρόσθεν εἰρημένα, καὶ τῆς διαφορᾶς ἕνεκα, ἣ διαλλάττει Λυσίου, τὰς ἀρετὰς αὐτῶν εἰς βραχύτερον συναγαγὼν λόγον, ἐπὶ τὰ παραδείγματα μεταβήσομαι.

11. Πρώτην μὲν τοίνυν ἔφην ἀρετὴν εἶναι λόγων, τὴν καθαρὰν ἑρμηνείαν· ἐν ᾗ διαλλαγὴν οὐ-

Digitized by Google

δεμίαν εὕρισκον παρ' οὐδετέρου. ἔπειτα τὴν ἀκρίβειαν τὴν διαλέκτου τῆς τότε συνήθους, καὶ ταύτην ἑώρων ὁμοίαν παρ' ἀμφοτέροις. μετὰ ταῦτ' ἐπελογιζόμην, ὅτι τοῖς κυρίοις καὶ συνήθεσι καὶ κοινοῖς ὀνόμασιν ἀμφότεροι κέχρηνται· ἡ δ' Ἰσοκράτους λέξις, προσλαβοῦσά τι τῆς τροπικῆς κατασκευῆς, μέχρι τοῦ μὴ λυπῆσαι προῆλθε. τῆς δὲ σαφηνείας καὶ τῆς ἐναργείας ἀμφοτέρους κρατεῖν ὑπεφαίνομεν· ἐν δὲ τῷ συντόμως ἐκφέρειν τὰ νοήματα Λυσίαν μᾶλλον ἡγούμην ἐπιτυγχάνειν· περὶ τὰς αὐξήσεις Ἰσοκράτην κατορθοῦν ἄμεινον ἐδόκουν. ἐν τῷ συστρέφειν τὰ νοήματα καὶ στρογγύλως ἐκφέρειν ὡς πρὸς ἀληθινοὺς ἀγῶνας ἐπιτήδειον Λυσίαν ὑπεδεχόμην. ἐν ταῖς ἠθοποιΐαις ἀμφοτέρους εὕρισκον δεξιούς· τῆς δὲ χάριτος καὶ τῆς ἡδονῆς ἀναμφιλόγως ὑπεδίδουν τὰ πρωτεῖα Λυσίᾳ. τὸ μεγαλοπρεπὲς ἡρῴων παρ' Ἰσοκράτει· τοῦ πιθανοῦ καὶ πρέποντος οὐδέτερον ἐδόκουν ἀπολείπεσθαι. ἐν τῇ συνθέσει τῶν ὀνομάτων Λυσίαν μὲν ἁφελέστερον ἔκρινον, Ἰσοκράτην δὲ περιεργότερον· καὶ τὸν μὲν τῆς ἀληθείας πιθανώτερον εἰκαστήν, τὸν δὲ τῆς κατασκευῆς ἀθλητὴν ἰσχυρότερον.

12. Ταῦτα ἔφην περὶ τῆς λέξεως τῆς ἑκατέρου. τῶν δὲ πραγμάτων ποιούμενος ἐξέτασιν, τὴν μὲν εὕρεσιν θαυμαστὴν παρ' ἀμφοῖν καταλαβόμην, καὶ ἔτι τὴν κρίσιν· τῇ δὲ τάξει τῶν ἐνθυμημάτων, καὶ τοῖς μερισμοῖς τῶν ἐπιχειρημάτων, καὶ τῇ καθ' ἕκαστον εἶδος ἐξεργασίᾳ, τοῖς τ' ἄλλοις ἅπασι τοῖς ἐν τῷ πραγματικῷ τόπῳ θεωρήμασι, παρὰ πολὺ προ-

Digitized by Google

τερεῖν ἡγούμην Ἰσοκράτην Λυσίου. κατὰ δὲ τὴν λαμπρότητα τῶν ὑποθέσεων, καὶ τὸ φιλόσοφον τῆς προαιρέσεως, πλεῖον διαφέρειν, ἢ παιδὸς ἄνδρα, ὡς ὁ Πλάτων εἴρηκεν· εἰ δὲ χρὴ τἀληθὲς εἰπεῖν, καὶ τῶν ἄλλων ἁπάντων ῥητόρων, οὐδεὶς φιλοσόφως τοῦ μαθήματος τούτου προέστησαν. τῆς μέντοι ἀγωγῆς τῶν περιόδων τὸ κύκλιον, καὶ τῶν σχηματισμῶν τῆς λέξεως τὸ μειρακιῶδες, οὐκ ἐδοκίμαζον. δουλεύει γὰρ ἡ διάνοια πολλάκις τῷ ῥυθμῷ τῆς λέξεως, καὶ τοῦ κομψοῦ λείπεται τὸ ἀληθινόν· κράτιστον τ' ἐπιτήδευμα ἐν διαλέκτῳ πολιτικῇ καὶ ἐναγωνίῳ, τὸ ὁμοιότατον τῷ κατὰ φύσιν. βούλεται δὲ ἡ φύσις τοῖς νοήμασιν ἕπεσθαι τὴν λέξιν, οὐ τῇ λέξει τὰ νοήματα. συμβούλῳ δὲ δὴ περὶ πολέμου καὶ εἰρήνης λέγοντι, καὶ ἰδιώτῃ τὸν περὶ ψυχῆς τρέχοντι κίνδυνον ἐν δικασταῖς, τὰ κομψὰ καὶ θεατρικὰ καὶ μειρακιώδη ταῦτ' οὐκ οἶδα ἥντινα δύναιτ' ἂν παρασχεῖν ὠφέλειαν· μᾶλλον δ' οἶδα, ὅτι καὶ βλάβης ἂν αἰτία γένοιτο. χαρακτισμὸς γὰρ πᾶς, ἐν ἀκμῇ καὶ καλῶς γινόμενος, ἄωρον πρᾶγμα καὶ ἀκαιριώτατον ἐλέγχει.

13. Οὗτος δ' οὐκ ἐμὸς ὁ λόγος πρώτου μὲν Λία· ἐπεὶ πολλοὶ καὶ τῶν παλαιῶν ταύτην εἶχον ὑπὲρ αὐτοῦ τὴν δόξαν. Φιλόνικος μὲν γὰρ ὁ διαλεκτικός, τὴν ἄλλην κατασκευὴν τῆς λέξεως ἐπαινῶν τἀνδρός, μέμφεται τῆς καινότητος ταύτης καὶ τοῦ φορτικοῦ· ἐοικέναι τε φησὶν αὐτὸν ζωγράφῳ ταῖς αὐταῖς ἐσθῆσεσι καὶ τοῖς αὐτοῖς σχήμασι πάσας ἐπικοσμοῦντι τὰς γραφάς. ἅπαντας γοῦν [φησὶν] εὕρισκον τοὺς

Digitized by Google

λόγους αὐτοῦ τοῖς αὐτοῖς τρόποις τῆς λέξεως κεχρημένους· ὥστ' ἐν πολλοῖς τεχνικῶς τὰ καθ' ἕκαστα ἐξεργαζόμενον, τοῖς ὅλοις ἀπρεπῆ παντελῶς φαίνεσθαι, διὰ τὸ μὴ προσηκόντως τοῖς ὑποκειμένοις τῶν ἠθῶν φράζειν. Ἱερώνυμος δὲ ὁ φιλόσοφός φησιν, ἀναγνῶναι μὲν ἄν τινα δυνηθῆναι τοὺς λόγους αὐτοῦ καλῶς, δημηγορῆσαι δὲ τήν τε φωνὴν καὶ τὸν τόνον ἐπάραντα, καὶ ἐν ταύτῃ τῇ κατασκευῇ μετὰ τῆς ἁρμοττούσης ὑποκρίσεως εἰπεῖν, οὐ παντελῶς. τὸ γὰρ μέγιστον καὶ κινητικώτατον τῶν ὄχλων, παραιτεῖσθαι, τὸ παθητικὸν καὶ ἔμψυχον· δουλεύειν γὰρ αὐτὸν τῇ λειότητι διὰ παντός· τὸ δὲ κεχραμένον καὶ παντοδαπὸν ἐπιτάσει τε καὶ ἀνέσει, καὶ τὸ ταῖς παθητικαῖς ὑποθέσεσι διειλημμένον, ὑπερβεβηκέναι. καθόλου δέ φησιν αὐτὸν εἰς ἀναγνώστου παιδὸς φωνὴν καταδύντα, μήτε τόνον, μήτε πάθος, μήτε ὑπόκρισιν δύνασθαι φέρειν. πολλοῖς δὲ καὶ ἄλλοις ταῦτα καὶ παραπλήσια τούτοις εἴρηται, περὶ ὧν οὐδὲν δέομαι γράφειν. ἐξ αὐτῆς γὰρ ἔσται τῆς Ἰσοκράτους λέξεως τεθείσης καταφανὴς ὅ τε τῶν περιόδων ῥυθμὸς, ἐκ παντὸς διώκων τὸ γλαφυρὸν, καὶ τῶν σχημάτων τὸ μειρακιῶδες περὶ τὰς ἀντιθέσεις, καὶ παρισώσεις καὶ παρομοιώσεις κατατριβόμενον. καὶ οὐ τὸ γένος μέμφομαι τῶν σχημάτων· πολλοὶ γὰρ αὐτοῖς ἐχρήσαντο καὶ συγγραφεῖς καὶ ῥήτορες, ἄνθος βουλόμενοι τῇ λέξει· ἀλλὰ τὸν πλεονασμόν.

14. Τῷ γὰρ μὴ ἐν καιρῷ γίνεσθαι, μηδ' ἐν ὥρᾳ, προσίστασθαί φημι ταῖς ἀκοαῖς. ἔν γ' οὖν τῷ

Digitized by Google

Παν ηγυρικῷ, τῷ περιβοήτῳ λόγῳ, πολὺς ἐστιν ἐν τοῖς τοιούτοις· „Πλείστων μὲν οὖν ἀγαθῶν αἰτί„ους, καὶ μεγίστων ἐπαίνων ἀξίους ἡγοῦμαι·“ ἐντεῦθα γὰρ οὐ μόνον τῷ κώλῳ τὸ κῶλον ἴσον, ἀλλὰ καὶ τὰ ὀνόματα τοῖς ὀνόμασι· τῷ μὲν „Πλείστων“ τὸ „Μεγίστων·“ τῷ δ' „Ἀγαθῶν“ τὸ „Ἐπαί„νων·“ τῷ δ' „Αἰτίους“ τὸ „Ἀξίους.“ καὶ αὖθις· „Οὐδὲ ἀπέλαυον μὲν ὡς ἰδίων, ἠμέλουν δὲ ὡς ἀλ„λοτρίων·“ τό τε γὰρ κῶλον τὸ δεύτερον τῷ κώλῳ [τῷ πρὸ αὐτοῦ] πάρισον· καὶ τῶν ὀνομάτων τῷ μὲν „Ἀπέλαυον“ τὸ „Ἠμέλουν“ ἀντίθετον· τῷ δ' „Ἰδίων“ τὸ „Ἀλλοτρίων.“ οἷς ἐπιτίθησιν· „Ἀλλ' „ἐκήδοντο μὲν ὡς οἰκείων, ἀπείχοντο δὲ, ὥσπερ χρὴ „τῶν μηδὲν προσηκόντων.“ ἀντίκειται γὰρ δὲ πάλιν ἐνταῦθα, τῷ μὲν „Ἐκήδοντο“ τὸ „Ἀπείχοντο·“ τῷ δ' „Οἰκείων“ τὸ „Μηδὲν προσηκόντων.“ καὶ οὔπω ταῦθ' ἱκανά· ἀλλ' ἐν τῇ μετὰ ταῦτα περιόδῳ πάλιν ἀντιστρέφει, τῷ μὲν· „Αὐτός τε μέλλοι μάλι„στα εὐδοκιμήσειν·“ τὸ ἐπιφερόμενον· „Καὶ τοῖς „παισὶ μεγάλην δόξαν καταλείψειν·“ τὸ δὲ· „Οὐδὲ „τὰς θρασύτητας τὰς ἀλλήλων ἐζήλουν·“ τὸ συνεπτόμενον αὐτῷ· „Οὐδὲ τὰς τόλμας τὰς καθ' ἑαυ„τῶν ἤσκουν.“ καὶ οὐδὲ μικρὸν διαλιπὼν ἐπιφέρει τούτοις· „Ἀλλὰ δεινότερον μὲν ἐνόμιζον εἶναι, κα„κῶς ὑπὸ τῶν πολιτῶν ἀκούειν, ἢ καλῶς ὑπὲρ τῆς „πατρίδος ἀποθνήσκειν.“ οὐκοῦν καὶ δεύτερον τῷ μὲν „Καλῶς“ τὸ „Κακῶς“ ἀντίστροφον· τῷ δ' „Ἀκούειν“ τὸ „Ἀποθνήσκειν“ πάρισον. εἰ μέτριος ἦν μέχρι δεῦρο, ἀνεκτός· ἀλλ' οὐκ ἀνήσει πάλιν

Digitized by Google

γοῦν ἐν τῇ μετ' αὐτὴν περιόδῳ τίθησιν· „Ὅτε „ταῖς ἀγαθοῖς τῶν ἀνθρώπων οὐδὲν δεήσει πολλῶν „γραμμάτων, ἀλλ' ὀλίγων συνθημάτων, καὶ περὶ „τῶν κοινῶν καὶ περὶ τῶν ἰδίων ὁμονοήσουσιν." οὐκοῦν τὸ „Γραμμάτων" καὶ „Συνθημάτων" πάρισόν· καὶ τὸ „Πολλῶν" καὶ „Ὀλίγων," καὶ „Κοινῶν" καὶ „Ἰδίων," ἀντίθετα. ἔπειθ' ὥσπερ οὐδὲν εἰρηκὼς τοιοῦτον, ἀθρόαις ἐπικλύσει ταῖς παρισώσεσιν, ἐπιφέρων ταυτί κα· „Τὰ τῶν ἄλλων „διώκουν θεραπεύοντες, ἀλλ' οὐχ ὑβρίζοντες τοὺς „Ἕλληνας· καὶ στρατηγεῖν οἰόμενοι δεῖν αὐτῶν, „ἀλλὰ μὴ τυραννεῖν αὐτῶν· καὶ μᾶλλον ἐπιθυ„μοῦντες ἡγεμόνες, ἢ δεσπόται, προσαγορεύεσθαι, „καὶ σωτῆρες, ἀλλὰ μὴ λυμεῶνες, ἀποκαλεῖσθαι· „τῷ ποιεῖν εὖ προσαγόμενοι τὰς πόλεις, ἀλλ' οὐ βίᾳ „προσκαταστρεφόμενοι· πιστοτέροις μὲν τοῖς λό„γοις, ἢ νῦν τοῖς ὅρκοις, χρώμενοι· ταῖς δὲ συνθή„καις ὥσπερ ἀνάγκαις ἐμμένειν ἀξιοῦντες." καὶ τί δεῖ τὰ καθ' ἕκαστα διεξιόντα μηκύνειν; ὀλίγου γὰρ ἅπας ὁ λόγος ὑπὸ τῶν τοιούτων αὐτῷ κεκόμψευται σχημάτων. οἱ μέντοι γ' ἐπὶ τελευτῇ τοῦ βίου γραφέντες λόγοι ἡττόν εἰσι μειρακιώδεις, ὡς ἂν οἶμαι, τελείαν ἀπειληφότες τὴν φρόνησιν παρὰ τοῦ χρόνου. καὶ περὶ μὲν τούτων ἱκανὰ ταῦτα.

15. Ὥρα δ' ἂν εἴη καὶ τῶν παραδειγμάτων ἅψασθαι, καὶ δεῖξαι, τίς ἐστι τούτοις ἡ τοῦ ῥήτορος ἰσχύς. ἅπαντα μὲν οὖν τὰ γένη τῶν προβλημάτων, καὶ πάσας τὰς ἰδέας τῶν λόγων, ἀμήχανον ἐν ὀλίγῳ δηλῶσαι· ἀρκεῖ τε μία τις δημηγορία παραληφθεῖ-

Digitized by Google

σα, καὶ λόγος εἷς ἐκ δικανικῶν· ὁ μὲν σὺν συμβουλευτικὸς λόγος ἐστὶν, ἐν ᾧ παρακαλεῖ τοὺς Ἀθηναίους διαλύσασθαι μὲν τὸν συμμαχικὸν κληθέντα πόλεμον, ὃν ἐπολέμουν πρὸς αὐτοὺς Χῖοί τε καὶ Ῥόδιοι, καὶ οἱ τούτων σύμμαχοι· παύσασθαι δὲ πλεονεκτοῦντας καὶ τῆς κατὰ γῆν καὶ κατὰ θάλατταν ἐπιθυμοῦντας ἀρχῆς· διδάσκων, ὡς ἔστιν οὐ μόνον κρείττων ἡ δικαιοσύνη τῆς ἀδικίας, ἀλλὰ καὶ ὠφελιμωτέρα. τὸ μὲν οὖν ὕπτιον καὶ ἀναβεβλημένον τῆς ἀγωγῆς, καὶ τῶν περιόδων ὁ χαριεντισμὸς, ἔνεστι κἀν τούτοις· τὰ δὲ θεατρικὰ τῶν σχημάτων τεταμευμένως παρείληπται. ταῦτα μὲν δὴ παροράν δεῖ τοὺς ἀναγινώσκοντας, καὶ μὴ ἄξια ἡγεῖσθαι σπουδῆς, ὥσπερ κατ' ἀρχὰς ἔφην· τοῖς δ' ἄλλοις πάνυ προσέχειν τὸν νοῦν. ἄρχεται δὲ ὁ λόγος ἐνθένδε·

16. „Ἅπαντες μὲν εἰώθασιν οἱ παριόντες ἐν„θάδε, ταῦτα μέγιστα φάσκειν εἶναι, καὶ μάλιστα „σπουδῆς ἄξια τῇ πόλει, περὶ ὧν αὐτοὶ μέλλουσι „συμβουλεύειν. οὐ μὴν ἀλλ' εἰ [καὶ] περὶ ἄλλων „τινῶν πραγμάτων ἤρμοσε τοιαῦτα προεἰπεῖν, δοκεῖ „μοι πρέπειν καὶ περὶ τῶν νυνὶ παρόντων [πραγ„μάτων] ἐντεῦθεν ποιήσασθαι τὴν ἀρχήν. ἥκομεν „γὰρ ἐκκλησιάσοντες περί τε πολέμου καὶ εἰρήνης· „ἃ μεγίστην ἔχει δύναμιν ἐν τῷ βίῳ τῷ τῶν ἀνθρώ„πων, καὶ περὶ ὧν ἀνάγκη τοὺς ὀρθῶς βουλευσα„μένους ἄμεινον τῶν ἄλλων πράττειν. τὸ μὲν οὖν „μέγεθος ὑπὲρ ὧν συνεληλύθαμεν, τηλικοῦτόν ἐστιν· „ὁρῶ δ' ὑμᾶς οὐκ ἐξ ἴσου τῶν λεγόντων τὴν ἀκρόα-

Digitized by Google

„σιν ποιουμένους, ἀλλὰ τοῖς μὲν προσέχοντας τὸν
„νοῦν, τῶν δ' οὐδὲ τῆς φωνῆς ἀνεχομένους. καὶ
„θαυμαστὸν οὐδὲν ποιεῖτε· καὶ γὰρ τὸν ἄλλον χρό-
„νον εἰώθατε τοὺς ἄλλους ἅπαντας ἐκβάλλειν, πλὴν
„τοὺς συναγορεύοντας ταῖς ἐπιθυμίαις ὑμῶν· οἷς
„καὶ δικαίως ἂν τις ἐπιτιμήσειεν, ὅτι συνειδότες
„πολλοὺς καὶ μεγάλους οἴκους ὑπὸ τῶν κολακευόν-
„των ἀναστάτους γεγενημένους, καὶ μισοῦντες ἐπὶ
„τῶν ἰδίων τοὺς ταύτην ἔχοντας τὴν τέχνην, ἐπὶ τῶν
„κοινῶν οὐχ ὁμοίως διάκεισθε πρὸς αὐτούς, ἀλλὰ
„κατηγοροῦντες τῶν προσιεμένων καὶ χαιρόντων
„τοῖς τοιούτοις, αὐταὶ μᾶλλον φαίνεσθε τούτοις
„πιστεύοντες, ἢ τοῖς ἄλλοις πολίταις. καὶ γάρ τοι
„πεποιήκατε τοὺς ῥήτορας μελετᾶν καὶ φιλοσοφεῖν
„οὐ τὰ μέλλοντα τῇ πόλει συνοίσειν, ἀλλ' ὅπως ἀρέ-
„σκοντας ὑμῖν λόγους ἐροῦσιν· ἐφ' οὓς καὶ νῦν τὸ
„πλῆθος αὐτῶν συνεῤῥύηκεν. ἅπασι γὰρ ἦν φανε-
„ρόν, ὅτι μᾶλλον ἥδεσθε τοῖς παρακαλοῦσιν ὑμᾶς
„ἐπὶ τὸν πόλεμον, ἢ τοῖς περὶ τῆς εἰρήνης συμβού-
„λευουσιν. οἱ μὲν γὰρ προσδοκίαν ἐμποιοῦσιν, ὡς
„τὰς κτήσεις τὰς ἐν ταῖς πόλεσι κεκτιούμεθα, καὶ
„τὴν δύναμιν ἀναληψόμεθα πάλιν, ἣν πρότερον
„ἐτυγχάνομεν ἔχοντες· οἱ δ' οὐδὲν τοιοῦτον ὑπο-
„τείνουσιν, ἀλλ' ὡς ἡσυχίαν ἔχειν δεῖ, καὶ μὴ μη-
„χάνων ἐπιθυμεῖν παρὰ τὸ δίκαιον, ἀλλὰ στέργειν
„τὸ ἴσον· ὃ χαλεπώτατον πάντων τοῖς πλείστοις
„τῶν ἀνθρώπων ἐστίν. οὕτω γὰρ ἐξηρτήμεθα τῶν
„ἐλπίδων, καὶ πρὸς τὰς δοκούσας εἶναι πλεονεξίας
„ἁπλήστως ἔχομεν, ὥστ' οὐδὲ οἱ κεκτημένοι τοὺς

Digitized by Google

„μεγίστους πλούτους μένειν ἐπὶ τούτοις ἐθέλουσιν,
„ἀλλ' ἀεὶ τοῦ πλείονος ὀρεγόμενοι, περὶ τῶν ὑπαρ-
„χόντων κινδυνεύουσι· διόπερ ἄξιόν ἐστι διελέσθαι,
„μὴ καὶ νῦν ἡμεῖς ἔνοχοι γενώμεθα ταύταις ταῖς
„ἀνοίαις. λίαν γάρ τινές μοι δυσκοῦσιν ὁρμᾶσθαι
„πρὸς τὸν πόλεμον, ὥσπερ οὐ τῶν τυχόντων συμβε-
„βουλευκότων, ἀλλὰ τῶν θεῶν ἀκηκοότες, ὅτι κατ-
„ορθώσομεν ἅπαντα, καὶ ῥᾳδίως κρατήσομεν τῶν
„ἐχθρῶν. χρὴ δὲ τοὺς νοῦν ἔχοντας περὶ μὲν ὧν
„ἴσασι μὴ βουλεύεσθαι· περιέργου γάρ· ἀλλὰ πρᾶτ-
„τειν, ὡς ἐγνώκασι· περὶ ὧν δ' ἂν βουλεύωνται, μὴ
„νομίζειν εἰδέναι τὸ συμβησόμενον, ἀλλ' ὡς δόξῃ
„μὲν χρωμένους, ὅταν δ' ἂν τύχῃ γενησόμενον, οὕτω
„διανοεῖσθαι περὶ αὐτῶν. ὧν ὑμεῖς οὐδέτερον τυγ-
„χάνετε ποιοῦντες, ἀλλ' ὡς οἷόν τε ταραχωδέστατα
„διαπεισθε. συνελήλυθατε γάρ, ὡς δέον ὑμᾶς ἐξ
„ἁπάντων τῶν ῥηθέντων ἑλέξαι τὸ βέλτιστον· ὥσπερ
„δ' ἤδη σαφῶς εἰδότες, ὃ πρακτέον ἐστίν, οὐ θέλετε
„ἀκούειν, πλὴν τῶν εἰς ἡδονὴν δημηγορούντων.
„καίτοι προσῆκεν ὑμᾶς, εἴπερ ἐβούλεσθε ζητεῖν τὸ
„τῇ πόλει συμφέρον, μᾶλλον τοῖς ἐναντιουμένοις
„ταῖς ὑμετέραις γνώμαις προσέχειν τὸν νοῦν, ἢ τοῖς
„χαριζομένοις· εἰδότας, ὅτι τῶν ἐνθάδε παριόντων
„οἱ μέν, ἃ βούλεσθε, λέγοντες, ῥᾳδίως ἐξαπατῆν
„δύνανται· τὸ γὰρ πρὸς χάριν ῥηθὲν ἐπίσκοτεῖ τῇ
„καθορᾷν [ὑμᾶς] τὸ βέλτιστον· ὑπὸ δὲ τῶν μὴ πρὸς
„ἡδονὴν συμβουλευόντων οὐδὲν ἂν πάθητε τοιοῦ-
„τον· οὐ γάρ ἐστιν, ὅπως ἂν μεταπεῖσαι δυνηθεῖεν
„[ὑμᾶς], μὴ φανερὸν τὸ συμφέρον καταστήσαντες.

Digitized by Google

„χωρὶς δὲ τούτων, πῶς ἂν ἄνθρωποι καλῶς δυνη-
„θεῖεν] ἢ κρῖναι περὶ τῶν γεγενημένων, ἢ βουλεύ-
„σασθαι περὶ τῶν μελλόντων, εἰ μὴ τοὺς μὲν λόγους
„τοὺς τῶν ἐναντιουμένων παρ' ἀλλήλοιν ἐξετάζοιεν,
„αὐτοὶ δ' αὐτοῖς καινὰς ἀμφοτέρους ἀκροατὰς
„παράσχοιεν; θαυμάζω δὲ τὰ τῶν πρεσβυτέρων, εἰ
„μηκέτι μνημονεύουσι, καὶ τῶν νεωτέρων, εἰ μηδε-
„νὸς ἀκηκόασιν, ὅτι διὰ μὲν τοὺς παραινοῦντας ἀντ-
„έχεσθαι τῆς εἰρήνης οὐδὲν πώποτε κακὸν ἐπάθο-
„μεν· δεῖ δὲ τοὺς ῥᾳδίως πολεμεῖν αἱρουμένους με-
„γάλαις συμφοραῖς περιεπέσομεν, ὧν ἡμεῖς οὐδε-
„μίαν ποιούμεθα μνείαν, ἀλλ' ἑτοίμως ἔχομεν, μη-
„δὲν εἰς τὸ πρόσθεν ἡμῖν αὐτοῖς πράττοντες, τριή-
„ρεις πληροῦν, καὶ χρημάτων εἰσφορὰς ποιεῖσθαι,
„καὶ βοηθεῖν, καὶ πολεμεῖν οἷς ἂν τύχωμεν, ὥσπερ
„ἐν ἀλλοτρίᾳ τῇ πόλει κινδυνεύοντες. τούτων δ'
„αἴτιόν ἐστιν, ὅτι προσῆκον ὑμᾶς ὁμοίως ὑπὲρ τῶν
„κοινῶν ὥσπερ τῶν ἰδίων σπουδάζειν, οὐ τὴν αὐτὴν
„γνώμην ἔχετε περὶ αὐτῶν· ἀλλ' ὅταν μὲν ὑπὲρ τῶν
„ἰδίων βουλεύησθε, ζητεῖτε συμβούλους τοὺς ἄμει-
„νον φρονοῦντας ὑμῶν αὐτῶν· ὅταν δ' ὑπὲρ τῆς
„πόλεως ἐκκλησιάζητε, τοῖς μὲν τοιούτοις ἀπιστεῖτε
„καὶ φθονεῖτε, τοὺς δὲ πονηροτάτους τῶν ἐπὶ τὸ
„βῆμα παριόντων ἐπαινεῖτε· καὶ νομίζετε, δημοτι-
„κωτέρους εἶναι τοὺς μεθύοντας τῶν νηφόντων, καὶ
„τοὺς νοῦν οὐκ ἔχοντας τῶν εὖ φρονούντων, καὶ
„τοὺς τὰ τῆς πόλεως διανεμομένους τῶν ἐκ τῆς
„[ἰδίας] οὐσίας ὑμῖν λειτουργούντων. ὥστ' ἄξιον
„θαυμάζειν, εἴ τις ἐλπίζει, τὴν πόλιν, τοιούτοις συμ-

Digitized by Google

„βούλοις χρωμένην, ἐπὶ τὸ βέλτιον ἐπιδώσειν. ἐγὼ „δ' οἶδα μέν, ὅτι πρόσαντές ἐστιν ἐναντιοῦσθαι ταῖς „ὑμετέραις διανοίαις· καὶ ὅτι, δημοκρατίας οὔ- „σης, οὐκ ἔστι παῤῥησία, πλὴν ἐνθάδε μὲν τοῖς „ἀφρονεστάτοις καὶ μηδὲν ὑμῶν φροντίζουσιν, ἐν δὲ „τοῖς θεάτροις τοῖς κωμῳδοδιδασκάλοις. ὃ καὶ πάν- „των ἐστὶ δεινότατον, ὅτι τοῖς μὲν ἀφέρουσιν εἰς „τοὺς ἄλλους Ἕλληνας τὰ τῆς πόλεως ἁμαρτήματα „τοσαύτην ἔχετε χάριν, ὅσην οὐδὲ τοῖς εὖ ποιοῦσι· „πρὸς δὲ τοὺς ἐπιπλήττοντας καὶ νουθετοῦντας „ὑμᾶς οὕτω διατίθεσθε δυσκόλως, ὥσπερ πρὸς τοὺς „κακόν τι τὴν πόλιν ἐργαζομένους. ὅρως δὲ καὶ τού- „των ὑπαρχόντων, οὐκ ἂν ἀποσταίην ὧν διενοήθην. „παρελήλυθα γὰρ οὐ χαριούμενος ὑμῖν, οὐδὲ χει- „ροτονίαν μνηστεύσων, ἀλλ' ἀποφανούμενος, ἃ „τυγχάνω γιγνώσκων· πρῶτον μέν, περὶ ὧν ὁ πρύ- „τανις προτίθησιν· ἔπειτα [καὶ] περὶ τῶν ἄλλων „τῶν τῆς πόλεως πραγμάτων. οὐδὲν γὰρ ὄφελος „ἔσται τῶν ὑπὲρ τῆς εἰρήνης γνωσθέντων, ἂν μὴ „περὶ τούτων ὀρθῶς λοιπὸν βουλευσώμεθα. φημὶ „δ' οὖν χρῆναι ποιεῖσθαι τὴν εἰρήνην μὴ μόνον „πρὸς Χίους τε, καὶ Ῥοδίους, καὶ Βυζαντίους, καὶ „Κώους, ἀλλὰ πρὸς πάντας ἀνθρώπους κεχρῆσθαι „ταῖς συνθήκαις, μὴ ταύταις, αἷς σύν τινες „γεγράφασιν, ἀλλὰ ταῖς γενομέναις [μὲν] πρὸς „βασιλέα καὶ Λακεδαιμονίους, προσταττούσαις „δὲ τοὺς Ἕλληνας αὐτονόμους εἶναι, καὶ τὰς „φρουρὰς ἐκ τῶν ἀλλοτρίων πόλεων ἐξιέναι, καὶ „τὴν αὑτῶν ἔχειν ἑκάστους. τούτων γὰρ οὔτε δι-

Digitized by Google

„καιοτέρας εὑρήσομεν, οὔτε μᾶλλον τῇ πόλει συμ-
„φερούσας."

17. Ταῦτα προειπὼν, καὶ οὕτω διαθεὶς τοὺς ἀκούοντας πρὸς τὸν μέλλοντα λόγον ἐπιτηδείως, ἐγκώμιόν τε κάλλιστον τῆς δικαιοσύνης διαθέμενος, καὶ τὰ καθεστηκότα πράγματα μεμψάμενος, ἐπιτίθησι τούτοις τὴν σύγκρισιν τῶν τότ' ἀνθρώπων πρὸς τοὺς προγόνους· „Τούτου δὲ ἕνεκα ταῦτα
„προεῖπον, ὅτι περὶ τῶν λοιπῶν οὐδὲν ὑποστειλά-
„μενος, ἀλλὰ παντάπασιν ἀνειμένως μέλλω τοὺς
„λόγους ποιεῖσθαι πρὸς ὑμᾶς. τίς γὰρ ἔλλοθεν
„ἐπελθὼν, καὶ μήπω συνδιεφθαρμένος ὑμῖν, ἀλλ'
„ἐξαίφνης ἐπιστὰς τοῖς γενομένοις, οὐκ ἂν μαίνε-
„σθαι καὶ παραφρονεῖν ἡμᾶς νομίσειεν, οἳ φιλοτι-
„μούμεθα μὲν ἐπὶ τοῖς τῶν προγόνων ἔργοις, καὶ
„τὴν πόλιν ἐκ τῶν τότε πραχθέντων ἐγκωμιάζειν
„ἀξιοῦμεν, οὐδὲν δὲ τῶν αὐτῶν ἐκείνοις πράττομεν,
„ἀλλὰ πᾶν τοὐναντίον; οἱ μὲν γὰρ ὑπὲρ τῶν Ἑλλή-
„νων τοῖς βαρβάροις πολεμοῦντες διετέλεσαν· ἡμεῖς
„δὲ τοὺς ἐκ τῆς Ἀσίας τὸν βίον πορίζομένους ἐκεῖ-
„θεν ἀναστήσαντες ἐπὶ τοὺς Ἕλληνας ἠγάγομεν.
„κἀκεῖνοι μὲν ἐλευθεροῦντες τὰς πόλεις τὰς Ἑλλη-
„νίδας, καὶ βοηθοῦντες αὐταῖς, τῆς ἡγεμονίας
„ἠξιώθησαν· ἡμεῖς δὲ, καταδουλούμενοι, καὶ τἀναν-
„τία τοῖς τότε πράττοντες, ἀγανακτοῦμεν, εἰ μὴ τὴν
„αὐτὴν τιμὴν ἐκείνοις ἕξομεν, οἳ τοσοῦτον ἀπολε-
„λείμμεθα, καὶ τοῖς ἔργοις, καὶ ταῖς διανοίαις, τῶν
„κατ' ἐκεῖνον τὸν χρόνον γενομένων, ὅσον οἱ μὲν
„ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας, καὶ ἐξῆς· Οὕτως

Digitized by Google

„ὀλίγον αὐτῶν φροντίζομεν· ἐν γὰρ ἀκούσαντες,
„γνώσεσθε καὶ περὶ τῶν ἄλλων· ὡς θανάτου τῆς
„ζημίας ἐπικειμένης, ἤν τις ἁλῷ δεκάζων, τοὺς τοῦ-
„το φανερώτατα ποιοῦντας στρατηγοὺς χειροτονοῦ-
„μεν, καὶ τὸν πλείστους διαφθεῖραι δυνηθέντα τῶν
„πολιτῶν, τοῦτον ἐπὶ τὰ μέγιστα τῶν πραγμάτων
„καθίσταμεν. σπουδάζοντες δὲ περὶ τὴν πολιτείαν
„οὐχ ἧττον, ἢ περὶ τὴν σωτηρίαν ὅλης τῆς πόλεως,
„καὶ τὴν δημοκρατίαν εἰδότες ἐν μὲν ταῖς ἡσυχίαις
„καὶ ταῖς ἀσφαλείαις αὐξανομένην καὶ διαμένου-
„σαν, ἐν δὲ τοῖς πολέμοις δὶς ἤδη καταλυθεῖσαν,
„πρὸς μὲν τοὺς τῆς εἰρήνης ἐπιθυμοῦντας, ὡς πρὸς
„ὀλιγαρχικοὺς ὄντας, δυσκόλως ἔχομεν, τοὺς δὲ τὸν
„πόλεμον ἀγαπῶντας, ὡς τῆς δημοκρατίας κηδομέ-
„νους, εὔνους εἶναι νομίζομεν. ἐμπειρότατοι δὲ λό-
„γων καὶ πραγμάτων ὄντες, οὕτως ἀλογίστως ἔχο-
„μεν, ὥστε περὶ τῶν αὐτῶν τῆς [αὐτῆς] ἡμέρας οὐ
„ταὐτὰ γινώσκομεν, ἀλλ' ὧν πρὶν εἰς τὴν ἐκκλησίαν
„ἀναβῆναι, κατηγοροῦμεν, ταῦτα συνελθόντες χει-
„ροτονοῦμεν· οὐ πολὺν δὲ χρόνον διαλιπόντες, τοῖς
„[ἐνταῦθα] ψηφισθεῖσιν, ἐπειδὰν ἀπίωμεν, πάλιν
„ἐπιτιμῶμεν. προσποιούμενοι δὲ σωφρονέστατοι
„τῶν Ἑλλήνων εἶναι, τοιούτοις χρώμεθα συμβού-
„λοις, ὧν οὐκ ἔστιν ὅστις οὐκ ἂν καταφρονήσειε· καὶ
„τοὺς αὐτοὺς τούτους κυρίους [τῶν κοινῶν] ἁπάν-
„των καθίσταμεν, οἷς οὐδεὶς ἂν τῶν ἰδίων οὐδὲν
„ἐπιτρέψειε."

18. Τοιοῦτος μὲν δή τις ἐν τοῖς συμβουλευτι-
κοῖς λόγοις ὁ ἀνήρ. ἐν δὲ τοῖς δικανικοῖς τὰ μὲν

Digitized by Google

ἄλλα πάνυ ἀκριβὴς καὶ ἀληθινὸς, καὶ τῷ Λυσίου χαρακτῆρι ἔγγιστα μὲν προσεληλυθώς, ἐν δὲ τῇ συνθέσει τῶν ὀνομάτων τὸ λεῖον ἐκεῖνο καὶ εὐπρεπὲς ἔχων, ἔλαττον μέν, ἢ ἐν ἄλλοις λόγοις, οὐ μὴν ἀλλ' ἔχων γε. μηδεὶς δ' ἀγνοεῖν ὑπολάβῃ, μηδ' ὅτι Ἀφαρεὺς, ἢ πρόγονός τε καὶ εἰσποίητος Ἰσοκράτει γεγὼς, ἐν τῷ πρὸς Μεγακλείδην περὶ τῆς Ἀντιδόσεως λόγῳ διορίζεται, μηδεμίαν ὑπὸ τοῦ πατρὸς ὑπόθεσιν εἰς δικαστήριον γεγράφθαι· μηδ' ὅτι δέσμας πάνυ πολλὰς δικανικῶν λόγων Ἰσοκρατείων περιφέρεσθαί φησιν ὑπὸ τῶν βιβλιοπωλῶν Ἀριστοτέλης. ἐπίσταμαι γὰρ ταῦτα ὑπὸ τῶν ἀνδρῶν ἐκείνων λεγόμενα· καὶ οὔτε Ἀριστοτέλει πείθομαι φυπαίνειν τὸν ἄνδρα βουλομένῳ, οὔτ' Ἀφαρεῖ τούτου γ' ἕνεκα λόγον εὐπρεπῆ πλαττομένῳ συντίθεμαι· ἱκανὰν δὲ ἡγησάμενος εἶναι τῆς ἀληθείας βεβαιωτὴν τὸν Ἀθηναῖον Κηφισόδωρον, ὃς καὶ συνεβίωσεν Ἰσοκράτει, καὶ γνησιώτατος ἀκουστὴς ἐγένετο, καὶ τὴν ἀπολογίαν τὴν πάνυ θαυμαστὴν ἐν ταῖς πρὸς Ἀριστοτέλη ἀντιγραφαῖς ἐποιήσατο, πιστεύω, γεγράφθαι λόγους τινὰς ὑπὸ τοῦ ἀνδρὸς εἰς δικαστήρια, οὐ μέντοι πολλούς· καὶ χρῶμαι παραδείγματι ἐξ αὐτῶν δή· οὐ γὰρ ἐγχωρεῖ πλείοσι· τῷ Τραπεζιτικῷ λεγομένῳ, ὃν ἔγραψε ξένῳ τινὶ τῶν μαθητῶν κατὰ Πασίωνος τοῦ τραπεζίτου. ἔστι δὲ ὁ λόγος οὗτος·

19. „Ὁ μὲν ἀγών μοι μέγας ἐστὶν, ὦ ἄνδρες „δικασταί. οὐ γὰρ μόνον περὶ πολλῶν χρημάτων „κινδυνεύω, ἀλλὰ καὶ περὶ τοῦ μὴ δοκεῖν ἀδίκως „τῶν ἀλλοτρίων ἐπιθυμεῖν· ὃ ἐγὼ περὶ πλείστου

Digitized by Google

„ποιοῦμαι. οὐσία γάρ μοι ἱκανὴ καταλειφθήσεται
„καὶ τούτων στερηθέντι. εἰ δὲ δόξαιμι, μηδὲν προσ-
„ῆκον, αὐτὰ τὰ χρήματα ἐγκαλέσαι, διαβληθείην ἂν
„τὸν ἅπαντα βίον· ἔστι δέ, ὦ ἄνδρες δικασταὶ,
„πάντων χαλεπώτατον, τοιούτων ἀντιδίκων τυχεῖν.
„τὰ μὲν γὰρ συμβόλαια πρὸς τοὺς ἐπὶ ταῖς τραπέ-
„ζαις ἄνευ μαρτύρων γίνεται· τοῖς ἀδικουμένοις δὲ
„πρὸς τοὺς τοιούτους ἀνάγκη κινδυνεύειν, οἳ καὶ
„φίλους πολλοὺς κέκτηνται, καὶ χρήματα πολλὰ
„διαχειρίζουσι, καὶ πιστοὶ διὰ τὴν τέχνην δοκοῦσιν
„εἶναι. ὅμως δὲ καὶ τούτων ὑπαρχόντων, ἡγοῦμαι
„φανερὸν πᾶσι ποιήσειν, ὅτι ἀποστεροῦμαι τοσού-
„των χρημάτων ὑπὸ Πασίωνος. ἐξ ἀρχῆς δὲ ὑμῖν,
„ὅπως ἂν δύνωμαι, διηγήσομαι τὰ πεπραγμένα.
„ἐμοὶ γάρ, ὦ ἄνδρες δικασταὶ, πατὴρ μέν ἐστι Σι-
„νωπεύς· ὃν οἱ πλέοντες εἰς τὸν Πόντον ἅπαντες
„ἴσασιν οὕτως οἰκείως πρὸς Σάτυρον διακείμενον,
„ὥστε πολλῆς μὲν χώρας ἄρχειν, ἁπάσης δὲ τῆς δυ-
„νάμεως ἐπιμελεῖσθαι τῆς ἐκείνου. πυνθανόμενος
„δὲ καὶ περὶ τῆσδε τῆς πόλεως καὶ περὶ τῆς ἄλλης
„Ἑλλάδος, ἐπεθύμησα ἀποδημῆσαι. γεμίσας δ' ὁ
„πατήρ μου δύο ναῦς σίτου, καὶ χρήματα δούς,
„ἐξέπεμψεν ἅμα κατ' ἐμπορίαν καὶ θεωρίαν· συστή-
„σαντος δέ μοι Πυθοδώρου τοῦ Φοίνικος Πασίω-
„να, ἐχρώμην τῇ τούτου τραπέζῃ· χρόνῳ δὲ ὕστερον
„διαβολῆς πρὸς Σάτυρον γενομένης, ὡς καὶ ὁ πατὴρ
„οὗμὸς ἐπιβουλεύοι τῇ ἀρχῇ, κἀγὼ τοῖς φυγάσι
„συγγινοίμην, τὸν μὲν πατέρα μου φιλεμβάνει,
„ἐπιστέλλει δὲ τοῖς ἐνθάδ' ἐπιδημοῦσιν ἐκ τοῦ Πόν-

Digitized by Google

„τον, τὰ χρήματα παρ' ἐμοῦ παραλαβεῖν, καὶ αὐτὸν
„εἰσπλεῖν κελεύειν· ἐὰν δὲ τούτων μηδὲν ποιῶ, παρ'
„ὑμῶν ἐξαιτεῖν, ἐν τοσούτοις δὲ κακοῖς ὢν, ὦ ἄν-
„δρες δικάσται, λέγω πρὸς Πασίωνα τὰς ἐμαυτοῦ
„συμφορὰς. οὕτω γὰρ οἰκείως πρὸς αὐτὸν διεκείμην,
„ὥστε μὴ μόνον περὶ τῶν χρημάτων, ἀλλὰ καὶ περὶ
„τῶν ἄλλων τούτῳ μάλιστα πιστεύειν. ἡγούμην δὲ,
„εἰ μὲν [μὴ] προείμην ἅπαντα τὰ χρήματα, κινδυ-
„νεύσειν, εἴ τι πάθοι ἐκεῖνος, στερηθεὶς καὶ τῶν
„ἐνθάδε καὶ τῶν ἐκεῖ, πάντων ἐνδεὴς γενήσεσθαι·
„εἰ δ' ὁμόλογῶν εἶναι, ἐπιστείλαντος Σατύρου, μὴ
„παραδοίην, εἰς τὰς μεγίστας διαβολὰς ἐμαυτὸν καὶ
„τὸν πατέρα καταστήσειν πρὸς Σάτυρον. βουλευο-
„μένοις οὖν ἡμῖν ἔδοξε βέλτιστον εἶναι, τὰ μὲν φα-
„νερὰ τῶν χρημάτων παραδοῦναι, περὶ δὲ τῶν παρὰ
„τούτῳ κειμένων μὴ μόνον ἔξαρνον εἶναι, ἀλλὰ καὶ
„ὀφείλοντά με καὶ ἑτέροις ἐπὶ τόκῳ φαίνεσθαι, καὶ
„πάντα ποιεῖν, ἐξ ὧν ἐκεῖνοι μάλιστ' ἤμελλον πει-
„σθήσεσθαι μὴ εἶναί μοι χρήματα. τότε μὲν οὖν,
„ὦ ἄνδρες δικασταὶ, ἐνόμιζόν μοι Πασίωνα δι' εὐ-
„νοιαν ἅπαντα ταῦτα συμβουλεύειν· ἐπειδὴ δὲ συν-
„ῆκα πρὸς τοὺς περὶ Σάτυρον διεπραξάμην, ἄγνων
„αὐτὸν ἐπιβουλεύοντα τοῖς ἐμοῖς. βουλομένου γὰρ
„ἐμοῦ κομίσασθαι τἀμαυτοῦ, καὶ πλεῖν εἰς Βυζάν-
„τιον, ἡγησάμενος αὐτὸς κάλλιστον καιρὸν αὑτῷ
„παραπεπτωκέναι· τὰ μὲν γὰρ χρήματα πολλὰ εἶναι
„τὰ παρ' αὐτῷ κείμενα, [καὶ] ἄξια ἀναισχυντίας·
„ἐμὲ δὲ, πολλῶν ἀκουόντων, ἔξαρνον γεγενῆσθαι
„μηδὲν κεκτῆσθαι, πᾶσί τε φανερὸν ἀπαιτούμενον

Digitized by Google

„καὶ ἑτέροις ὁμολογοῦντα ὀφείλειν· καὶ πρὸς τού-
„τοις, ὦ ἄνδρες δικασταί, ἐνόμιζεν, εἰ μὲν αὐτοῦ
„μένειν ἐπιχειροίην, ἐκδοθήσεσθαί με ὑπὸ τῆς πό-
„λεως Σατύρῳ· εἰ δ' ἄλλοσέ ποι τραποίμην, οὐδὲν
„αὐτῷ μελήσειν τῶν ἐμῶν λόγων· εἰ δ' εἰσπλεύσοι-
„μην εἰς τὸν Πόντον, ἀποθανεῖσθαί με μετὰ τοῦ
„πατρός· ταῦτα διαλογιζόμενος, ἐνενοεῖτό με ἀπο-
„στερεῖν τὰ χρήματα, καὶ πρὸς μὲν ἐμὲ προσεποιεῖ-
„το [ἀπορεῖν] ἐν τῷ παρόντι, καὶ οὐκ ἂν ἔχειν ἀπο-
„δοῦναι· ἐπειδὴ δ' ἐγὼ, βουλόμενος εἰδέναι τὸ
„πρᾶγμα, προσπέμπω φιλόμηλον αὐτῷ καὶ Μενέξε-
„νον ἀπαιτήσοντας, ἔξαρνος γίνεται πρὸς αὐτοὺς
„μηδὲν ἔχειν τῶν ἐμῶν. πανταχόθεν δέ μοι τοσού-
„των κακῶν προσπεπτωκότων, τίνα οἴεσθέ με γνώ-
„μην ἔχειν; ᾧ γε ὑπῆρχε σιωπῶντι μὲν ὑπὸ τούτου
„ἀποστερεῖσθαι τῶν χρημάτων, λέγοντι δὲ μηδὲν
„μᾶλλον κομίσασθαι· πρὸς Σάτυρον δ' εἰς τὴν
„μεγίστην διαβολὴν ἐμαυτὸν καὶ τὸν πατέρα κατα-
„στῆσαι· κράτιστον οὖν ἡγησάμην ἡσυχίαν ἄγειν.
„μετὰ δὲ ταῦτα, ὦ ἄνδρες δικασταί, ἀφικνοῦνταί
„μοι ἀπαγγέλλοντες, ὅτι ὁ πατὴρ ἀφεῖται, καὶ Σα-
„τύρῳ οὗτος ἁπάντων μεταμέλει τῶν πεπραγμένων,
„ὡς πίστεις τε τὰς μεγίστας αὐτῷ δεδωκὼς εἴη, καὶ
„τὴν ἀρχὴν ἔτι μείζω πεποιηκὼς ἧς εἶχε πρότερον,
„καὶ τὴν ἀδελφὴν τὴν ἐμὴν γυναῖκα τῷ ἑαυτοῦ υἱεῖ
„εἰληφώς. πυθόμενος δὲ ταῦτα Πασίων, καὶ εἰδὼς,
„ὅτι φανερῶς ἤδη πράξω περὶ τῶν ἐμαυτοῦ, ἀφανί-
„ζει τὸν παῖδα, ὃς συνήδει περὶ τῶν χρημάτων.
„ἐπειδὴ δ' ἐγὼ προσελθὼν ἐπεζήτουν αὐτὸν, ἠμού-

Digitized by Google

„μενος, ἔλεγχον σαφέστατον τοῦτον ἂν γενέσθαι
„περὶ ὧν ἐνεκάλουν, λέγει λόγον δεινότατον, ὡς ἐγὼ
„καὶ Μενέξενος, διαφθείραντες καὶ πείσαντες τὸν
„ἐπὶ τῇ τραπέζῃ καθήμενον, ἓξ τάλαντα ἀργυρίου
„λάβοιμεν παρ' αὐτοῦ. ἵνα δὲ μηδεὶς ἔλεγχος, μηδὲ
„βάσανος, γένοιτο περὶ αὐτῶν, ἔφασκεν, ἡμᾶς,
„ἀφανίσαντας τὸν παῖδα, ἀντεγκαλεῖν αὐτῷ, καὶ
„ἐξαιτεῖν τοῦτον, ὃν αὐτοὶ ἠφανίσαμεν. καὶ ταῦτα
„λέγων καὶ ἀγανακτῶν καὶ δακρύων, εἵλκέ με πρὸς
„τὸν πολέμαρχον, ἐγγυητὰς αἰτῶν· καὶ οὐ πρότερον
„ἀφῆκεν, ἕως αὐτῷ κατέστησα ἓξ ταλάντων ἐγγυη-
„τάς. καί μοι ἀνάβητε τούτων μάρτυρες."

20. Ταῦθ' ὅτι μὲν ὅλῳ τῷ γένει διαφέρει τῶν ἐπιδεικτικῶν τε καὶ συμβουλευτικῶν κατὰ τὸν χαρακτῆρα τῆς λέξεως, οὐθείς ἐστιν, ὃς οὐκ ἂν ὁμολογήσειεν· οὐ μέντοι παντάπασί γε τὴν Ἰσοκράτειον ἀγωγὴν ἐκβέβηκεν· ἀκαρῆ δέ τινα διαιρεῖ τῆς κατασκευῆς τε καὶ σεμνολογίας ἐκείνης ἐνθυμήματα, καὶ ποιητικώτερα μᾶλλόν ἐστιν, ἢ ἀληθινώτερα. οἷον ὅταν φησίν· „Ἡγούμην δέ, εἰ μὲν μὴ προείμην
„τὰ χρήματα, κινδυνεύσειν." τὸ γὰρ ἀποίητόν τε καὶ ἀφελές, τοιοῦτον· „Ἡγούμην δὲ, μὴ παραδοὺς
„τὰ χρήματα, κινδυνεύσειν." ἔτι ἐκεῖνο· „Καὶ πρὸς
„τούτοις, ὦ ἄνδρες δικασταὶ, ἐνόμιζεν, εἰ μὲν αὐτοῦ
„μένειν ἐπιχειροίην, ἐκδοθήσεσθαί με ὑπὸ τῆς πό-
„λεως Σατύρῳ· εἰ δὲ ἄλλοσέ ποι τραποίμην, οὐδὲν
„αὐτῷ μελήσειν τῶν ἐμῶν λόγων· εἰ δ' εἰσπλευσοί-
„μην εἰς τὸν Πόντον, ἀποθανεῖσθαί με μετὰ τοῦ
„πατρός." ἦ τε γὰρ περίοδος ἐκμηκύνεται, [καὶ]

Digitized by Google

πέρα τοῦ δικανικοῦ τρόπου, καὶ ἡ σύνθεσις ἔχει τι τοῦ ποιητικοῦ, τό τε σχῆμα τῆς λέξεως ἐκ τῶν ἐπιδεικτικῶν εἴληπται παρισώσεων καὶ παρομοιώσεων. τό τ' οὖν „Ἐπιχειροίην," καὶ „Τραποίμην," καὶ „Εἰσπλευσοίμην," ἐν ἑνὶ χωρίῳ κείμενα, καὶ τῶν κώλων τριῶν ὄντων, τὸ μὲν μῆκος ἴσον ὑπάρχον, τεκμήρια τῆς Ἰσοκράτους κατασκευῆς ἐστι. καὶ τὰ τούτοις ἐπιφερόμενα· „Διενοεῖτό με ἀποστερεῖν τὰ „χρήματα, καὶ πρὸς μὲν ἐμὲ προσεποιεῖτο ἀπρεῖν, „καὶ οὐκ ἂν ἔχειν·" παρόμοιά τε καὶ παραπλήσια ἀλλήλοις ἐστί. καὶ πρὸς τούτοις, ἃ μετ' ὀλίγων ἐπιτίθησιν· „Ὡς πίστεις τε μεγίστας αὐτῷ δεδωκὼς, „εἴη, καὶ τὴν ἀρχὴν ἔτι μείζω πεποιηκὼς ἧς εἶχε „πρότερον, καὶ τὴν ἀδελφὴν τὴν ἐμὴν γυναῖκα τῷ „ἑαυτοῦ υἱεῖ εἰληφώς." καὶ γὰρ ἐνταῦθα πάλιν τὸ „Δεδωκὼς," καὶ „Πεποιηκὼς," καὶ „Εἰληφὼς," παρόμοιον, καὶ „Τὴν ἀρχὴν," καὶ „Τὴν ἀδελφήν." ἔχοι δ' ἄν τις καὶ ἄλλα πρὸς τούτοις λέγειν, ἐξ ὧν ὁ χαρακτὴρ τοῦ ῥήτορος ἔσται καταφανής· ἀνάγκη δ' ἴσως στοχάζεσθαι τοῦ χρόνου.

ΙΣΑΙΟΣ.

Ἰσαῖος δέ, ὁ Δημοσθένους καθηγησάμενος, καὶ διὰ τοῦτο μάλιστα γενόμενος περιφανής, ὡς μέν τινες ἱστοροῦσιν, Ἀθηναῖος ἦν τὸ γένος· ὡς δὲ ἕτεροι γράφουσι, Χαλκιδεύς. ἤκμασε δὲ μετὰ τὸν Πελοποννησιακὸν πόλεμον, ὡς ἐκ λόγων αὐτοῦ τεκμαίρομαι· καὶ μέχρι τῆς Φιλίππου δυναστείας παρεξέ-

Digitized by Google

τεινε. γενέσεως δὲ καὶ τελευτῆς τοῦ ῥήτορος ἀκριβῆ χρόνον εἰπεῖν οὐκ ἔχω· οὐδὲ δὴ περὶ τοῦ βίου τοῦ ἀνδρὸς, οἷός τις ἦν· οὐδὲ περὶ τῆς προαιρέσεως τῶν πολιτευμάτων· οὐδὲ ἀρχὴν εἴ προείλετό τινα πολιτείαν· οὐδ' ὅλως περὶ τῶν τοιούτων οὐδενός, διὰ τὸ μηδὲ τοιαύτη περιτυγχάνειν ἱστορία. οὐδὲ γὰρ ὁ τοὺς Ἰσοκράτους μαθητὰς ἀναγράψας Ἕρμιππος, ἀκριβὴς ἐν τοῖς ἄλλοις γενόμενος, ὑπὲρ τοῦδε τοῦ ῥήτορος οὐδὲν εἴρηκεν, ἔξω δυοῖν τούτων, ὅτι διήκουσε μὲν Ἰσοκράτους, καθηγήσατο δὲ Δημοσθένους, συνεγένετο δὲ τοῖς ἀρίστοις τῶν φιλοσόφων.

2. Λείπεται δὴ περὶ τῆς προαιρέσεως καὶ τῆς δυνάμεως αὐτοῦ, καὶ τίνι κέχρηται χαρακτῆρι, λέγειν. γένους μέντοι λόγων ἑνὸς ἀσκητὴς ἐγένετο, τοῦ δικανικοῦ· καὶ περὶ τοῦτο μάλιστα ἐσπούδασε. χαρακτῆρα δὲ τὸν Λυσίου κατὰ τὸ πλεῖστον ἐζήλωσε· καὶ εἰ μή τις ἔμπειρος πάνυ τῶν ἀνδρῶν εἴη, καὶ τριβὰς ἀξιολόγους ἀμφοῖν ἔχων, οὐκ ἂν διαγνοίη ῥᾳδίως πολλοὺς τῶν λόγων, ὁπότερου τῶν ῥητόρων εἰσίν· ἀλλὰ παρακρούσεται ταῖς ἐπιγραφαῖς, οὕτως ἀκριβῶς ἐχούσαις, ὡς διὰ μιᾶς δηλοῦταί μοι γραφῆς. οὐ μὴν ἀπαράλλακτός γέ ἐστιν ἡ τοῦ χαρακτῆρος ὁμοιότης, ἀλλὰ ἔχουσα διαφοράς τινας, οὐ μικρὰς, οὐδὲ ὀλίγας, καὶ κατὰ τὴν ἑρμηνείαν, καὶ κατὰ τὰ πράγματα· περὶ ὧν καιρὸς ἂν εἴη λέγειν, ὡς ἡμεῖς ὑπειλήφαμεν. ἐπειδὴ δὲ κατὰ τὴν λέξιν μᾶλλον ἔοικε τῷ Λυσίᾳ, τὴν ἀρχὴν ἀπὸ ταύτης ποιησάμενος, τάς ὁμοιότητάς τε καὶ τὰς διαφοράς, ἃς ἔχει πρὸς ἐκείνην, ἐρῶ.

Digitized by Google

3. Καθαρὰ μὲν καὶ ἀκριβὴς, καὶ σαφὴς, κυρία τε, καὶ ἐναργὴς, καὶ σύντομος· πρὸς δὲ τούτοις πιθανή τε, καὶ πρέπουσα τοῖς ὑποκειμένοις· στρογγύλη τε, καὶ δικανικὴ, [φέρεσθαι τοὺς δικανικοὺς ἀγῶνας,] οὐχ ἧττόν ἐστιν ἡ Ἰσαίου λέξις τῆς Λυσίου. καὶ κατὰ μὲν ταῦτα οὐκ ἄν τις αὐτὴν διαγνοίη. διαφέρειν δὲ ἐκείνης δόξειεν ἂν ἐν τοῖσδε· ἡ μὲν γὰρ ἀφελής τε καὶ ἠθικὴ μᾶλλον ἐστὶν· σύγκειταί τε φυσικώτερον, καὶ ἐσχημάτισται ἁπλούστερον· ἡδονῇ τε καὶ χάριτι πολλῇ κέχρηται. ἡ δὲ Ἰσαίου τεχνικωτέρα δόξειεν ἂν εἶναι καὶ ἀκριβεστέρα τῆς Λυσίου· τήν τε σύνθεσιν περιεργοτέρα τις, καὶ σχηματισμοῖς διειλημμένη ποικίλοις· ὅσον τε ἀπολείπεται τῆς χάριτος ἐκείνης, τοσοῦτον ὑπερέχει τῇ δεινότητι τῆς κατασκευῆς· καὶ πηγή τις ὄντως ἐστὶ τῆς Δημοσθένους δυνάμεως. τὴν μὲν οὖν λέξιν οὕτως ἄν τις διαγνοίη· ἐν δὲ τοῖς πράγμασι τοιαύτας τινὰς εὑρήσει διαφοράς. παρὰ Λυσίᾳ μὲν οὐ πολλὴν τὴν ἐπιτέχνησιν, οὔτ' ἐν μερισμοῖς τῶν πραγμάτων, οὔτ' ἐν τῇ τάξει τῶν ἐνθυμημάτων, οὔτε ἐν ταῖς ἐξεργασίαις αὐτῶν ὄψεται· ἁπλοῦς γὰρ ὁ ἀνήρ. παρ' Ἰσαίῳ δὲ καὶ τεχνικώτερον ἤδη γινόμενα ταῦτα εὑρήσει. καὶ γὰρ ἐφόδοις χρῆται καὶ προκατασκευαῖς, καὶ μερισμοῖς τεχνικωτέροις· καὶ τίθησιν ἐν οἷς δίδωσι χωρίον ἕκαστον· καὶ μέχρι πολλοῦ προάγει τὰς τῶν ἐγχειρημάτων ἐξεργασίας, σχημάτων τε μεταβολαῖς ἐναγωνίων καὶ παθητικῶν ποικίλλει τοὺς λόγους. καὶ πρὸς μὲν τὸν ἀντίδικον διαπονηρεύεται, τοὺς δὲ δικαστὰς καταστρατηγεῖ· τοῖς δὲ πρό-

Digitized by Google

χμασιν, ὑπὲρ ὧν ὁ λόγος, ἐκ παντὸς πειρᾶται βοηθεῖν.

4. Ἵνα δὲ μᾶλλον ἡ διαφορὰ τῶν ἀνδρῶν γένηται καταφανὴς, εἰκότως χρήσομαι τῶν ὁρατῶν τινι. εἰσὶ δή τινες ἀρχαῖαι γραφαὶ, χρώμασι μὲν εἰργασμέναι ἁπλῶς, καὶ οὐδεμίαν ἐν τοῖς μίγμασιν ἔχουσαι ποικιλίαν, ἀκριβεῖς δὲ ταῖς γραμμαῖς, καὶ πολὺ τὸ χάριεν ἐν ταύταις ἔχουσαι· αἱ δὲ μετ' ἐκείνας, εὔγραμμοι μὲν ἧττον, ἐξειργασμέναι δὲ μᾶλλον, σκιᾷ τε καὶ φωτὶ ποικιλλόμεναι, καὶ ἐν τῷ πλήθει τῶν μιγμάτων τὴν ἰσχὺν ἔχουσαι. τούτων μὲν δὴ ταῖς ἀρχαιοτέραις ἔοικεν ὁ Λυσίας, κατὰ τὴν ἁπλότητα καὶ τὴν χάριν· ταῖς δὲ ἐκπεπονημέναις τε καὶ τεχνικωτέραις ὁ Ἰσαῖος. ἦν δὲ περὶ αὐτοῦ δόξα παρὰ τοῖς τότε γοητείας καὶ ἀπάτης, ὡς δεινὸς ἀνὴρ τεχνιτεῦσαι λόγους ἐπὶ τὰ πονηρότερα· καὶ εἰς τοῦτο διεβάλλετο. δηλοῖ δὲ τοῦτο τῶν ἀρχαίων τις ῥητόρων ἐν τῇ Δημοσθένους κατηγορίᾳ, Πυθέας, ὃς ἐμοὶ δοκεῖ. πονηρίαν γὰρ τῷ Δημοσθένει καὶ κακίαν τὴν ἐξ ἀνθρώπων πάσαν ἐνοικεῖν φήσας, καὶ τόδε τὸ μέρος ὅλον εἰς διαβολὴν, ἐπιτίθησιν, ὅτι τὸν Ἰσαῖον ὅλον, καὶ τὰς τῶν λόγων ἐκείνου τέχνας σεσίτισται. καὶ μὰ Δία οὐκ ἀπὸ σκοποῦ τὴν διαβολὴν ταύτην εἶχεν ἑκάτερος. ἐμοὶ γοῦν οἱ μὲν Ἰσαίου τε καὶ Δημοσθένους λόγοι καὶ περὶ ἀληθείας καὶ δικαίας συντάξεως αἱ ὑποθέσεις ὕποπτοι δοκοῦσιν εἶναι, τῆς πολλῆς ἐπιτεχνήσεως ἕνεκα· οἱ δὲ Ἰσοκράτους καὶ Λυσίου παντὸς μάλιστα δίκαιοί τε καὶ ἀληθεῖς· κἂν μὴ τοιαῦτα τὰ πράγματα ἐν αὐτοῖς·

Digitized by Google

ὅτι κακοῦργον οὐδὲν ἐπιφαίνουσιν ἐπὶ τῆς κατασκευῆς, ἀλλ' εἰσὶν ἐλεύθεροί τινες καὶ ἀφελεῖς.

5. Ταυτί μοι τὰ διαλλάττοντα ἔδοξεν εἶναι, ἐξ ὧν ἄν τις οὐ χαλεπῶς διαγνῶναι τοὺς Λυσίου τε καὶ Ἰσαίου λόγους δυνηθείη. εἰ δὲ ὀρθῶς ὑπείληφα, ἔξεσται τῷ βουλομένῳ σκοπεῖν τὴν ἐξέτασιν. ἄρξομαι δὲ ἀπὸ τῶν περὶ τὴν λέξιν θεωρημάτων. ἔστι δή τις Ἰσαίου λόγος ὑπὲρ Εὐμαθοῦς, μετοίκου τινὸς τῶν τραπεζιτευόντων Ἀθήνῃσιν, ὃν εἰς δουλείαν ἀγόμενον ὑπὸ τοῦ κληρονομήσαντος τὸν ἀπηλευθερωκότα τῶν ἄστεων ἀφαιρεῖταί τις, καὶ τὴν ἀπολογίαν ποιεῖται περὶ αὐτοῦ. τὸ προοίμιον δέ ἐστι τοῦ λόγου τοιόνδε· „Ἄνδρες δικασταί, ἐγὼ καὶ πρότε„ρον Εὐμαθεῖ τούτῳ ἐγενόμην χρήσιμος, καὶ δι„καίως· καὶ νῦν, εἴ τι ἐστὶν ἐν ἐμοὶ, πειράσομαι „συσσώζειν αὐτὸν μεθ' ὑμῶν. μικρὰ δέ μου ἀκού„σατε, ἵνα μηθεὶς ὑπολάβῃ ὑμῶν, ὡς ἐγὼ προπε„τείᾳ, ἢ ἄλλῃ τινὶ ἀδικίᾳ, πρὸς τὰ Εὐμαθοῦς „πράγματα προσῆλθον. τριηραρχοῦντος γάρ μου „ἐπὶ Κηφισοδώρου ἄρχοντος, καὶ λόγου ἀπαγ„γελθέντος πρὸς τοὺς οἰκείους, ὡς ἄρα τετελευτηκὼς „εἴην ἐν τῇ ναυμαχίᾳ, οὔσης μοι παρακαταθήκης „παρ' Εὐμαθεῖ τούτῳ, μεταπεμψάμενος τοὺς οἰκεί„ους τε καὶ φίλους τοὺς ἐμοὺς Εὐμαθὴς, ἐνεφάνισε „τὰ χρήματα, ἃ ἦν μοι παρ' αὐτῷ, καὶ ἀπέδωκε „πάντα ὀρθῶς καὶ δικαίως. ἀνθ' ὧν ἐγὼ σωθεὶς „ἐχρώμην αὐτῷ ἔτι μᾶλλον, καὶ κατασκευαζομένῳ „τὴν τράπεζαν προσεισεφόρησα ἀργυρίου. καὶ με„τὰ ταῦτα ἄγοντος αὐτὸν Διονυσίου, ἐξειλόμην εἰς

Digitized by Google

„ἐλευθερίαν, εἰδὼς ἀφειμένον ἐν τῷ δικαστηρίῳ ὑπὸ
„Ἐπιγένους. ἀλλὰ περὶ μὲν τούτων ἐπισχήσω."

6. Ἔστι δὴ καὶ παρὰ τῷ Λυσίᾳ τις ὑπὲρ ἀνδρὸς ξένου, δίκην φεύγοντος περὶ κλήρου, ποιούμενος τὴν ἀπολογίαν. τοῦτον ἐπιγράφει τὸν λόγον Καλλίμαχος· Περὶ Φερενίκου ὑπὲρ τοῦ Ἀνδροκλείδου κλήρου· καὶ ἔστι πολλοῖς πρότερον ἠγωνισμένος ἔτεσι θατέρου. ἐν ᾧ τὴν αἰτίαν πρώτως ἐπιδείκνυσιν ὁ περὶ τοῦ ξένου ποιούμενος τοὺς λόγους, ὥπερ ὁ τὸν μέτοικον ἐξαιρούμενος εἰς ἐλευθερίαν. ἔστι δὲ τὸ προοίμιον τοῦ λόγου τόδε· „Ἀναγκαῖόν
„μοι ὑπεῖ εἶναι, ὦ ἄνδρες δικασταὶ, περὶ τῆς φι-
„λίας τῆς ἐμῆς καὶ τῆς Φερενίκου πρῶτον εἰπεῖν
„πρὸς ὑμᾶς· ἵνα μηδεὶς ὑμῶν θαυμάζῃ, ὅτι ὑπὲρ
„οὐδενὸς ὑμῶν πώποτε εἰρηκὼς πρότερον, ὑπὲρ τού-
„του νυνὶ λέγω. ἐμοὶ γὰρ, ὦ ἄνδρες δικασταὶ, ξένος
„ἦν Κηφισόδοτος, ὁ τούτου πατήρ· καὶ ὅτε ἐφεύ-
„γομεν ἐν Θήβαις, παρ' ἐκείνῳ κατηγόμην, καὶ ἐγὼ,
„καὶ ἄλλος Ἀθηναίων ὁ βουλόμενος· καὶ πολλὰ καὶ
„ἀγαθὰ, καὶ ἰδίᾳ καὶ δημοσίᾳ, παθόντες ὑπ' αὐ-
„τοῦ, εἰς τὴν ἡμετέραν αὐτῶν κατήλθομεν. ἐπεὶ δ'
„οὖν οὗτοι ταῖς αὐταῖς τύχαις ἐχρήσαντο, καὶ φυ-
„γάδες Ἀθήναζε ἀφίκοντο, ἡγούμενος τὴν μεγίστην
„αὐτοῖς ὀφείλειν χάριν, οὕτως οἰκείως αὐτοὺς ὑπε-
„δεξάμην, ὥστε μηδένα γνῶναι τῶν εἰσιόντων, εἰ μή
„τις πρότερον ἠπίστατο, ὁπότερος ἡμῶν ἐκέκτητο
„τὴν οἰκίαν. οἶδα μὲν οὖν καὶ Φερένικος, ὦ ἄνδρες
„δικασταὶ, ὅτι πολλοὶ λέγειν εἰσὶν ἐμοῦ δεινότεροι,
„καὶ μᾶλλον τοιούτων πραγμάτων ἔμπειροι· ἀλλ'

Digitized by Google

„ὅμως ἡγεῖται τὴν ἐμὴν οἰκειότητα πιστοτάτην εἶ-
„ναι. αἰσχρόν μοι οὖν δοκεῖ εἶναι, κελεύοντος τοῦ-
„του, καὶ δεομένου τὰ δίκαια αὐτῷ βοηθῆσαι, πε-
„ριϊδεῖν αὐτόν, καθ' ὅσον οἷός τ' εἰμὶ ἐγὼ, τῶν ὑπ'
„Ἀνδροκλείδου δεδομένων στερηθῆναι."

7. Τί δὴ ταῦτα τὰ προοίμια ἀλλήλων διαφέ-
ρει; παρὰ Λυσίᾳ μὲν ἡδεῖά ἐστιν ἡ εἰσβολὴ, καὶ δι'
οὐδὲν ἄλλο μᾶλλον, ἢ ὅτι φυσικῶς πως εἴρηται, καὶ
ἀφελῶς· „Ἀναγκαῖόν μοι δοκεῖ εἶναι, ὦ ἄνδρες δι-
„κασταὶ, περὶ τῆς φιλίας τῆς ἐμῆς καὶ τῆς Φερενί-
„κου πρῶτον εἰπεῖν πρὸς ὑμᾶς." καὶ τὸ ἐπιλεγόμε-
νον ταύτῳ ἔτι μᾶλλον ἀκατάσκευον φαίνεται εἶναι,
καὶ ὡς ἂν ἰδιώτης τις εἰπεῖν δύναιτο τὸ εἰρημένον·
„Ἵνα μηδεὶς ὑμῶν θαυμάσῃ, ὅτι ὑπὲρ οὐδενὸς
„ὑμῶν πώποτε εἰρηκὼς πρότερον, ὑπὲρ τούτου νῦν
„λέγω." παρὰ δὲ Ἰσαίῳ κατεσκεύασται τὸ δοκοῦν
εἶναι ἀφελὲς, καὶ οὐ λέληθεν, ὅτι ἐστὶ ῥητορικόν·
„Ἐγὼ καὶ πρότερον Εὐμαθεῖ τούτῳ ἐγενόμην χρή-
„σιμος, καὶ δικαίως· καὶ νῦν, εἴ τι ἐστὶ κατ' ἐμὲ,
„πειράσομαι συσσώζειν αὐτόν." ὑψηλότερα γάρ
ἐστι, καὶ ἧττον ἐκείνων ἀφελέστερα, καὶ ἔτι μᾶλλον
τὰ ἐπιφερόμενα· „Μικρὰ δέ μου ἀκούσατε, ἵνα μη-
„δεὶς ὑπολάβῃ ὑμῶν, ὡς ἐγὼ προπετείᾳ, ἢ ἄλλῃ τινὶ
„ἀδικίᾳ, πρὸς τὰ Εὐμαθοῦς πράγματα προσῆλθον."
ἥ τε γὰρ „Προπέτεια," καὶ „Ἡ ἀδικία," καὶ τὸ
„Πρὸς τὰ Εὐμαθοῦς πράγματα προσελθεῖν," πε-
ποιημέναις μᾶλλον ἔοικεν, ἢ αὐτοφυέσι. καὶ αὖθίς
γε παρὰ μὲν τῷ Λυσίᾳ ἡ πρόφασις λέγεται ἀνεπιτη-
δεύτως· „Ἐμοὶ γὰρ, ὦ ἄνδρες δικασταὶ, ξένος ἦν

Digitized by Google

„Κηφισόδοτος, ὁ τούτου πατὴρ· καὶ ὅτε ἐφεύγομεν „ἐν Θήβαις, παρ' ἐκείνῳ κατηγόμην, καὶ ἐγὼ, καὶ „ἄλλος Ἀθηναίων ὁ βουλόμενος." ἡδέως τε καὶ ἀφοριστικῶς τὰ μετὰ ταῦτα ἐπιτίθεται· „Καὶ πολ„λὰ καὶ ἀγαθὰ, καὶ ἰδίᾳ καὶ δημοσίᾳ, παθόντες „ὑπ' αὐτοῦ, εἰς τὴν ἡμετέραν αὐτῶν κατήλθομεν." παρὰ δὲ τῷ Ἰσαίῳ πέφρασται περιεργότερον, καὶ οὐ μακρὰν ἀπέχει τῆς Δημοσθένους κατασκευῆς· „Τριηραρχοῦντος γάρ μου ἐπὶ Κηφισοδότου ἄρχον„τος, καὶ λόγου ἀπαγγελθέντος πρὸς τοὺς οἰκείους, „ὡς ἄρα τετελευτηκὼς εἴην ἐν τῇ ναυμαχίᾳ, οὔσης „μοι παρακαταθήκης παρ' Εὐμαθεῖ τούτῳ." τό τε γὰρ „Λόγου ἀπαγγελθέντος," καὶ τὸ „Ὡς ἄρα τε„τελευτηκὼς εἴην," καὶ τὸ „Οὔσης ἐμοὶ παρακα„ταθήκης," οὐκ ἂν φαίην ἔγωγε ἀφελῶς εἰρῆσθαι. ἐκείνως γὰρ λεγόμενα μᾶλλον ἀποίητα· „Ὅτε „γὰρ ἐτριηράρχουν, καὶ ἀπηγγέλη τοῖς ἐνθάδε, ὡς „ἄρα τετελευτηκὼς εἴην, ἔχων μου παρακαταθήκην „Εὐμαθὴς οὗτοσί."

8. Καὶ τὰ λοιπὰ δὲ τῶν προοιμίων μέρη, παρ' ᾧ μὲν ἀφελέστερον ἄν τις εὕροι λεγόμενα, παρ' ᾧ δὲ ῥητορικώτερον. ἐν ἑτέρῳ δὲ ἀγῶνι πάλιν ὁ μὲν Ἰσαῖος ἐπιτρόπῳ τινὶ συντάξας ἀπολογίαν, ὑπὸ τῶν ἰδίων ἀδελφιδῶν κρινομένῳ, τοιαύτῃ κέχρηται ἀρχῇ· „Ἠβουλόμην μὲν, ὦ ἄνδρες δικασταὶ, μὴ λίαν „οὕτως ἀγνοηθέντα προσχήματ' ἔχειν αἰσχρῶς, ὥστε „τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν, καὶ δίκας τοιαύτας „λαγχάνειν. ἀλλ' οὖ τό γε οὖν ἀδελφιδοῦν ἐμὸν καὶ „κύριον τῆς πατρῴας οὐσίας, οὐ μικρᾶς, ἀλλ' ἱκα-

Digitized by Google

„νῆς, ὥστε καὶ λειτουργεῖν, ὑφ' ἡμῶν αὐτῷ παρα-
„δοθείσης, ταύτης ἐπιμέλεῖσθαι, τῶν δ' ἐμῶν μὴ
„ἐπιθυμεῖν· ἵνα βελτίων τ' ἐδόκει πᾶσιν εἶναι, σώ-
„ζων αὐτὴν, καὶ πλείω ποιῶν, χρησιμώτερον ὑμῖν
„πολίτην παρεῖχεν ἑαυτόν, ἐπεὶ δὲ τὴν μὲν ἀνῄρηκε,
„καὶ πέπρακε, καὶ αἰσχρῶς καὶ κακῶς διολώλεκεν,
„ὡς οὐκ ἂν ἠβουλόμην· πιστεύων δ' ἑταιρίαις, καὶ
„λόγων παρασκευαῖς, ἐπὶ τὴν ἐμὴν ἐλήλυθεν·
„ἀνάγκη, ὡς ἔοικε, συμφορὰν μὲν εἶναι νομίζειν,
„ὅτι τοιοῦτός ἐστιν, οἰκεῖος ὤν· ἀπολογεῖσθαι δὲ
„περὶ ὧν ἐγκέκληκε, καὶ ἔξω [μὲν] τοῦ πράγματος
„διαβέβληκεν, ὡς ἂν οὖν δυνώμεθα προθυμότατα
„πρὸς ὑμᾶς." ὁ δὲ Μυσίας ἀνδρὶ ὑπὸ τῶν ἀδελφῶν
τῆς ἑαυτοῦ γυναικὸς ἐγκαλουμένῳ κακῆς ἐπιτροπῆς,
συγγράψας λόγον, τοιούτῳ κέχρηται τῷ προοιμίῳ·
„Οὐχ ἱκανὸν, ὦ ἄνδρες δικασταὶ, τοῖς ἐπιτρόποις,
„ὅσα πράγματα διὰ τὴν ἐπιτροπίαν ἔχουσιν, ἀλλὰ
„καὶ διασώζοντες τὰς τῶν φίλων οὐσίας, συκοφαν-
„τοῦνται ὑπὸ τῶν ὀρφανῶν πολλοί· ὅπερ κἀμοὶ νῦν
„συμβέβηκεν. ἐγὼ γὰρ, ὦ ἄνδρες δικασταὶ, κατα-
„λειφθεὶς ἐπίτροπος τῶν Ἱπποκράτους χρημάτων,
„καὶ διαχειρίσας ὀρθῶς καὶ δικαίως τὴν οὐσίαν,
„καὶ παραδοὺς τοῖς υἱοῖς δοκιμασθεῖσι τὰ χρήματα,
„ὧν ἐπίτροπος κατελείφθην, συκοφαντοῦμαι νῦν
„ὑπ' αὐτῶν ἀδίκως."

9. Οὐ πολλῶν οἶμαι δεῖν λόγων, ὅτι τοῦτο μὲν
ἀφελῶς καὶ ἡδέως εἴρηται, ἦθός τε οὐ πεπλασμένον,
ἀλλὰ φυσικὸν ἐπιφαίνει· τὸ γὰρ· „Οὐχ ἱκανὸν, ὦ
„ἄνδρες δικασταὶ, τοῖς ἐπιτρόποις, ὅσα πράγματα

Digitized by Google

„διὰ τὴν ἐπιτροπὴν ἔχουσιν·“ οὐδεὶς ἂν εἴποι ῥήτορος εἶναι, ἀλλὰ παντὸς ἰδιώτου, καταστάντος εἰς ἀγῶνα ἄδικον· τὸ δ' Ἰσαίου πεποιῆσθαι ῥητορικῶς καὶ κεκαλλιλογῆσθαι σεμνότερον, ἅπαντες ἂν φήσειαν· τὸ γὰρ· „Ἐβουλόμην μέν, ὦ ἄνδρες δικασταί, μὴ λίαν οὕτως ἀγνοηθέντα προσχήματα „ἔχειν αἰσχρῶς, ὥστε τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν.“ καὶ ἔτι μᾶλλον παρὰ Λυσίᾳ μὲν χαριέντως πάνυ καὶ ἀφελῶς εἰρῆσθαι τό· „Ἐγὼ γάρ, ὦ ἄνδρες δικα„σταί, καταλειφθεὶς ἐπίτροπος τῶν Ἱπποκράτους „χρημάτων, καὶ διαχειρίσας ὀρθῶς καὶ δικαίως τὴν „οὐσίαν, καὶ παραδοὺς τοῖς υἱοῖς δοκιμασθεῖσι τὰ „χρήματα.“ θάτερον δὲ τρανότερον, καὶ οὐχ ὡς ἂν ἰδιώτης μετέθηκεν· „Ἀλλ' οὐ τό γε οὖν ἀδελ„φιδοῦν ἐμὸν καὶ κύριον τῆς πατρῴας οὐσίας, οὐ „μικρᾶς, ἀλλ' ἱκανῆς, ὥστε καὶ λειτουργεῖν, ὑφ' „ἡμῶν αὐτῷ παραδοθείσης, ταύτης ἐπιμελεῖσθαι.“ ἔγὸς δ' ἔτι μνησθήσομαι γένους, ἐξ οὗ μάλιστα ἡ διαφορὰ τῶν ἀνδρῶν ἔσται καταφανής.

10. Ὑποτίθεται δ' ἑκάτερος ἰδιώτην ἄνδρα, καὶ ἀπράγμονα, καὶ νέον, παρὰ τὴν ἑαυτοῦ προαίρεσίν τε καὶ φύσιν ἠναγκασμένον ἐν δικαστηρίῳ λέγειν· ὁ μὲν Λυσίας ἐν τῷ πρὸς Ἀρχεβιάδην λόγῳ, τὸν τρόπον τοῦτον· „Ἐπειδὴ τάχιστα ἔλαχέ μοι „ταύτην τὴν δίκην Ἀρχεβιάδης, ὦ ἄνδρες δικασταί, „προσῆλθον αὐτῷ λέγων, ὅτι νέος καὶ ἄπειρος ἦν „πραγμάτων, καὶ οὐδὲν δεόμενος εἰσιέναι εἰς δικα„στήριον. ἐγὼ οὖν σε ἀξιῶ, μὴ εὔρεμα ἡγεῖσθαι τὴν „ἡλικίαν τὴν ἐμήν, ἀλλὰ παραλαβόντα τοὺς ἐμοὺς

Digitized by Google

„φίλους καὶ τοὺς ἀυτοῦ, διηγήσασθαι περὶ τοῦ „χρέους, ὅθεν γεγένηται· κἂν δοκῇς ἀληθῆ λέγειν „ἐκείνοις, οὐδέν σοι δεήσει πραγμάτων, ἄλλα λαβὼν, „ἐπὶ τὰ σαυτοῦ. δίκαιος δὲ εἶ μοι μηδὲν παραλι- „πεῖν, ἀλλ' εἰπεῖν ἅπαντα, ἐπειδὴ νεώτερός εἰμι τοῦ „συμβουλεύειν· ἵνα ἀκούσαντες περὶ ὧν οὐκ ἴσμεν, „βουλευσώμεθα περὶ ὧν σὺ λέγεις· ἐάν πως φανε- „ρὸν γένηται, πότερον ἀδίκως τῶν ἐμῶν ἐφίεσαι, „ἢ δικαίως τὰ σεαυτοῦ ζητεῖς κομίσασθαι. ταῦτ' „ἐμοῦ προκαλουμένου, οὐδεπώποτ' ἠθέλησε συν- „ελθεῖν, οὐδὲ λόγον περὶ ὧν ἐνεκαλεῖτο ποιήσασθαι, „οὐδὲ δίαιταν ἐπιτρέψαι, ἕως ὑμεῖς τὸν νόμον τὸν „περὶ τῶν διαιτητῶν ἔθεσθε." ὁ δὲ Ἰσαῖος ἐν ἀμ- φισβητήσει χωρίον τὸ ὑπὸ τῶν δημοτῶν κατεσχημέ- νον, οἷς τὸ χωρίον ὑπέκειτο, ταύτῃ χρώμενον εἰσά- γει τῇ ἀρχῇ· „Μάλιστα μὲν ἐβουλόμην, ὦ ἄνδρες „δικασταὶ, μηδ' ὑφ' ἑνὸς ἀδικεῖσθαι τῶν πολιτῶν· „εἰ δὲ μὴ, τοιούτων ἀντιδίκων τυχεῖν, πρὸς οὓς ἂν „οὐδὲν ἐφρόντιζον διαφερόμενος. νῦν δέ μοι πάν- „των πραγμάτων λυπηρότατον συμβέβηκεν. ἀδικοῦ- „μαι γὰρ ὑπὸ τῶν δημοτῶν, οὓς περιορᾶν μὲν „ἀποστεροῦντας οὐ ῥᾴδιον, ἀπέχθεσθαι δὲ ἡδέως, „μεθ' ὧν ἀνάγκη καὶ συνουσίας κοινὰς ποιεῖσθαι. „πρὸς μὲν οὖν πολλοὺς χαλεπὸν ἀντιδικεῖν· μέγα „γὰρ μέρος συμβάλλεται τὸ πλῆθος αὐτοῖς πρὸς τὸ „δοκεῖν ἀληθῆ λέγειν· ὅμως δὲ διὰ τὸ πιστεύειν „τοῖς πράγμασι, πολλῶν μοι καὶ δυσκόλων συμ- „πιπτόντων, οὐχ ἡγούμην δεῖν κατοκνῆσαι δι' ὑμῶν „πειρᾶσθαι τυγχάνειν τῶν δικαίων. δέομαι οὖν

Digitized by Google

„ὑμᾶς συγγνώμην ἔχειν, εἰ καὶ νεώτερος ὢν, λέγειν
„ἐπὶ δικαστηρίου τετόλμηκα· διὰ γὰρ τοὺς ἀδι-
„κοῦντας ἀναγκάζομαι παρὰ τὸν ἐμαυτοῦ τρόπον
„τοιοῦτόν τι ποιεῖν. πειράσομαι δ' ὑμῖν ἐξ ἀρχῆς,
„ὡς ἂν δύνωμαι, διὰ βραχυτάτων εἰπεῖν περὶ τοῦ
„πράγματος."

11. Τίς ἂν οὖν οὐκ ἂν ὁμολογήσειε, τὸν μὲν Λυσίου νέον, καὶ ἰδιώτην, καὶ ἀπράγμονα, ἀρχέτυπόν τινα εἶναι τῆς ἀληθείας, διαφέροντα ἐκείνης οὐδ' ὁτιοῦν· τὸν ἕτερον δὲ, ἀπόγραφόν τινα καὶ οὐ λανθάνοντα, ὅτι πέπλασται ῥητορικῇ τέχνῃ; καὶ γὰρ αἱ λέξεις καὶ τὰ νοήματα παρ' ἐκείνῳ μὲν τὸ αὐτοφυές, παρὰ δὲ τούτῳ τὸ κατασκευαστὸν ἀποφαίνουσιν. ὃ μὲ γὰρ ἀρχὴ κέχρηται, ὅτι νέος τε καὶ ἄπειρος εἴη πραγμάτων, καὶ οὐδὲν δεόμενος εἰς δικαστήριον εἰσιέναι. καὶ ἐπιφέρει πάνυ ἠθικῶς·
„Ἐγὼ οὖν σε ἀξιῶ, μὴ εὔρεμα ἡγεῖσθαι τὴν ἡλικίαν
„τὴν ἐμήν." καὶ τὸ μετὰ τοῦτο, ὡς φύσιν εἶχε γενέσθαι τε καὶ ῥηθῆναι, λέγει· ὡς ἐπὶ διαιτητὰς ἠξίουν κοινοὺς ἐλθεῖν φίλους· „Κἂν δόξῃς ἀληθῆ
„λέγειν ἐκείνοις, οὐθέν σοι δεήσει πραγμάτων, ἀλλὰ
„καὶ λαβὼν, ἐπὶ τὰ σαυτοῦ." καὶ τὰ λοιπὰ ἐν ἤθει χρηστῷ διεξελθὼν, τελευτῶν ἐπιτίθησι· „Ταῦτ'
„ἐμοῦ προκαλουμένου, οὐδεπώποτε ἠθέλησε συν-
„ελθεῖν." ὁ δὲ Ἰσαῖος τουτὶ μὲν τὸ μέρος, τὸ·
„Παρὰ τὴν ἑαυτοῦ γνώμην ἠναγκάσθαι λέγειν ἐν
„δικαστηρίῳ, νέον ὄντα·" ἐπὶ τελευτῇ τοῦ προοιμίου τίθησιν. ἄρχεται δὲ ἀπὸ διανοίας, οὐ φαύλης μὰ Δία, οὐδὲ ἰδιωτικῆς, ἀνιαρώτερον εἶναι λέγων

Digitized by Google

πρὸς τοιούτους ἀπέχθεσθαι, μεθ' ὧν ἀνάγκη τῶν τιμιωτάτων κοινωνεῖν· ἔπειτα ἀπολύεταί τι τῶν μελλόντων αὐτὸν λυπεῖν, τὸ δὴ πολλοὺς ὄντας τοὺς δημότας πρὸς αὐτὸν ἀντιδικεῖν. συντίθησί τε τὰ ὀνόματα οὐ φαύλως μὰ Δία, οὐδ' ὡς ἂν ἰδιώτης· „Ἀδικοῦμαι γὰρ ὑπὸ τῶν δημοτῶν," φησίν· „οὓς „περιορᾶν μὲν οὐ ῥᾴδιον ἀποστεροῦντας· ἀπέχθε„σθαι δ' ἂν ἡδέως, μεθ' ὧν ἀνάγκη καὶ συνουσίας „κοινὰς ποιεῖσθαι." ἡ γὰρ „Ἀηδὴς ἀπέχθεια," καὶ αἱ „Κοιναὶ συνουσίαι," τεχνικώτερον σύγκεινται μᾶλλον, ἢ ἀφελέστερον. καὶ ἔτι τὸ· „Πολλῶν μοι „δυσκόλων συμπιπτόντων, οὐχ ἡγούμην δεῖν κατα„κνῆσαι δι' ὑμῶν πειρᾶσθαι τυγχάνειν τῶν δικαί„ων." ἥκιστα γὰρ ἰδιώτης ἂν οὕτως· „Οὐχ ἡγού„μην δεῖν κατυκνῆσαι·" οὐδέ γε τὸ· „Δι' ὑμῶν „πειρᾶσθαι τυγχάνειν τῶν δικαίων·" ἀλλ' ἐκείνως πως μᾶλλον· „Τοσούτων γέ μοι συμπιπτόντων „δυσκόλων, ἐφ' ὑμᾶς ἠνάγκασμαι καταφυγεῖν, ἵνα „τῶν δικαίων τύχω δι' ὑμῶν."

12. Οἶμαι μὲν οὖν καὶ ἐκ τούτων οὐκ ἄδηλον εἶναι τὴν τῶν ἀνδρῶν διαφοράν. οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶν μελλόντων λέγεσθαι μᾶλλον ἔσται καταφανής, καὶ μάλιστα ἐκ τῶν ἀποδεικτικῶν καὶ παθητικῶν λόγων, ἐν οἷς ὁ μὲν Λυσίας ἁπλούστερός τις ἐστὶ, καὶ κατὰ τὴν σύνθεσιν τῶν ὀνομάτων, καὶ κατὰ τὴν κοινότητα τῶν σχημάτων, οὗτοσὶ δὲ ποικιλώτερος. πολλὰ γὰρ ἄν τις, ἰδὼν, εὕροι παρ' αὐτῷ, ὡς ἐν τούτῳ· „Πόθεν χρὴ πιστεύεσθαι τὰ εἰρημένα, πρὸς „θεῶν; οὐκ ἐκ τῶν μαρτύρων; οἶμαί γε. πόθεν δὲ

Digitized by Google

„τοὺς μάρτυρας; οὐκ ἐκ τῶν βασάνων; εἰκός γε.
„πόθεν δέ γε ἀπιστεῖσθαι τοὺς λόγους τοὺς τού-
„των; οὐκ ἐκ τοῦ φεύγειν τοὺς ἐλέγχους; ἀνάγκη
„μεγάλη. φαίνομαί τοίνυν ἐγὼ μὲν διώκων ταῦτα
„καὶ τὰ πράγματα εἰς βασάνους ἄγων· οὗτος δὲ,
„ἐπὶ διαβολὰς καὶ λόγους καθιστάς· ὅπερ ἄν τις
„πλεονεκτεῖν βουλόμενος ἐποίησεν. ἐχρῆν δὲ αὐτὸν,
„εἴπερ τι δίκαιον ἐφρόνει, καὶ μὴ παρακρούεσθαι
„τὰς ὑμετέρας γνώμας ἐζήτει, μὴ μὰ Δία ταῦτα
„ποιεῖν, ἀλλ' ἐπὶ τὸν λογισμὸν μετὰ μαρτύρων
„ἐλθεῖν, καὶ ἐξετάζειν ἕκαστα τῶν ἐν τῷ λόγῳ, τοῦ-
„τον τὸν τρόπον παρ' ἐμοῦ πυνθανόμενον· εἰσφο-
„ρὰς λογίζῃ πρὸς τούτους; καὶ πόσον ἀργύριον εἰσεν-
„ηνεγμένης, κατὰ τόσον καὶ τόσον, κατὰ πόσα ψη-
„φίσματα ταυτί. ταῦτας εἰλήφασί τινες, οἳ καὶ
„ταῦτα μαρτυρόμενοι. σκέψασθαι τὰ ψηφίσματα,
„τὸ πλῆθος τῶν εἰσφορῶν. τὰ εἰσενηνεγμένα, τοὺς
„λαβόντας· καὶ εἰ μὲν εὖ τι τῷ λόγῳ πιστεύειν· εἰ
„δὲ μή, νῦν παρασχέσθαι μάρτυρας, εἴ τι ψεῦδος ἦν
„ὧν ἐλογισάμην αὐτοῖς."

13. Ταυτὶ μὲν διαλελυμένα, καὶ ἐξ ἐπερωτήσεως· οἷς ὁ Λυσίας μὲν ἥκιστα κέχρηται· Δημοσθένης δὲ, ὁ παρὰ τούτου τὰς ἀφορμὰς λαβών, ἀφειδέστερον. οἷον· „Οὐκ οὖν σὺ μισθοφορὰν λέ-
„γεις; φήσει τις. καὶ παραχρῆμά γε τὴν αὐτὴν
„σύνταξιν ἅπάντων, ὦ Ἀθηναῖοι· ἵνα τῶν κοινῶν
„τὸ μέρος λαμβάνων ἕκαστος, οὗτου δέοιτο ἡ πόλις,
„τοῦτο παρέχῃ. ἔξεστιν ἄγειν ἡσυχίαν; οἴκοι μένων
„βελτίων εἶ, τοῦ δ' ἔνδειαν ἀνάγκη τι ποιεῖν αἰ-

Digitized by Google

„σχρὸν ἀπηλλαγμένος. συμβαίνει τι τοιοῦτον, οἷα
„καὶ τὰ νῦν; στρατιώτης αὐτὸς ὑπάρχων ἀπὸ τῶν
„αὐτῶν τούτων λημμάτων, ὥσπερ ἐστὶ δίκαιον, ὑπὲρ
„τῆς πατρίδος. ἔστι τις ἔξω τῆς ἡλικίας ἡμῶν; ὅσα
„οὗτος ἀτάκτως νῦν λαμβάνων οὐκ ὠφελεῖ, ταῦτα
„ἐν ἴσῃ τάξει παραλαμβάνων, πάντ' ἐφορῶν καὶ
„διοικῶν, ἃ χρὴ πράττεσθαι. ὅλως δὲ, οὔτε ἀφελὼν,
„οὔτε προσθεὶς, πλὴν τι μικρὸν, τὴν ἀταξίαν ἀνε-
„λὼν, εἰς τάξιν ἤγαγον τὴν πόλιν τὴν αὐτὴν, τοῦ
„λαβεῖν, τοῦ στρατεύεσθαι, τοῦ δικάζειν, τοῦ ποιεῖν
„τοῦθ', ὅ τι καθ' ἡλικίαν ἕκαστος ἔχοι, καὶ ὅτου
„καιρὸς εἴη, τάξιν ποιήσας." ἐκεῖνα δὲ κατὰ συ-
στροφὴν καὶ, παρακεκινδυνευμένα, τῷ τε βραχέως
καὶ ἀγκύλως καὶ ἐκ παραδόξου συντίθεσθαι, καὶ
οὐχ ἅπασιν οὐδὲ ἐκ προχείρου γνωριζόμενα· ς,Καὶ
„οὗτος γὰρ ὁ πάντων ἀνθρώπων σχετλιώτατος, οὐ
„παρεχόμενος αὐτῶν μάρτυρας δοῦναι, ὧν ἐναντίον
„ἡμῖν ἀποδοῦναι φησὶν, ὡς ἐκείνοις πιστεύειν προσ-
„ποιεῖται μᾶλλον, ὡς ἀποδεδόκασιν ἡμῖν, ἢ ἡμῖν,
„ὡς οὐκ ἀπειλήφαμεν. καίτοι πᾶσι φανερὸν, ὡς
„ἔοικε, τὸν τούτου πατέρα, ἀποστεροῦντα ὄντα ἐπί-
„τιμον, ὅτι ἡμῖν ἑκόντες οὐκ ἂν ἀπέδοσαν, εἰσπρά-
„ξασθαι, οὕτως ἔχοντος, οὐκ ἂν ἐδυνήθημεν." καὶ
γὰρ τοῦτό ἐστι τὸ σχῆμα, ᾧ πολλάκις Δημοσθένης
κέχρηται· „Εἶτ' οἴεσθαι, οἳ μὲν αὐτὸν οὐδὲν ἠδυ-
„νήθησαν ποιῆσαι κακὸν, αὐτοὶ δὲ μὴ παθεῖν ἐφυ-
„λάξαντ' ἂν ἴσως, τούτους μὲν ἐξαπατᾶν οἴεσθαι
„μᾶλλον, ἢ προλέγοντα βιάζεσθαι, ὑμῶν δὲ ἐκ
„προρρήσεως πολεμῆσαι;" καὶ ἔτι γε τὰ τοιαῦτα·

Digitized by Google

„Ὡι γὰρ, ἃ μὲν ὑπῆρχεν ἔξω τῶν ἀποτιμηθέντων, „κατελείτουργηκότι, δανειζομένωι δ' οὐδεὶς ἂν „ἔδωκεν ἐπ' αὐτοῖς ἔτι πλέον οὐδὲν ἀποδεδωκότι „τὰς μισθώσεις, ἔχειν ἐμοὶ προσῆκον ἀναμφισβη„τήτως, οὗτοι τηλικαύτην δίκην λαχόντες, καὶ σφέ„τερα αὐτῶν εἶναι φάσκοντες, ἐκάλυσάν με ἐξ αὐ„τῶν ποιήσασθαι τὴν ἐπισκευήν." καὶ τί δεῖ τὰ πλείω παρατιθέντα μηκύνειν; πολλὰ γὰρ ἄν τις εὕροι τῶν Ἰσαίου κατὰ τὴν σύνθεσιν καὶ κατὰ τοὺς σχηματισμοὺς ἐξηλλαγμένα μὲν τῆς Λυσίου λέξεως, ὁμοιότατα δὲ τῇ Δημοσθένους δεινότητι.

14. Εἰρηκὼς δὲ καὶ περὶ τῶν πραγμάτων, ὅτι δεινότερός ἐστιν ὀνομῆσαι Λυσίου, καὶ ὅλους τοὺς λόγους, καὶ τὰ μέρη αὐτῶν, καὶ οὐδὲν ἔξω ποιῶν τῆς τέχνης, ἣ μετὰ ταῦτα πολλῇ ὁ Δημοσθένης ἐχρήσατο, βούλομαι καὶ τὰς ὑπὲρ τούτων παρασχέσθαι πίστεις. ἔσται δὲ κεφαλαιώδης τε καὶ ὡς πρὸς ἀνεγνωκότας τὸν ἄνδρα ὁ λόγος· οὐ γὰρ ἐνεχώρει παραδείγματα πάντων τιθέναι. αὐτίκα τὰς διηγήσεις τοτὲ μὲν ἀπροκατασκεύαστους καὶ συντόμους, καὶ οὐδὲν προλαμβανούσας τῶν ἀποδεικτικῶν, ἐν τῇ προσηκούσῃ τίθησι χώρᾳ, καθάπερ ἐφ' ᾧ πρὸς Μέδοντα ποιεῖ λόγῳ, καὶ ἐν τῷ πρὸς Ἀγνόθεον, καὶ ἐν τῇ πρὸς τοὺς δημότας ἀμφισβητήσει περὶ τοῦ χωρίου, καὶ ἐν ἄλλοις συχνοῖς· τοτὲ δὲ, μερίσας αὐτὰς εἰς τὰ κεφάλαια, καὶ παρ' ἕκαστον αὐτῶν τὰς πίστεις παρατιθεὶς, ἐκμηκύνει τι μᾶλλον, καὶ ἐκβαίνει τὸ τῆς διηγήσεως σχῆμα, τῷ συμφέροντι χρώμενος. ταύτης ἔστι τῆς ἰδέας ἢ τι

Digitized by Google

πρὸς Ἕρμωνα ὑπὲρ τῆς ἐγγύης ἀπολογία· καὶ ἡ πρὸς Εὐκλείδην ἀμφισβήτησις ὑπὲρ τῆς τοῦ χωρίου λύσεως· καὶ ἡ ὑπὲρ Εὐφιλήτου πρὸς τὸν Ἐρχιέων δῆμον ἔφεσις. ἐν γὰρ δὴ τοῖς λόγοις τούτοις μακροτέρας τὰς διηγήσεις οὔσας, οὐχ ἅμα τίθησιν ὅλας, ἀλλὰ κατὰ μέρη διαλαμβάνων, ἐφ' ἑκάστῳ κεφαλαίῳ τούς τε μάρτυρας ἐπάγεται, καὶ τὰς ἄλλας παρέχεται πίστεις, δεδοικὼς, περ' ὅσα γ' οὖν ἐμοὶ δοκεῖ, μὴ δυσπαρακολούθητος γένηται, διὰ τὸ πλῆθος τῶν κεφαλαίων, ὁ λόγος· καὶ πολλάκις αἵ τε πίστεις εἰς ἓν χωρίον ἅπασαι συναχθεῖσαι, πολλαὶ καὶ περὶ πολλῶν οὖσαι πραγμάτων, μὴ συνταράξωσι τὴν σαφήνειαν· τοιγάρτοι μετὰ τὰς διηγήσεις, τὰς οὕτως ὠνομασμένας, οὐκ ἔτι τὰς προηγουμένας ἀποδείξεις πολλοῖς βεβαιοῦται λόγοις, οὐδ' ἔστιν ὅμοιος τοῖς νέοις τεχνογράφοις, ἀλλὰ τὰς τῶν ἀντιδίκων πίστεις ἀναιρεῖν οἴεται δεῖν.

15. Τότε δὲ προκατασκευάζεταί τινα πρὸ τῶν διηγήσεων πράγματα, καὶ προλαμβάνει τὰ μέλλοντα, πιστοτέρας αὐτὰς, ἢ κατ' ἄλλο τι χρησιμωτέρας, ποιήσειν οἰόμενος, ὡς ἐν τῇ κλήσει τῇ πρὸς Ἀριστογείτονα καὶ Ἄρχιππον εὑρήσεται πεποιηκὼς, ἐν ᾗ κλήρου τις ἀμφισβητῶν, ἀδελφὸς ὢν τοῦ τελευτήσαντος, προσκαλεῖται τὸν ἔχοντα τἀφανῆ χρήματα εἰς ἐμφανῶν κατάστασιν· ὁ δὲ τοῦ κλήρου κρατῶν, παραγράφεται τὴν κλῆσιν, δεδόσθαι λέγων ἑαυτῷ τὰ χρήματα κατὰ διαθήκας· διττῆς δὲ τῆς ἀμφισβητήσεως ὑπαρχούσης, τῆς μὲν περὶ τοῦ γεγονέναι τὰς διαθήκας, ἢ μή· τῆς δὲ, τῶν δια-

Digitized by Google

θηκῶν ἀμφισβητουμένων ἤδη, τίνα δεῖ τοῦ κλήρου κρατεῖν· πρῶτον ἀποδοὺς τὸν ὑπὲρ τῶν νόμων λόγον, καὶ ταῦτα ἀποδείξας τὸ μέρος, ὡς οὐ δεῖ τὸν ἐπίδικον κρατεῖσθαι κλῆρον πρὸ δίκης, οὕτως ἐπὶ τὴν διήγησιν ἔρχεται, δι' ἧς ἀποδείκνυσιν, οὔτε γεγενημένας ὑπὸ τοῦ τετελευτηκότος τὰς διαθήκας· καὶ οὐδὲ ταύτην τὴν διήγησιν ἁπλῶς πως συστρέψας καὶ ἀπατασκευάστους τίθησιν, ἀλλὰ καὶ ταύτην, μακροτέραν οὖσαν, ἀποτομαῖς τισι διαλαμβάνει, καὶ καθ' ἕκαστον εἶδος μάρτυρας ἀναβιβάζεται, καὶ προκλήσεις ἀναγινώσκει, καὶ συνθήκας παρέχεται, τεκμηρίοις τε καὶ σημείοις καὶ τοῖς ἐκ τῶν εἰκότων ἐλέγχοις ἅπασι χρῆται. πολλὰς δ' ἂν ἔχοιμι καὶ ἄλλας παρασχέσθαι διηγήσεις, πρὸς τὸ συμφέρον οἰκονομημένας ὑπὸ τοῦ ῥήτορος, προκατασκευαῖς, παρασκευαῖς, μερισμοῖς, χωρίων ἀλλαγαῖς, πραγμάτων μεταγωγαῖς, τῷ τὰ κεφάλαια ἀνεστράφθαι, τῷ μὴ κατὰ τοὺς χρόνους τὰ πραχθέντα εἰρῆσθαι, τῷ μὴ πάντα, μηδ' ἂν ὡς φύσιν εἶχε πραχθῆναι, μηθ' ὡς ἂν ἰδιώτης τις εἴποι, λέγεσθαι, μὴ μετρίως, μυρίοις ἄλλοις τοιούτοις τρόποις. ἀλλ' οὔτε χρόνον ἱκανὸν ἔχω περὶ πασῶν λέγειν, ἐκδιηγούμενος εὐθὺς ἐφ' ἑκάστης τὴν τέχνην, ὡς ἐβουλόμην ἄν· οὔθ' ὁ πρὸς τοὺς ἐπισταμένους τὰ πράγματα λόγος ἐν τῷ πλήθει τῶν παραδειγμάτων τὸ πιστὸν ἔχει, ἀλλ' ἀρκεῖ τοῖς τοιούτοις καὶ ἡ βραχεῖα δήλωσις.

16. Ἐρῶ δὲ κεφαλαιωδῶς, περὶ ταύτης τῆς ἰδέας ἣν ἐγὼ δόξαν ἔχω, καὶ τίνι διαφέρειν οἴομα

Digitized by Google

τὸν Ἰσαῖον τοῦ Λυσίου. καὶ Δικαίου μὲν ἂν τις ἀναγινώσκων τὰς διηγήσεις, οὐδὲν ἂν ὑπολάβῃ λέγεσθαι κατὰ τέχνην, ἢ πονηρίαν, ἀλλ' ὡς ἡ φύσις καὶ ἡ ἀλήθεια φέρει· αὐτὸ τοῦτο ἀγνοῶν, ὅτι τῆς τέχνης τὸ μιμήσασθαι τὴν φύσιν αὐτῆς μέγιστον ἔργον ἦν. ἐπὶ δὲ τῶν Ἰσαίου διηγημάτων τοὐναντίον ἂν παθεῖν, μηδὲν ὑπολαβεῖν αὐτοφυῶς καὶ ἀπραγματεύτως λέγεσθαι, μηδ' εἰ τινα ὡς ἔτυχε γενόμενα εἴρηται· ἐκ κατασκευῆς δὲ πάντα, καὶ μεμηχανευμένα πρὸς ἀπάτην, ἢ ἄλλην τινὰ κακουργίαν· καὶ τῷ μὲν ἂν καὶ τὰ ψευδῆ λέγοντι πιστεύσειν ἄν· τῷ δὲ, μηδ' ἂν ἀληθεύῃ, χωρὶς ὑποψίας προσέξειν. ἐν δὲ τοῖς ἀποδεικτικοῖς διαλλάττειν ἂν δόξειεν Ἰσαῖος Λυσίου, τῇ τε μὴ κατ' ἐνθύμημά τι λέγειν, ἀλλὰ κατ' ἐπιχείρημα· καὶ τῷ μὴ βραχέως, ἀλλὰ διεξοδικῶς· μηδὲ ἁπλῶς, ἀλλ' ἀκριβῶς· αὔξειν τε μᾶλλον, καὶ δεινότερα ποιεῖν τὰ πράγματα, καὶ τὰ πάθη ποιεῖν γλαφυρώτερα. ἐν γὰρ δὴ τούτοις οὐχ ἥττων ἐστὶ φανερὸς τῇ Δημοσθένους τέχνῃ τὰς ἀφορμὰς δεδεικώς, ἀλλ' οὐ τὴν Λυσίου διώκων ἀσφάλειαν, ὡς ἔκ τε ἄλλων ἐστὶ λόγων μᾶλλον δὲ ἐκ πάντων τῶν γραφέντων ὑπ' αὐτοῦ τεκμήρασθαι. εἰ δέ τι δεῖ καὶ παραδείγμασι χρῆσθαι, μή τις ἀναπόδεικτα δόξῃ λέγειν ἡμῖν, ποιήσω καὶ τοῦτο, προχειρισάμενος τὸν ὑπὲρ Εὐφιλήτου λόγον, ἐν ᾧ τὸν Ἐρχιέων δῆμον εἰς τὸ δικαστήριον προσκαλεῖταί τις τῶν ἀποψηφισθέντων, ὡς ἀδίκως τῆς πολιτείας ἀπειλαυνόμενος. ἐγράφη γὰρ δή τις ὑπὸ τῶν Ἀθηναίων νόμος· „Ἐξέτασιν γε-

Digitized by Google

„νεσθαι τῶν πολιτῶν κατὰ δήμους· τὸν δὲ ἀπογη-
„φισθέντα ὑπὸ τῶν δημοτῶν, τῆς πολιτείας μὴ μετ-
„έχειν· τοῖς δὲ ἀδίκως ἀπογεγραφισθεῖσιν ἔφεσιν εἰς
„τὸ δικαστήριον εἶναι, προσκαλεσαμένοις τοὺς δη-
„μότας· καὶ ἐὰν τὸ δεύτερον ἐξελεγχθῶσι, πεπρά-
„σθαι αὐτούς, καὶ τὰ χρήματα εἶναι δημόσια.“ Κατὰ τοῦτον τὸν νόμον ὁ Εὐφίλητος προσκαλεσά-
μενος τοὺς Ἐρχιέας, ὡς ἀδίκως καταψηφισαμένους
αὐτοῦ, τὸν ἀγῶνα τόνδε διατίθεται. προείρηται
μὲν δὴ τὰ πράγματα ταῦτ' ἀκριβῶς, καὶ πεπίστω-
ται διὰ τῶν μαρτύρων· οἷς δὲ βεβαίας βούλεται
ποιῆσαι τὰς μαρτυρίας, τοῦτ' ἐστίν· ὡς μὲν ἐγὼ
δόξης ἔχω, πάντ' ἀκριβῶς ἐξειργασμένα· κρινέτω
δὲ ὁ βουλόμενος, εἰ τὰ προσήκοντα ἔγνωκα περὶ
αὐτῶν.

17. „Ὅτι μὲν τοίνυν, ὦ ἄνδρες δικασταί,
„ἀδελφὸς ἡμῖν ἐστὶν οὗτοσὶ ὁ Εὐφίλητος, οὐ μόνον
„ἡμῶν, ἀλλὰ καὶ τῶν συγγενῶν ἁπάντων ἀκηκόατε
„μαρτυρούντων. σκέψασθε δὲ πρῶτον τὸν πατέρα
„ἡμῶν, τίνος εἰκὸς ἂν φεύδοιτο, καὶ τοῦτον μὴ
„ὄντα αὐτοῦ υἱὸν εἰσποιεῖτο. πάντας γὰρ εὑρήσετε
„τοὺς τὰ τοιαῦτα πράττοντας, ἢ οὐκ ὄντων αὐτοῖς
„γνησίων παίδων, ἢ διὰ πενίαν ἀναγκαζομένους,
„ξένους ἀνθρώπους εἰσποιεῖσθαι, ὅπως ὠφελῶνται
„τι ἀπ' αὐτῶν· οἱ δ' αὐτοὺς Ἀθηναίων γεγονότας τῷ
„τοίνυν πατρὶ τούτων οὐδέτερον ὑπῆρχεν. γνήσιοι
„μὲν γὰρ αὐτῷ ἡμεῖς δύο υἱεῖς ἦμεν· ὥστε οὐκ ἄν
„γε δι' ἐρημίαν τοῦτον εἰσποιοῖτο. ἀλλὰ μὴν οὐδὲ
„τροφῆς τι καὶ εὐπορίας τῆς παρὰ τούτου δεόμενος.

Digitized by Google

„ἔστι γὰρ αὐτῷ βίος ἱκανὸς, καὶ χωρὶς τούτου με-
„μαρτύρηται ὑμῖν τοῦτον ἐκ παίδων τρέφων καὶ
„ἀσκῶν, καὶ εἰς φράτορας εἰσάγων. καὶ ταῦτα οὐ
„μικρὰ δαπανήματά ἐστιν, ὥστε τόν τε πατέρα
„ἡμῶν οὐκ εἰκὸς ἐστιν, ὦ ἄνδρες δικασταὶ, μηδὲν
„ὠφελούμενον, οὕτως ἀδίκῳ πράγματι ἐπιχειρῆσαι.
„ἀλλὰ μὴν οὐδ' ἐμέ γε οὐθεὶς ἀνθρώπων οὕτως τε-
„λέως ἂν ἄφρονα ὑπολάβοι, ὥστε τούτῳ μαρτυρεῖν
„τὰ ψευδῆ, ὅπως τὰ πατρῷα διὰ πλειόνων διανεί-
„μωμαι. καὶ γὰρ οὐδ' ἀμφισβητῆσαί μοι ἔξουσία
„γένοιτ' ἂν ὕστερον, ὡς οὐκ ἔστιν ἀδελφὸς οὗτος
„ἐμοῦ. οὐθεὶς γὰρ ἂν ὑμῶν τὴν φωνὴν ἀγάσχαιτ'
„ἂν ἀκούων, εἰ νῦν μὲν, ὑπόδικον ἐμαυτὸν καθι-
„στὰς, μαρτυρῶ, ὡς ἔστιν ἀδελφὸς ἡμέτερος· ὕστε-
„ρον δὲ φαινοίμην τούτοις ἀντιλέγων. οὐ μόνον
„τοίνυν ἡμῖς, ὦ ἄνδρες δικασταὶ, εἰκὸς ἐστι τάλη-
„θῆ μεμαρτυρηκέναι, ἀλλὰ καὶ τοὺς ἄλλους συγ-
„γενεῖς. ἐνθυμήθητε γὰρ πρῶτον μὲν, ὅτι οἱ τὰς
„ἀδελφὰς ἡμῶν ἔχοντες οὐκ ἄν ποτε ἐμαρτύρουν
„περὶ τούτου τὰ ψευδῆ. μητρυιὰ γὰρ ἡ τούτου μή-
„τηρ ἐγεγένητο ταῖς ἡμετέραις ἀδελφαῖς. εἰώθασι
„δέ πως, ὡς ἐπὶ τὸ πολὺ, διαφέρεσθαι ἀλλήλαις
„αἵ τε μητρυιαὶ καὶ αἱ πρόγονοι. ὥστε εἰ οὗτος ἐξ
„ἄλλου τινὸς ἀνδρὸς ἦν τῇ μητρυιᾷ, καὶ οὐκ ἐκ τοῦ
„ἡμετέρου πατρὸς, οὐκ ἄν ποτε, ὦ ἄνδρες δικασταὶ,
„ταὺς ἑαυτῶν ἄνδρας αἱ ἀδελφαὶ μαρτυρεῖν εἴασαν
„καὶ ἐπέτρεψαν, καὶ μὴν οὐκ ἂν ὁ θεῖος πρὸς μη-
„τρὸς ἡμῖν ὤν, τούτῳ δὲ οὐδὲν προσήκων, δήπου
„τῇ τούτου μητρὶ ἠθέλησεν ἂν, ὦ ἄνδρες δικασταὶ,

Digitized by Google

„μαρτυρῆσαι ψευδῆ μαρτυρίαν, δι' ἣν ἡμῖν γίνεται
„βλάβη περιφανὴς, εἴπερ ξένον ὄντα τοῦτον εἰσ-
„ποιοῦμεν ἀδελφὸν ἡμῖν αὐτοῖς. ἔτι τοίνυν, ὦ
„ἄνδρες δικασταὶ, πρὸς τούτοις πῶς ἂν τις ὑμῶν
„καταγνοίη ψευδομαρτυρίαν Δημαράτου τουτουΐ,
„καὶ Ἡγήμονος, καὶ Νικοστράτου· οἳ πρῶτον μὲν
„οὐδὲν αἰσχρὸν οὐδέποτε φανήσονται ἐπιτηδεύσαν-
„τες, ἔπειτα δ', οἰκεῖοι ὄντες ἡμῶν, καὶ εἰδότες ἡμᾶς
„ἅπαντας, μεμαρτυρήκασιν Εὐφιλήτῳ τούτῳ τὴν
„αὑτοῦ συγγένειαν ἕκαστος. ὥστε ἡδέως κἂν τῶν
„ἀντιδικούντων ἡμῖν τοῦ σεμνοτάτου πυθοίμην, εἰ
„ἄλλοθέν ποθεν ἔχοι ἂν ἐπιδεῖξαι αὐτὸν Ἀθηναῖον,
„ἢ ἐκ τούτων, οὓς καὶ ἡμεῖς Εὐφίλητον ἐπιδείκνυ-
„μεν. ἐγὼ μὲν γὰρ οὐκ οἶμαι ἄλλο τι ἂν αὐτὸν, ἢ
„ὅτι ἡ μήτηρ ἀστή τε ἐστὶ, καὶ ὁ πατὴρ· καὶ ὡς
„ταῦτ' ἀληθῆ λέγει, παρέχειτ' ἂν αὐτῷ τοὺς συγ-
„γενεῖς μάρτυρας. εἶτα, ὦ ἄνδρες δικασταὶ, εἰ μὲν
„οὗτοι ἐκινδύνευον, ἠξίουν τοῖς αὐτῶν οἰκείοις ὑμᾶς
„πιστεύειν μαρτυροῦσι μᾶλλον, ἢ τοῖς πατηρέοις·
„νυνὶ δὲ ἡμῶν πάντα ταῦτα παρεχομένων, ἀξιοῦσου-
„σιν ὑμᾶς τοῖς αὐτῶν πείθεσθαι λόγοις μᾶλλον,
„ἢ τῷ πατρὶ τῷ Εὐφιλήτου, καὶ ἐμοὶ, καὶ τῷ ἀδελ-
„φῷ, καὶ τοῖς φράτορσι, καὶ πάσῃ τῇ ἡμετέρᾳ
„συγγενείᾳ. καὶ μὴν οὗτοι μὲν, οὐδ' ἐν οὐδενὶ κιν-
„δυνεύοντες, ἰδίας ἕνεκα ἔχθρας ταῦτα ποιοῦσιν· ἡμεῖς
„δὲ, πέντε ὑπολίπους ἡμᾶς αὐτοὺς καθιστάντες,
„μαρτυροῦμεν· καὶ πρὸς τοιαῖς μαρτυρίαις, ὦ ἄν-
„δρες δικασταὶ, πρῶτον μὲν ἡ τοῦ Εὐφιλήτου μή-
„τηρ, ἣν αὐτοὶ ὁμολογοῦμεν ἀστὴν εἶναι, ἔρχον

Digitized by Google

„ἔστι γὰρ αὐτῷ βίος ἱκανὸς, καὶ χωρὶς τούτου με-
„μαρτύρηται ὑμῖν τοῦτον ἐκ παίδων τρέφων καὶ
„ἀγκῶν, καὶ εἰς φράτορας εἰσάγων. καὶ ταῦτα οὐ
„μικρὰ δαπανήματά ἐστιν, ὥστε τόν τε πατέρα
„ἡμῶν οὐκ εἰκός ἐστιν, ὦ ἄνδρες δικασταὶ, μηδὲν
„ὠφελούμενον, οὕτως ἀδίκῳ πράγματι ἐπιχειρῆσαι.
„ἀλλὰ μὴν οὐδ' ἐμέ γε οὐθεὶς ἀνθρώπων οὕτως τε-
„λέως ἂν ἄφρονα ὑπολάβοι, ὥστε τούτῳ μαρτυρεῖν
„τὰ ψευδῆ, ὅπως τὰ πατρῷα διὰ πλειόνων διανεί-
„μωμαι. καὶ γὰρ οὐδ' ἀμφισβητῆσαί μοι ἐξουσία
„γένοιτ' ἂν ὕστερον, ὡς οὐκ ἔστιν ἀδελφὸς οὗτος
„ἐμοῦ. οὐθεὶς γὰρ ἂν ὑμῶν τὴν φωνὴν ἀνάσχοιτ'
„ἂν ἀκούων, εἰ νῦν μὲν, ὑπόδικον ἐμαυτὸν καθι-
„στὰς, μαρτυρῶ, ὡς ἔστιν ἀδελφὸς ἡμέτερος· ὕστε-
„ρον δὲ φαινοίμην τούτοις ἀντιλέγων. οὐ μόνον
„τοίνυν ἡμᾶς, ὦ ἄνδρες δικασταὶ, εἰκὸς ἐστι πάλη-
„θῆ μεμαρτυρηκέναι, ἀλλὰ καὶ τοὺς ἄλλους συγ-
„γενεῖς. ἐνθυμήθητε γὰρ πρῶτον μὲν, ὅτι οἱ τὰς
„ἀδελφὰς ἡμῶν ἔχοντες οὐκ ἄν ποτε ἐμαρτύρουν
„περὶ τούτου τὰ ψευδῆ. μητρυιὰ γὰρ ἡ τούτου μή-
„τηρ ἐγεγένητο ταῖς ἡμετέραις ἀδελφαῖς. εἰώθασι
„δέ πως, ὡς ἐπὶ τὸ πολὺ, διαφέρεσθαι ἀλλήλαις
„αἵ τε μητρυιαὶ καὶ αἱ πρόγονοι. ὥστε εἰ οὗτος ἐξ
„ἄλλου τινὸς ἀνδρὸς ἦν τῇ μητρυιᾷ, καὶ οὐκ ἐκ τοῦ
„ἡμετέρου πατρὸς, οὐκ ἄν ποτε, ὦ ἄνδρες δικασταὶ,
„τοὺς ἑαυτῶν ἄνδρας αἱ ἀδελφαὶ μαρτυρεῖν εἴασαν
„καὶ ἐπέτρεψαν, καὶ μὴν οὐκ ἂν ὁ θεῖος πρὸς μη-
„τρὸς ἡμῶν ὢν, τούτῳ δὲ οὐδὲν προσήκων, δήπου
„τῇ τούτου μητρὶ ἠθέλησεν ἂν, ὦ ἄνδρες δικασταὶ,

Digitized by Google

„μαρτυρῆσαι ψευδῆ μαρτυρίαν, δι' ἣν ἡμῖν γίνεται „βλάβη περιφανής, εἴπερ ξένον ὄντα τοῦτον εἰσ- „επαιοῦμεν ἀδελφόν: ἡμῖν αὐτοῖς. ἔτι τοίνυν, ὦ „ἄνδρες δικασταὶ, πρὸς τούτοις πῶς ἄν τις ὑμῶν „καταγνοίη ψευδομαρτυρίαν Δημαράτου τουτουΐ, „καὶ Ἡγήμονος, καὶ Νικοστράτου· οἳ πρῶτον μὲν „οὐδὲν αἰσχρὸν οὐδέποτε φανήσονται ἐπιτηδεύσεν- „τες, ἔπειτα δ', οἰκεῖοι ὄντες ἡμῶν, καὶ εἰδότες ἡμᾶς „ἅπαντας, μεμαρτυρήκασιν Εὐφιλήτῳ τούτῳ τὴν „αὑτοῦ συγγένειαν ἕκαστος. ὥστε ἡδέως κἂν τῶν „ἀντιδικούντων ἡμῖν τοῦ σεμνοτάτου πυθοίμην, εἰ „ἄλλοθέν ποθεν ἔχοι ἂν ἐπιδεῖξαι αὐτὸν Ἀθηναῖον, „ἢ ἐκ τούτων, ὧν καὶ ἡμεῖς Εὐφίλητον ἐπιδείκνυ- „μεν. ἐγὼ μὲν γὰρ οὐκ οἶμαι ἄλλο τι ἂν αὐτὸν, ἢ „ὅτι ἡ μήτηρ ἀστή τε ἐστὶ, καὶ ὁ πατὴρ· καὶ ὡς „ταῦτ' ἀληθῆ λέγει, παρέχεται ἂν αὐτῷ τοὺς συγ- „γενεῖς μάρτυρας. εἶτα, ὦ ἄνδρες δικασταὶ, εἰ μὲν „οὗτοι ἐκινδύνευον, ἠξίουν τοῖς αὐτῶν οἰκείοις ὑμᾶς „πιστεύειν μαρτυροῦσι μᾶλλον, ἢ τοῖς πατηρέροις· „νυνὶ δὲ ἡμῶν πάντα ταῦτα παρεχομένων, ἀξιοῦσου- „σιν ὑμᾶς τοῖς αὐτῶν πιθέσθαι λόγοις μᾶλλον, „ἢ τῷ πατρὶ τῷ Εὐφιλήτου, καὶ ἐμοὶ, καὶ τῷ ἀδελ- „φῷ, καὶ τοῖς φράτορσι, καὶ πάσῃ τῇ ἡμετέρᾳ „συγγενείᾳ. καὶ μὴν οὗτοι μὲν, οὐδ' ἐν οὐδενὶ κιν- „δυνεύοντες, ἰδίας ἔχθρας ἕνεκα ποιοῦσιν· ἡμεῖς „δὲ, πάντας ὑποδίκους ἡμᾶς αὐτοὺς καθιστάντες, „μαρτυροῦμεν· καὶ πρὸς ταῖς μαρτυρίαις, ὦ ἄνδ- „δρες δικασταὶ, πρῶτον μὲν ἡ τοῦ Εὐφιλήτου μή- „τηρ, ἣν αὐτοὶ ὁμολογοῦμεν ἀστὴν εἶναι, ἔχουσ

Digitized by Google

„ὀμόσαι ἐπὶ τοῦ διαιτητοῦ ἐβούλετο ἐπὶ Δελφινίῳ,
„ἢ μὴν πεπονὶ Εὐφίλητον εἶναι ἐξ αὐτῆς καὶ τοῦ
„ἡμετέρου πατρός. καίτοι τίνα προσῆκε μᾶλλον
„αὐτῆς ἐκείνης τοῦτα εἰδέναι; ἔπειτα, ὦ ἄνδρες
„δικασταί, ὁ πατὴρ ὁ ἡμέτερος, ὃν εἰκός ἐστι μετὰ
„τὴν τούτου μητέρα ἄριστα τὸν αὐτοῦ υἱὸν γινώ-
„σκειν, οὗτος καὶ τότε καὶ νυνὶ βούλεται ὀμόσαι,
„ἢ μὴν Εὐφίλητον τοῦτον υἱὸν εἶναι αὐτοῦ ἐξ ἀστῆς
„καὶ γαμετῆς γυναικός. πρὸς τούτοις τοίνυν, ὦ
„ἄνδρες δικασταί, ἐγὼ ἐτύγχανον μὲν τρισκαι-
„δεκαετὴς ὤν, ὥσπερ καὶ πρῶτοι εἶπον, ὅτε οὗτος
„ἐγένετο· ἕτοιμος δὲ εἰμὶ ὀμόσαι, ἢ μὴν Εὐφίλητον
„τουτονὶ ἀδελφὸν εἶναι ἐμαυτοῦ ὁμοπάτριον. εἰδότε,
„ὦ ἄνδρες δικασταί, δικαίως ἂν καὶ τοὺς ἡμετέρους
„ὅρκους πιστοτέρους νομίζοιτε, ἢ τοὺς ἑαυτῶν λό-
„γους. ἡμεῖς μὲν γὰρ, ἀκριβῶς εἰδότες, ὀμόσαι
„περὶ αὐτοῦ θέλομεν· οὗτοι δὲ, ταῦτα ἀκηκοότες
„παρὰ τῶν τούτου διαφόρων, ἢ αὐτοὶ πλάττοντες,
„λέγουσι. πρὸς δὲ τούτοις, ὦ ἄνδρες δικασταί,
„ἡμεῖς μὲν τοὺς συγγενεῖς μάρτυρας, καὶ ἐπὶ τῶν
„διαιτητῶν, καὶ ἐφ' ὑμῶν παρεχόμεθα, οἷς νῦν
„ἄξιον ἀπιστεῖν· οὗτοι δὲ, ἐπειδὴ ἔλαχεν ὁ Εὐ-
„φίλητος τὴν δίκην τὴν πρότερον τῷ κοινῷ τῶν
„δημοτῶν, καὶ τῷ τότε δημαρχοῦντι, ὃς νῦν τετε-
„λεύτηκε, δύο ἔτη τοῦ διαιτητοῦ τὴν δίαιταν ἔχον-
„τος, οὐκ ἠδυνήθησαν οὐδεμίαν μαρτυρίαν εὑρεῖν,
„ὡς οὗτοσὶ ἄλλου τινὸς πατρός ἐστιν, ἢ τοῦ ἡμε-
„τέρου. τοῖς δὲ διαιτῶσι μέγιστα σημεῖα ἦν τοῦ
„ψεύδεσθαι τούτους, κατεδίκησαν αὐτῶν ἀμφι-

Digitized by Google

„περὶ καὶ μοι λάβετε τῆς προτέρας δικαίης τὴν „μαρτυρίαν. — Μαρτυρία. — Ὡς μὲν τοίνυν καὶ „τότε ὤφλον τὴν δίκην, ἀκηκόατε. ἀξιῶ δὲ, ὦ ἄν„δρες δικασταὶ, ἅπερ οὗτοι μετὰ ταῦτα ἔφησαν „εἶναι σημεῖον, ὡς οὐκ ἔστιν. Ἡγησίππου, εἰ σὲ „διαιτηταὶ αὐτῶν ἀπεδιήτησαν, οὕτω τὸ νῦν ἡμῖν „τοιοῦτον εἶναι μαρτύριον, ὅτι ἀληθῆ λέγομεν, „ἐπεὶ ἔδοξαν αὐτοὶ ἀδικεῖν τοῦτον, Ἀθηναῖον ὄντα, „καὶ κυρίως πρῶτον ἐγγραφέντα, ὕστερον ἐξαλεί„ψαντες. ὅτι μὲν οὖν ἀδελφὸς ἡμῶν ἐστιν οὑτοσὶ „Εὐφίλητος, καὶ πολίτης ὑμέτερος; καὶ ἀδίκως „ὑβρίσθη ὑπὸ τῶν ἐν τῷ δήμῳ συστάντων, ἱκανῶς „οἶμαι ὑμᾶς, ὦ ἄνδρες δικασταὶ, ἀκηκοέναι.“

18. Οὗτος ὁ χαρακτὴρ τῶν Ἰσαίου λόγων, καὶ ταῦτα τὰ διαλλάττοντα παρὰ τὴν Λυσίου ἀγωγήν. οὐθὲν δὲ κωλύει καὶ κεφαλαιωδῶς περιλαβόντα, διὰ ἐλαχίστης δηλώσεως τὰ φανερώτατα εἰπεῖν· ὅτι μοι δοκεῖ Λυσίας μὲν τὴν ἀλήθειαν διώκειν μᾶλλον, Ἰσαῖος δὲ κὴν τέχνην· καὶ ὁ μὲν στοχάζεσθαι τοῦ χαριέντως, ὁ δὲ τοῦ δεινῶς. εἰ δέ τις παραθεωρήσει ταῦτα ὡς μικρὰ καὶ φαῦλα, οὐκ ἂν ἔτι γένοιτο ἱκανὸς αὐτῶν κρατῆσαι. ἀλλὰ γὰρ αἱ ὁμοιότητες συνταράξουσιν αὐτοῦ τὴν γνώμην, ὥστε μὴ διαγνῶναι τὸν ἴδιον ἑκατέρου χαρακτῆρα. καὶ περὶ μὲν τούτων, ὡς ἔχω δόξης, δεδήλωταί μοι.

19. Βούλομαι δὲ ἤδη καὶ περὶ τῶν ἄλλων ῥητόρων ἀποδοῦναι τὸν λόγον, ἵνα μή τις ἀγνοίᾳ με δόξῃ παραλιπεῖν αὐτοὺς, ἐπιφανεῖς ὄντας, καὶ ὀνόματος ἠξιωμένους οὐ μετρίου· ἡ φυγὴ τοῦ πόνου

Digitized by Google

τὸ φᾶστον αἱρούμενον τῶν ἔργων, τὴν περὶ αὐτῶν ἀφεικέναι σκέψιν. ἐγὼ γὰρ οὔτε ἠγνόουν, οὓς ἅπαντες ἴσασιν, οὔτε ὤκνουν ὑπὲρ αὐτῶν γράφειν, εἴ τι χρήσιμον ἔμελλεν ἐξοίσειν ἡ γραφή. ἐνθυμούμενος δὲ, ὅτι τὴν μὲν ποιητικὴν κατασκευὴν, καὶ τὸ μετέωρον δὴ τοῦτο καὶ πομπικὸν εἰρημένον, οὐδεὶς Ἰσοκράτους ἀμείνων ἐγένετο· παρέλιπον ἐκὼν, οὓς ἤδειν ἧττον ἐν ταῖς ἰδέαις ταύταις κατορθοῦντας· Γοργίαν μὲν τὸν Λεοντῖνον, ἐκπίπτοντα τοῦ μετρίου, καὶ πανταχοῦ παιδαριώδη γιγνόμενον ὁρῶν· Ἀλκιδάμαντα δὲ, τὸν ἀκροατὴν αὐτοῦ, παχύτερον ὄντα τὴν λέξιν καὶ κοινότερον· Θεόδωρον δὲ τὸν Βυζάντιον, ἀρχαῖόν τινα, καὶ οὔτε ἐν ταῖς τέχναις ἀκριβῆ, οὔτε ἐξέτασιν ἱκανὴν ἐν τοῖς ἐναγωνίοις δεδωκότα λόγοις· Ἀναξιμένην δὲ τὸν Λαμψακηνὸν, ἐν ἅπάσαις μὲν ταῖς ἰδέαις τῶν λόγων τετράγωνόν τινα εἶναι βουλόμενον· καὶ γὰρ ἱστορίας γέγραφε, καὶ περὶ τοῦ πρώτου συντάξεις καταλέλοιπε, καὶ τέχνας ἐξενήνοχεν, ἧπται δὲ καὶ συμβουλευτικῶν καὶ δικανικῶν ἀγώνων· οὐ μέντοι τελειόν γε ἐν οὐδεμιᾷ τούτων τῶν ἰδεῶν, ἀλλ' ἀσθενῆ καὶ ἀπίθανον ὄντα ἐν ἅπάσαις θεωρῶν. οὐ δὴ δεῖν ᾠόμην, Ἰσοκράτους ἐν ἅπασι πάντων τούτων ὑπερέχοντος, λόγον τινὰ ποιῆσαι περὶ ἐκείνων· οὐδέ γε περὶ τῶν συμβιωσάντων Ἰσοκράτει, καὶ τὸν χαρακτῆρα τῆς ἐμμηνείας ἐκείνου ἐκμιμησαμένων οὐθενὸς, Θεοδέκτου λέγω, καὶ Θεοπόμπου, καὶ Νεοκρίτους, Ἐφόρου τε καὶ Φιλίστου, καὶ Καρδιανθώρου, καὶ ἄλλων συχνῶν. οὐδὲ γὰρ ἐκεῖνοι

Digitized by Google

κρίνεσθαι πρὸς τὴν Ἰσοκράτους δύναμιν εἰσὶν ἐπιτήδειοι.

20. Τῶν μὲν δὴ κατὰ ταύτην τὴν ἀγωγὴν κοσμουμένων ἐκεῖνον τὸν ἄνδρα διαφορώτατον ἡγησάμενος, οὐκ ἔτι περὶ τῶν ἄλλων ἠξίωσα μακρολογεῖν, καὶ δαπανᾷν εἰς οὐδὲν ἀναγκαῖον τὸν χρόνον· τῶν δὲ τοὺς ἀκριβεῖς προαιρουμένων λόγους, καὶ πρὸς τὴν ἐναγώνιον ἀσκούντων ῥητορικὴν, ὧν ἐγένετο Ἀντιφῶν τε ὁ Ῥαμνούσιος, καὶ Θρασύμαχος ὁ Χαλκηδόνιος, καὶ Πολυκράτης ὁ Ἀθηναῖος, Κριτίας τε ὁ τῶν τριάκοντα ἄρξας, καὶ Ζωΐλος ὁ τὰς καθ' Ὁμήρου συντάξεις καταλιπὼν, καὶ ἄλλοι τοιοῦτοί τινες, οὐδένα ἡγούμενος οὔτε ἀκριβέστερον, οὔτε χαριέστερον, γεγονέναι Λυσίου· Ἀντιφῶν γε μὴν τὸ αὐστηρὸν ἔχει μόνον καὶ ἀρχαῖον, ἀγωνιστὴς δὲ λόγων οὔτε συμβουλευτικῶν, οὔτε δικανικῶν ἐστι· Πολυκράτης δὲ, κενὸς μὲν ἐν τοῖς ἀληθινοῖς, ψυχρὸς δὲ καὶ φορτικὸς ἐν τοῖς ἐπιδεικτικοῖς, ἄχαρις δὲ ἐν τοῖς χαριεντισμοῦ δεομένοις ἐστὶ· Θρασύμαχος δὲ, καθαρὸς μὲν, καὶ λεπτὸς, καὶ δεινὸς εὑρεῖν τε καὶ εἰπεῖν στρογγύλως καὶ περιττῶς, ὃ βούλεται· πᾶς δ' ἐστὶν ἐν τοῖς τεχνογραφικοῖς καὶ ἐπιδεικτικοῖς· δικανικοὺς δὲ, ἢ συμβουλευτικοὺς, οὐκ ἀπολέλοιπε λόγους. τὰ δὲ αὐτὰ καὶ περὶ Κριτίου, καὶ περὶ Ζωΐλου τις ἂν εἰπεῖν ἔχοι, πλὴν ὅσον τοῖς χαρακτῆρσι τῆς ἑρμηνείας διαλλάττουσιν ἀλλήλων· τούτων δὴ φημι τῶν ἀνδρῶν, καὶ τῶν παραπλησίων τούτοις, διαφέρειν οἰόμενος Λυσίαν, καὶ ὥσπερ ἀρχέτυπον ὑπογρά-

Digitized by Google

φων ὑπερέχειν ἐκεῖνον τὸν ἄνδρα, ταύτης τῆς προαιρέσεως τῶν λόγων ἐποιησάμην κανόνα. τὸν δὲ δὴ τρίτον, Ἰσαῖον, εἴ τις ἔροιτό με, τίνος ἕνεκα προσεθέμην, Λυσίου δὴ ζηλωτὴν ὄντα, ταύτην ἂν αὐτῷ φαίην τὴν αἰτίαν, ὅτι μοι δοκεῖ τῆς Δημοσθένους δεινότητος, ἣν οὐθεὶς ἐστιν ὃς οὐ τελειοτάτην ἁπασῶν οἴεται γενέσθαι, τὰ σπέρματα καὶ τὰς ἀρχὰς οὗτος ὁ ἀνὴρ παρασχεῖν. διὰ μὲν δὴ ταύτας τὰς αἰτίας τούσδε τοὺς ἄνδρας μόνους παρέλαβον. εἰ δὲ περὶ πάντων ἠξίουν γράφειν, εἰς κενότητας ἄν μοι ὁ λόγος ἐξέπιπτε, καὶ πρὸς τῷ μηθὲν, ἢ οὐ πολὺ τὸ χρήσιμον ἔχειν, εἰς ἀπέραντόν τινα καὶ οὐ σύμμετρον ἐξεμηκύνθη γραφήν. καὶ περὶ τούτων μὲν ἅλις. ἑτέραν δὲ ἀρχὴν ποιήσομαι τοῦ λόγου, περί τε Δημοσθένους καὶ Ὑπερείδου καὶ τρίτου λέγων Αἰσχίνου. ἡ γὰρ δὴ τελειοτάτη ῥητορικὴ, καὶ τὸ κράτος τῶν ἐναγωνίων λόγων, ἐν τούτοις τοῖς ἀνδράσιν ἔοικεν εἶναι.

ΔΕΙΝΑΡΧΟΣ.

Περὶ Δεινάρχου τοῦ ῥήτορος οὐδὲν εἰρηκὼς ἐν τοῖς περὶ τῶν ἀρχαίων γραφεῖσιν, διὰ τὸ μήτε εὑρετὴν ἰδίου γεγονέναι χαρακτῆρος τὸν ἄνδρα, ὥσπερ τὸν Λυσίαν, καὶ τὸν Ἰσοκράτην, καὶ τὸν Ἰσαῖον· μήτε τῶν εὑρημένων ἑτέροις τελειωτὴν, ὥσπερ τὸν Δημοσθένην, καὶ τὸν Αἰσχίνην, καὶ Ὑπερείδην ἡμεῖς κρίνομεν· ὁρῶν δὲ καὶ τοῦτον τὸν ἄνδρα παρὰ πολλοῖς ἠξιωμένον ὀνόματος ἐπὶ δεινότητι λόγων,

καὶ ἀπολελοιπότα δημοσίους τε καὶ ἰδίους λόγους, οὔτε ὀλίγους, οὔτε εὐκαταφρονήτους, ἡγησάμην δεῖν μὴ παραλιπεῖν αὐτὸν, ἀλλὰ καὶ περὶ τοῦ βίου καὶ τοῦ χαρακτῆρος αὐτοῦ διελθεῖν, καὶ διορίσαι τούς τε γνησίους καὶ ψευδεῖς λόγους, πάντων, ἢ τῶν γε πλείστων, ἀναγκαιότερον οἶμαι, τοῖς μὴ ἐκ περιζώματος ἀσκοῦσι ῥητορικήν· ἅμα δὲ ὁρῶν οὐδὲν ἀκριβὲς οὔτε Καλλίμαχον, οὔτε τοὺς ἐκ Περγάμου γραμματικοὺς περὶ αὐτοῦ γράψαντας, ἀλλὰ παρὰ τὸ μηδὲν ἐξετάσαι περὶ αὐτοῦ τῶν ἀκριβεστέρων ἡμαρτηκότας, ὡς μὴ μόνον ἐψεῦσθαι πολλὰ, ἀλλὰ καὶ λόγους τοὺς οὐδὲν μὲν αὐτῷ προσήκοντας, ὡς Δεινάρχου, τούτῳ προστίθεσθαι· τοὺς δ' ὑπ' αὐτοῦ γραφέντας ἑτέρων εἶναι λέγειν. ἀλλὰ Δῆμος ὁ Μάγνης, ὃς ἔδοξε γενέσθαι πολεμίστωρ, ἐν τῇ περὶ τῶν ὁμωνύμων πραγματείᾳ, λέγων καὶ περὶ τούτου τοῦ ἀνδρὸς, καὶ ὑπόληψιν παρασχὼν, ὡς περὶ αὐτοῦ λέξων τι ἀκριβὲς, διεψεύσθη τῆς δόξης. οὐθὲν δὲ κωλύει καὶ τὰς λέξεις παραθέσθαι τοῦ ἀνδρός. ἔστι δὲ τὰ ὑπ' αὐτοῦ γραφέντα τάδε· „Δεινάρχοις δ' „ἐνετύχομεν τέτταρσιν· ὧν ἐστιν ὁ μὲν ἐκ τῶν ῥη„τόρων τῶν Ἀττικῶν· ὁ δὲ τὰς περὶ Κρήτην συν„αγήοχε μυθολογίας. ὁ δὲ πρεσβύτερος μὲν ἀμφοῖν „τούτοιν, Δήλιος δὲ τὸ γένος, πεπραγματευμένος „τοῦτο μὲν ἔπος, τοῦτο δὲ πρᾶγμα. τέταρτος δὲ ὁ „περὶ Ὁμήρου λόγον συντεθεικώς. ἐθέλω δὲ πρὸς „μέρος περὶ ἑκάστου διελθεῖν, καὶ πρῶτον περὶ τοῦ „ῥήτορος. ἔστι τοίνυν οὗτος, κατά γε τὴν ἐμὴν „δόξαν, οὐδὲν ἀπολείπων τῆς Ὑπερείδου χάριτος,

Digitized by Google

„ὥστ' εἰπεῖν, καὶ νῦ κεν ἢ παρέλασσεν. ἐνθύμημα „γὰρ φέρει πιστικὸν, καὶ σχῆμα παντοδαπὸν· πι„θανότητός γε μὴν οὕτως εὖ ἦκε, ὥστε παρισταῤ„νειν τοῖς ἀκούουσι, μὴ ἄλλως γεγονέναι τὸ πρᾶγμα, „ἢ ὡς αὐτὸς λέγει. καὶ νομίσειεν ἅπαντες, εὐήθους εἶ„ναι τοὺς ὑπολαβόντας, τὸν λόγον τὸν κατὰ Δη„μοσθένους εἶναι τοῦτον. πολὺ γὰρ ἀπέχει τοῦ χα„ρακτῆρος· ἀλλ' ὅμως τοσοῦτον σπόρος ἐπιπεπόλαι„κεν, ὥστε τοὺς μὲν ἄλλους αὐτοῦ λόγους, σχεδόν „που ὑπὲρ ἑξήκοντα καὶ ἑκατὸν ὄντας, ἀγνοεῖν συμ„βέβηκε· τὸν δὲ μὴ γραφέντα ὑπ' αὐτοῦ μόνον „ἐκεῖνον νομίζεσθαι. ἡ δὲ λέξις ἐστὶ τοῦ Δεινάρχου „κυρίως ἠθικὴ, πάθος κινοῦσα σχεδὸν τῇ πικρίᾳ „μόνον, καὶ τῷ τόνῳ τοῦ Δημοσθενικοῦ χαρακτῆ„ρος λειπομένη, τοῦ δὲ πιθανοῦ καὶ κυρίου μηδὲν „ἐνδέουσα."

2. Ἐκ τούτων οὐδέν ἐστιν οὔτε ἀκριβὲς, ἀλλ' οὔτε ἀληθὲς εὑρεῖν· οὔτε γὰρ γένος τἀνδρὸς, οὔτε χρόνους, καθ' οὓς ἦν, οὔτε τόπον, ἐν ᾧ διέτριψε, δεδήλωκεν. ὀνόματα δὲ μόνον καινὰ καὶ περιτρέχοντα ἐσπούδασε· καὶ πλῆθος λόγων εἶπεν οὐδενὶ τῶν . . . σύμφωνον· εἰ δεῖ δὲ τοὐναντίον. ἃ οὖν ἐγὼ αὐτὸς δι' ἐμαυτοῦ κατελαβόμην, ταῦτ' ἐστίν. Δεί„ναρχος, ὁ ῥήτωρ, υἱὸς μὲν ἦν Σωστρίπου, Κορίνθιος δὲ τὸ γένος· ἀφικόμενος δὲ εἰς Ἀθήνας, καθ' ὃν χρόνον ἤνθουν αἵ τε τῶν φιλοσόφων καὶ ῥητόρων διατριβαὶ, Θεοφράστῳ τε συνεγένετο, καὶ Δημητρίῳ τῷ Φαληρεῖ. εὐφυὴς δὲ περὶ τοὺς πολιτικοὺς λόγους γενόμενος, ἀκμαζόντων ἔτι τῶν περὶ Δημοσθένην,

Digitized by Google

ἤρξατο λόγους γράφειν, καὶ προῆλθε κατὰ μικρὸν εἰς δόξαν· μάλιστα δὲ ἤκμασε μετὰ τὴν Ἀλεξάνδρου τελευτήν, Δημοσθένους μὲν καὶ τῶν ἄλλων ῥητόρων φυγαῖς ἀϊδίοις καὶ θανάτοις περιπεσόντων, οὐδενὸς δ' ὑπολειπομένου μετὰ τοὺς ἄνδρας ἀξίου λόγου· καὶ διετέλεσεν ἐτῶν πέντε καὶ δέκα χρόνον λόγους συγγράφων τοῖς βουλομένοις, ἕως Κάσσανδρος τὴν πόλιν κατέσχεν· ἐπὶ δὲ Ἀναξικράτους ἄρχοντος, ἐφ' οὗ κατέλυσαν τὴν ἐν τῇ Μουνυχίᾳ φρουράν, ὑπὸ Κασσάνδρου καταστηθεῖσαν, οἱ περὶ Ἀντίγονον καὶ Δημήτριον βασιλεῖς, αἰτίαν ἔχων, ἅμα τοῖς ἐπιφανεστάτοις Ἀθηναίοις, καίτοι ξένος αὐτὸς ὤν, καταλῦσαι τὸν δῆμον, ὁρῶν ἠρεθισμένους τοὺς Ἀθηναίους, καὶ μάλιστα τῷ πλουτεῖν ἑαυτόν, ὑφορώμενος, μὴ διὰ τοῦτο πάθῃ τι δεινόν, εἰσελθεῖν μὲν εἰς δικαστήριον οὐχ ὑπέμεινεν, ἐξελθὼν δὲ τῆς πόλεως, καὶ ἐλθὼν εἰς Χαλκίδα τὴν ἐν Εὐβοίᾳ, τὸν ἀπ' Ἀναξικράτους χρόνον ἕως Φιλίππου, πεντεκαιδεκαετῆ γενόμενον, ἐκεῖ διέτριψεν, ἐΐ τις αὐτῷ γένοιτο διὰ Θεοφράστου καὶ τῶν ἄλλων φίλων κάθοδος, περιμένων.

3. Συγχωρήσαντος δὲ τοῦ βασιλέως μετ' ἄλλων φυγάδων κἀκείνῳ κατελθεῖν, ἀφικόμενος εἰς Ἀθήνας, καὶ παρ' ἑνὶ τῶν φίλων, Προξένῳ, καταχθείς, χρυσίον ἀπολλύει, γηραιὸς ὢν ἤδη, καὶ τὰς ὄψεις ἀσθενής. ὀλιγώρως δ' ἔχοντος τοῦ Προξένου πρὸς τὴν ζήτησιν, δίκην ἔλαχεν αὐτῷ περὶ τῶν χρημάτων, αὐτὸς οὐδεπώποτε πρότερον εἰς δικαστήριον παρελθών. οὗτος μὲν ὁ βίος τἀνδρός. ἀποδείκνυται δ'

Digitized by Google

ἕκαστον αὐτῶν ἔκ τε τῶν Ἱστοριῶν τῶν Φιλοχόρου, καὶ ἐξ ὧν αὐτὸς περὶ ἑαυτοῦ συνέγραψεν ἐν τῷ λόγῳ τῷ κατὰ Προξένου, οὓς εἴρηται μὲν μετὰ τὴν φυγήν, προσκειμένην δ' ἔχει τὴν γραφὴν ταύτην· „Δεί„ναρχος Σωστράτου Κορίνθιος, Προξένῳ „ᾧ σύνει„μι, βλάβης ταλάντων δύο. Ἔβλαψέ με Πρόξενος, „ὑποδεξάμενος εἰς τὴν οἰκίαν τὴν ἑαυτοῦ, τὴν ἐν „ἀγρῷ, ὅτε πεφευγὼς Ἀθήνηθεν κατῄειν ἐκ Χαλκι„δος, χρυσίου μὲν στατῆρας ὀγδοήκοντα καὶ δια„κοσίους καὶ πέντε, οὓς ἐκόμισα ἐκ Χαλκίδος, εἰδό„τος Προξένου, καὶ εἰσῆλθον ἔχων εἰς τὴν οἰκίαν „αὐτοῦ, ἀργυρώματα δὲ οὐκ ἐλάττω εἴκοσι μνῶν „ἄξια, ἐμβουλεύσας τούτοις." οὐ μὴν ἀλλὰ καὶ ἐν αὐτῷ τῷ λόγῳ εὐθὺς μὲν ἐν ἀρχῇ περὶ τοῦ μηδεμίαν δίκην πρότερον εἰσελθεῖν δεδήλωκεν· ἐν δὲ τοῖς ὕστερον μετὰ ταῦτα πρῶτον μὲν ἐν τῷ προοιμίῳ τὴν βλάβην, τὴν γενομένην αὐτῷ διὰ Προξένου, δεδήλωκεν· ἐν δὲ τοῖς ἑξῆς περί τε τῆς φυγῆς καὶ τῶν ἄλλων διεξέρχεται πάντων· ἐξ ὧν γίγνεται φανερὰ τὰ προειρημένα, καὶ ἔτι πρὸς τούτοις, ὅτι ξένος διέμεινε, καὶ γέρων ἤδη ὢν εἶπε τὸν λόγον, ἐξ ὧν ἐπὶ τῷ τέλει τῆς δίκης εἴρηκε. ταῦτά μὲν αὐτὸς ὁ Δείναρχος περὶ ἑαυτοῦ. Φιλόχορος δὲ ἐν ταῖς Ἀττικαῖς Ἱστορίαις, περί τε τῆς φυγῆς τῶν καταλυσάντων τὸν δῆμον, καὶ περὶ τῆς καθόδου πάλιν, οὕτως λέγει· „Τοῦ γὰρ Ἀναξικράτους ἄρχοντος, εὐθὺ μὲν „ἡ τῶν Μεγαρέων πόλις ἁάλω· ὁ δὲ Δημήτριος, ὃ „κατελθὼν ἐκ τῶν Μεγάρων, κατεσκεύαζετο τὸ πρὸς „τὴν Μουνυχίαν· καὶ τὰ τείχη κατασκάψας, ἀπέ-

Digitized by Google

„δοκεῖ τῷ δήμῳ. ὕστερον δὲ εἰσηγγέλθησαν πολλοὶ „πολιτῶν, ἐν οἷς καὶ Δημήτριος ὁ Φαληρεύς. τῶν δὲ „εἰσαγγελθέντων τοὺς μὲν οὐχ ὑπομείναντας τὴν „κρίσιν ἐθανάτωσαν τῇ ψήφῳ, τοὺς δ' ὑπακού„σαντας ἀπέλυσαν." Ταῦτα μὲν οὖν τῆς ὁδοῦ. ἐν δὲ τῇ ἑπτάτῃ φησί· „Τοῦ δ' ἑαυτοῦ τουδὶ διελθόν„τος, ἑτέρου δ' εἰσιόντος, ἐν ἀκροπόλει σημεῖον ἐγέ„νετο τοιοῦτο. κύων εἰς τὸν τῆς Πολιάδος νεὼν „εἰσελθοῦσα, καὶ δῦσα εἰς τὸ Πανδρόσιον, ἐπὶ τὸν „βωμὸν ἀναβᾶσα τοῦ Ἑρκείου Διός, τὸν ὑπὸ τῇ „ἐλαίᾳ, κατέκειτο. πάτριον δ' ἔστι τοῖς Ἀθηναίοις, „κύνα μὴ ἀναβαίνειν εἰς ἀκρόπολιν. περὶ τὸν αὐτὸν „δὲ χρόνον καὶ ἐν τῷ ἱερῷ μεθ' ἡμέραν, ἡλίου τ' „ἐξέχοντος, καὶ οὔσης αἰθρίας, ἀστὴρ ἐπί τινα χρό„νον ἐγένετο ἐκφανής. ἡμεῖς δ' ἐρωτηθέντες ὑπέρ τε „τοῦ σημείου, καὶ τοῦ φαντάσματος, εἰς ὃ φέρει, „φυγάδων κάθοδον ἔφαμεν προσημαίνειν ἀμφότερα· „καὶ ταύτην οὐκ ἐκ μεταβολῆς πραγμάτων ἐσομέ„νην, ἀλλ' ἐν τῇ καθεστώσῃ πολιτείᾳ· καὶ τὴν κρί„σιν ἐπικλεισθῆναι συνέβη."

4. Προειρημένων δὴ τούτων, ἓν ἔτι λείπεται καὶ ἀναγκαιότατον, τὴν ἡλικίαν αὐτοῦ διορίσαι· ἵνα καὶ περὶ τῶν λόγων τῶν τε γνησίων αὐτοῦ, καὶ μή, σαφές τι ἔχωμεν λέγειν· τίθεμεν δή, αὐτὸν, ἑβδομηκοστὸν ἔχοντα ἔτος, ἀπὸ τῆς φυγῆς κατεληλυθέναι· ὡς καὶ αὐτός φησι, γέροντα αὖτὸν ἀπαναλῶν· ἀφ' οὗ χρόνου καὶ καλεῖν τοὺς ἐν τῇ ἡλικίᾳ ταύτῃ μάλιστα εἰώθαμεν. ὑποκειμένων δὲ τούτων ὁλοσχερεῖ λογισμῷ· τὸ γὰρ ἀκριβὲς οὐκ ἔχομεν· εἴη ἂν

Digitized by Google

κατὰ Νικόφημον ἄρχοντα γεγονώς. εἰ δέ τις ἢ πρεσβύτερον, ἢ νεώτερον, τῶν εἰρημένων χρόνων αὐτὸν εἶναί φησι, πρὸς τῷ μηδὲν ὑγιὲς λέγειν καὶ λόγους αὖ πολλοὺς ἀφέληται· μᾶλλον δὲ πάντας, πλὴν πέντε, ἢ ἕξ· τῶν μὲν πρεσβύτερον αὐτόν, τῶν δὲ νεώτερον εἶναι λέγων. οὐ μὴν ἀλλὰ καὶ ἄρξασθαι λέγοντες αὐτὸν λόγους συγγράφειν ἀπὸ τοῦ πέμπτου, ἢ ἕκτου, πρὸς τῷ εἰκοστῷ ἔτους, οὐκ ἂν ἁμαρτοιμεν· ἄλλως τε καὶ τῶν περὶ Δημοσθένη τότε ἀκμαζόντων. ἕκτος δὲ καὶ εἰκοστός ἐστιν ἀπὸ Νικοφήμου Πυθόδημος. ὥσθ', ὅσους εὑρίσκομεν πρεσβυτέρους τούτου τοῦ ἄρχοντος φερομένους εἰς αὐτὸν λόγους ἐν τοῖς οὖσιν, ὡς εἴθισται, ἀπιστοίημεν ἂν εἰκότως· ἔτι δὲ καὶ τοὺς ἀπ' Ἀναξικράτους ἕως Φιλίππου τετελεσμένους ἀγῶνας ὁμοίως ἐν τοῖς ψευδέσιν ἀναγράφοιμεν ἄν· οὐ γὰρ εἰς Χαλκίδα ἄν τινες ἔπλευν λόγων χάριν, ἢ ἰδίων, ἢ δημοσίων· οὐ γὰρ τέλεον ἠπόρουν οὕτω λόγων.

5. Ἐπεὶ δὲ ὁ χρόνος τἀνδρὸς, ὡς οἷόν τε ἀκριβέστατα, εὕρηται, πρὸς ὃν καὶ τῶν λόγων τοὺς τε γνησίους, καὶ μή, διακρινοῦμεν· καιρὸς ἤδη καὶ περὶ τοῦ χαρακτῆρος αὐτοῦ λέγειν. ἔστι δὲ δυσόριστον. οὐδὲν γὰρ οὔτε κοινὸν, οὔτ' ἴδιον ἔσχεν, οὔτ' ἐν τοῖς ἰδίοις, οὔτ' ἐν τοῖς δημοσίοις ἀγῶσιν· ἀλλὰ καὶ τοῖς Λυσίου παραπλήσιός ἐστιν ὅπου γίνεται, καὶ τοῖς Ὑπερείδου, καὶ τοῖς Δημοσθένους λόγοις· καὶ τούτων πολλὰ δή τις ἔχει παραδείγματα ἐκθέσθαι. τοῦ μὲν Λυσιακοῦ χαρακτῆρος ἔν τε τῷ περὶ Μνησικλέους λόγῳ, καὶ ἐν τῷ κατὰ Λυσικράτους ὑπὲρ Νικομάχου, καὶ ἐν ἄλλοις πολλοῖς· τοῦ δ'

Digitized by Google

Ὑπερείδου, ταῖς τε οἰκονομίαις ἀκριβεστέρου, καὶ ταῖς κατασκευαῖς γενναιοτέρου πως ὄντος τῶν Λυσιακῶν, ἐν πλείοσι μὲν, ἢ τριάκοντα, Δεινάρχου λόγοις παραδείγματα εὑρεῖν ἐστιν, οὐχ ἥκιστα δὲ καὶ ἐν τῷ περὶ τῆς Ἀγάθωνος διαμαρτυρίας. οὐ μὴν ἀλλὰ καὶ τοῦ Δημοσθενικοῦ χαρακτῆρος, ὃν μάλιστα ἐμιμήσατο, πολὺ πλείω δύναιτ' ἄν τις εἰπεῖν, ὡς καὶ ἐν τῷ κατὰ Πολυεύκτου. προοιμιάζεται γὰρ ὁμοίως ἐκείνῳ, καὶ δι' ὅλου τοῦ λόγου παραπλήσιος μεμένηκε.

6. Πῶς οὖν ἄν τις δυνηθείη τοὺς γνησίους αὐτῷ γνωρίζειν λόγους; πρῶτον μὲν, εἰ ἐπίσταιτο τοὺς τῶν ἄλλων χαρακτῆρας· ἔπειτα, τοὺς μὲν Λυσίου παραπλησίους λόγους τούτῳ προσφέροι· τοὺς δ' Ὑπερείδου δόξαντας εἶναί τισι Δεινάρχου λόγους, μακρὰ ταῖς ἐπιγραφαῖς τῶν βιβλίων χαίρειν εἰπών· τοὺς δὲ τῷ Δημοσθενικῷ χαρακτῆρι προσεληλυθότας ὡς οἷόν τε τούτου τοῦ ἀνδρὸς διαβεβαιοῖτο εἶναι. ἔστι μὲν γὰρ τῶν ἄλλων ῥητόρων, οὓς μεμίμηται, μεγίστη γνῶσις ἡ ὁμοειδία τῶν λόγων. αὐτίκα ὁ μὲν Λυσίας, ἔν τε τοῖς ἰδίοις καὶ τοῖς δημοσίοις ἀγῶσιν, αὐτὸς αὑτῷ ὁμολογούμενός ἐστιν· εἴς τε τὸν λεκτικὸν τρόπον, καὶ τὴν τῶν ὀνομάτων σαφήνειαν, καὶ σύνθεσιν, αὐτοφυῆ μὲν, καὶ λείαν εἶναι δοκοῦσαν, παντὸς δὲ λόγου κατὰ τὴν ἡδονὴν διαφέρουσαν. ὁ δ' Ὑπερείδης κατὰ μὲν τὴν ἐκλογὴν τῶν ὀνομάτων ἥττᾶται Λυσίου, κατὰ δὲ τὸν πραγματικὸν τρόπον διαφέρει. διηγεῖται δὲ πολλαχῶς· ποτὲ μὲν κατὰ φύσιν· ποτὲ δὲ ἀπὸ τοῦ τέλους ἐπὶ τὴν ἀρχὴν πορευόμενος, πιστοῦται δ' οὐ κατ' ἐνθύμη-

Digitized by Google

μα μόνον, ἀλλὰ καὶ κατ' ἐπιχείρημα πλατύνων. ὁ δὲ τοῦτους τε καὶ τοὺς ἄλλους πάντας ὑπερβαλλόμενος Αημοσθένης, ἅπαντα μιμησάμενος, καὶ πάντων τὰ κάλλιστα ἐκλεξάμενος, δῆλος μὲν καὶ τῇ φωνῇ μόναν, δῆλος δὲ καὶ τῷ καθ' ἕνα ἕκαστον λόγον πρέποντι, οὐ μὴν ἀλλὰ καὶ τῇ συνθέσει, καὶ τῷ τῶν σχηματισμῶν ἀγκύλῳ, καὶ τῇ οἰκονομίᾳ, καὶ τῷ πάθει, καὶ τὸ μέγιστον τῇ δεινότητι. ὁ δὲ Δεινάρχος οὔτε ὅμοιος ἐν ἅπασίν ἐστιν, οὔτ' ἰδίου τινὸς εὑρετής, δι' οὗ γνώσεταί τις αὐτὸν ἀκριβῶς, ἢ τοῦτον, τὸν τρόπον. πολὺ γὰρ ἐμφαίνει μιμήσεις τε καὶ αὐτὸς, ὥσπερ τῶν λόγων ἀρχέτυπον διαφόρων· ὡς καὶ ἐπὶ τῶν Ἰσοκράτους μαθητῶν, καὶ αὐτοῦ τοῦ Ἰσοκράτους.

7. Ἔστωσαν δή τινες ἐπιγραφόμενοι λόγοι, καὶ ὄντες Δεινάρχου, πολλὴν ἔχοντες πρὸς τὰ Λυσιακὰ ὁμοιότητα. τούτων δ' βουλόμενος ποιεῖσθαι τὴν διάγνωσιν, πρῶτον μὲν τὴν ἰδιότητα τοῦ ἀνδρὸς ἐκείνου θεωρείτω· ἔπειτ', ἐὰν μὲν ἀρετήν τε καὶ χάριν τοῖς λόγοις ἐπανθοῦσαν ἴδοι, καὶ τὴν τῶν ὀνομάτων ἐκλογὴν ἐνοῦσαν, καὶ τὸ μηδὲν ἄψυχον εἶναι τῶν λεγομένων, θαῤῥῶν λεγέτω τούτους Λυσίου. ἐὰν δὲ μήτε τὸ χάριεν ὅμοιον εὑρίσκῃ, μήτε τὸ πιθανὸν, καὶ τὸ τῶν ὀνομάτων ἀκριβὲς, μήτε τὸ τῆς ἀληθείας ἅπτόμενον, ἐν τοῖς Δεινάρχου λόγοις αὐτοὺς ἐάτω. ὁμοίως καὶ ἐπὶ τῶν Ὑπερείδου· ἐὰν τῆς μὲν λέξεως τὸ ἰσχυρὸν, τῆς δὲ συνθέσεως τὸ ἁπλοῦν, τῶν δὲ πραγμάτων τὸ εὔκαιρον, τῆς δὲ κατασκευῆς τὸ μὴ τραγικὸν, μηδὲ ὀγκώδες, ἔχῃ· ταῦτα γὰρ μέγιστα ἐκείνου τοῦ ἀνδρὸς ἴδιά ἐστιν· Ὑπερείδου δὲ-

Digitized by Google

γέτω. ἐὰν δὲ ἐνδεεστέρως ἐν αὐτοῖς τοῦτοις ἔχῃ, κἂν τἆλλα πάντα μὴ φαύλως ᾖ γεγραμμένα, ἐν τοῖς Δεινάρχου πάλιν ἀναγραφέτω. τὸ δ' αὐτὸ καὶ περὶ Δημοσθένους ὑπολαμβάνωμεν. ἐὰν μὲν καὶ ἡ τῆς λέξεως μεγαλοπρέπεια, καὶ ἡ τῆς συνθέσεως ἐξαλλαγὴ, καὶ τὸ τῶν παθῶν ἔμψυχον, καὶ τὸ διὰ πάσης κραίας διῆκον πικρὸν καὶ νοερὰν, τό τε πνεῦμα, καὶ ἡ δεινότης πᾶσι παρέπηται, μηθὲν ἔτι τὸ κωλύον ἔστω, Δημοσθένους αὐτοὺς ἀναγράψειν. εἰὶν δ' ἐλλίπῃ τὸ ἐν ἑκάστῳ τούτων ἄκρον, ἢ τὸ διὰ πάσης ἰδέας ὅμοιον, μετέτωσαν ἐν τοῖς Δεινάρχου. ὡς δὲ καθόλου εἰπεῖν, δύο τρόπους τῆς διαφορᾶς, καὶ πρὸς τὰ ἀρχαῖα μιμήσεως, εὕροι τις ἄν· ὧν ὁ μὲν φθσικός τε ἐστὶ, καὶ ἐκ πολλῆς κατηχήσεως καὶ συστροφίας λαμβανόμενος· ὁ δὲ τούτῳ προσεχὴς, ἐκ τῶν τῆς τέχνης παραγγελμάτων. περὶ μὲν οὖν τοῦ προτέρου τί ἄν τις καὶ λέγοι; περὶ δὲ τοῦ δευτέρου, τί ἂν ἔχοι τις εἰπεῖν; ὅτι πᾶσι μὲν τοῖς ἀρχετύποις αὐτοφυής τις ἐπιπρέπει χάρις καὶ ὥρα· τοῖς δ' ἀπὸ τούτων κατεσκευασμένοις, κἂν ἐπ' ἄκρον μιμήσεως ἔλθωσι, πρόσεστιν ὅμως τὸ ἐπιτετηδευμένον, καὶ οὐκ ἐκ φύσεως ὑπάρχον. καὶ τούτῳ τῷ παραγγέλματι οὐ ῥήτορες μόνον ῥητορας διακρίνουσιν, ἀλλὰ καὶ ζωγράφοι τὰ Ἀπελλοῦ, καὶ τῶν ἐκεῖνον μιμησαμένων· καὶ πλάσται τὰ Πολυκλείτου· καὶ γλυφεῖς τὰ Φειδίου.

8. Καὶ οἳ μὲν Πλάτωνα μιμεῖσθαι λέγοντες, καὶ τὸ μὲν ἀρχαῖον, καὶ ὑψηλὸν, καὶ εὔχαρι, καὶ καλὸν, οὐ δυνάμενοι λαβεῖν, διθυραμβώδη δὲ ὀνόματα καὶ φορτικὰ εἰσφέροντες, κατὰ τοῦτ' ἐλέγχον-

Digitized by Google

ται ῥᾳδίως· οἱ δὲ Θουκυδίδην ζηλοῦν λέγοντες, καὶ τὸ μὲν εὔτονον, καὶ στερεὸν, καὶ δεινὸν, καὶ τὰ τούτοις ὅμοια, χαλεπῶς ἐφαμβάνοντες, τοὺς δὲ σολοικοφανεῖς σχηματισμοὺς, καὶ τὸ ἀσαφὲς προχειριζόμενοι, πάνυ εὐχερῶς ἀνευρίσκοιντο ἐκ τούτου τοῦ παραγγέλματος. ὥσπερ γε καὶ ἐπὶ τῶν ῥητόρων, οἱ μὲν Ὑπερείδην μιμούμενοι, διαμαρτόντες τῆς χάριτος ἐκείνης, καὶ τῆς ἄλλης δυνάμεως, αὐχμηροί τινος ἐγένοντο, οἷοι γεγόνασι Ῥοδιακοὶ ῥήτορες, οἱ περὶ Ἀρταμένην, καὶ Ἀριστοκλέα, καὶ Φιλάγριον, καὶ Μόλωνα. οἱ δ' Ἰσοκράτην καὶ τὰ Ἰσοκράτους ἀποτυπώσασθαι θελήσαντες, ὕπτιοι, καὶ ψυχροὶ, καὶ ἀσύστροφοι, καὶ ἀναληθεῖς· οὗτοι δ' εἰσὶν οἱ περὶ Τίμαιον, καὶ Ψάωνα, καὶ Σωσιγένην. οἱ δὲ Δημοσθένη προχειρισάμενοι, καὶ τὰς ἀρετὰς τὰς ἐκείνου διώκοντες, τῆς μὲν προαιρέσεως ἕνεκα ἐπῃνέθησαν, οὐ μὴν ἴσχυσαν τὰ κράτιστα τῶν ἐκείνου τοῦ ῥήτορος ἔργων λαβεῖν. τούτων ἄριστον ἂν τις θείη τὸν Δείναρχον γενέσθαι· λείπεται δὲ Δημοσθένους, κατὰ μὲν τὴν ἐκλογὴν τῶν ὀνομάτων, τῇ δεινότητι· κατὰ δὲ τὴν σύνθεσιν, τῇ ποικιλίᾳ τῶν σχημάτων, καὶ τῇ ἐξαλλαγῇ· κατὰ δὲ τὴν εὕρεσιν τῶν ἐπιχειρημάτων, τῷ μὴ καινὰ καὶ παράδοξα λαμβάνειν, ἀλλὰ φανερὰ, καὶ ἐν τῷ μέσῳ κείμενα· κατὰ δὲ τὴν οἰκονομίαν, τῇ τάξει, καὶ ταῖς ἐξεργασίαις τῶν ἐπιχειρημάτων, καὶ ταῖς προκατασκευαῖς, καὶ ταῖς ἐφόδοις, καὶ τοῖς ἄλλοις τεχνικοῖς παραγγέλμασιν, ἃ περὶ ταύτην ἐστὶ τὴν ἰδέαν· μάλιστα δ' αὐτοῦ λείπεται τῇ συμμετρίᾳ, καὶ τῷ καιρῷ πρέποντι. λέγω δὲ ταῦτα, οὐκ ἐν τῷ καθόλου τρόπῳ, ὡς μηδὲν τρύ-

Digitized by Google

των κατορθοῦντος, ἀλλ' ἐν τῷ κοινοτέρῳ, καὶ ὡς ἐπὶ τὸ πολύ. δι' αὐτὸ γὰρ τοῦτο καὶ ἄγροικόν τινες Δημοσθένην ἔφασαν εἶναι, κατὰ τὸ ἐλλειπὲς τῆς οἰκονομίας ταύτην περὶ αὐτοῦ τὴν δόξαν λαβόντες· τὸ γὰρ ἄγροικον τοῦ πολιτικοῦ σώματος οὐ μορφῇ, κατασκευῇ δὲ καὶ διαθέσει τινὶ τῆς μορφῆς, διήνεγκεν.

9. Ἃ μὲν οὖν ἐνεδέχετο περὶ τοῦ χαρακτῆρος τοῦ ἀνδρὸς εὑρεῖν τε καὶ γράψαι, ταῦτ' ἐστίν· ἐπὶ δὲ τὴν τῶν λόγων διάγνωσιν τρέψομαι. τοῖς μὲν οὖν γνησίοις αὐτὸ τὸ τῆς ἀναγραφῆς προσέσται μόνον, τοῖς δὲ ψευδέσι τὰ τοῦ τ' ἐλέγχου καὶ τῆς αἰτίας διηκριβωμένα, δι' ἣν ἕκαστον ἀθετοῦμεν αὐτῶν. ἐπεὶ δ' ἀναγκαῖα πρὸς ταῦτα ἡ τῶν χρόνων διάγνωσις, τοὺς Ἀθήνησιν ἄρξαντας, ἀφ' οὗ Ἀείναρχον ὑπεθέμεθα γεγονέναι χρόνου, μέχρι τῆς δοθείσης αὐτῷ, μετὰ τὴν φυγήν, καθόδου, γενομένους ἑβδομήκοντα, προθήσομεν. εἰσὶ δὲ οἵδε· Νικόφημος, Καλλιμήδης, Εὐχάριστος, Κηφισόδοτος, Ἀγαθοκλῆς, Ἐλπίνης, Καλλίστρατος, Διότιμος, Εὔδημος, Ἀριστόδημος, Θεσσαλός, Ἀπολλόδωρος, Καλλίμαχος, Θεόμνητος, Θεμιστοκλῆς, Ἀρχίδας, Εὔδωρος, Αὐκίσκος, Πυθόδοτος, Σωσιγένης, Νικόμαχος, Θεόφραστος, Λυσιμαχίδης, Χαιρωνίδας, Φρύνιχος, Πυθόδημος· ἐπὶ τούτου πρῶτον αὐτὸν εἰς δικαστήριον τοὺς συγγραφεῖς ὑπεθέμεθα. μετὰ δὲ τοῦτον Εὐαίνετος, Κτησικλῆς, Νικοκράτης, Νικήτης, Ἀριστοφάνης, Ἀριστοφῶν, Κησιφῶν, Εὐθύκριτος, Ἡγήμων, Κρέμης, Ἀντικλῆς, Κηφισόδωρος, Φιλοκλῆς· ἐπὶ τούτου τὴν φρουρὰν ἐδέξαντο Ἀθηναῖοι, καὶ ὁ δῆμος κατελύθη· Ἄρχιππος, Νέαιχμος, Ἀπολλόδω-

Digitized by Google

ρος, Ἀρχιππος, Δημογένης, Δημοκλείδης, Πραξίβουλος, Νικόδωρος, Θεόφραστος, Πολέμων, Σιμωνίδης, Ἱερομνήμων, Δημήτριος, Καίριμος, Ἀναξιμράτης· ἐπὶ τούτου ἡ καταστασθεῖσα ὑπὸ Κασσάνδρου ὀλιγαρχία κατελύθη, καὶ οἱ εἰσαγγελθέντες ἔφυγον, ἐν οἷς καὶ Δείναρχος ἦν. Κόροιβος, Εὐξένιππος, Φερεκλῆς, Λεώστρατος, Νικοκλῆς, Καλλίαρχος, Ἡγέμαχος, Εὐκτήμων, Μνησίδημος, Ἀντιφάτης, Νικίας, Νικόστρατος, Ὀλυμπιόδωρος, Φίλιππος· ἐπὶ τούτου κάθοδος ἐδόθη τοῖς τε ἄλλοις φυγάσι, καὶ Δεινάρχῳ, ὑπὸ βασιλέως Δημητρίου.

Δημόσιοι λόγοι γνήσιοι.

10. Κατὰ Πολυεύκτου βασιλεύειν λαχόντος δοκιμασία· „Πολλὰ καὶ ἀγαθὰ γένοιτο.“ Κατὰ Πολυεύκτου, ἐκφυλλοφορηθέντος ὑπὸ τῆς βουλῆς, ἔνδειξις· „Πάλαι θαυμάζω ὑμῶν.“ Κατὰ Πολυεύκτου, περὶ τοῦ Γεωφανίου· „Περὶ μὲν αὐτῆς τῆς „μηνύσεως.“ Περὶ τοῦ Γεωφανίου ἐπίλογος· „Βραχὺν, ὦ ἄνδρες.“ Κατὰ Πυθέου, Ξενίας· „Ἱκανὴ „μὲν ἦν πρόφασις.“ Κατὰ Πυθέου, περὶ τῶν κατὰ τὸ ἐμπόριον· „Ἐπειδὴ τοῖς μὲν λέγειν τῶν ῥητό„ρων.“ Κατὰ Τιμοκράτους· „Ὥσπερ δίκαιόν ἐστι.“ Κατὰ Λυκούργου εὐθῦναι· „Οἶδα, ὅτι, κἂν μηδὲν ὑμῖν συνηγορία Αἰσχύνῃ.“ Κατὰ Λινίου· „Βου„λοίμην ἄν, ὦ ἄνδρες.“ Κατὰ Φωρασεβείας· „Ἀρά „γ' εἴ τινες.“ Κατὰ Καλλαίσχρου, περὶ τῶν τιμῶν· „Πολλάκις, ὦ Ἀθηναῖοι.“ Τυρρηνικός· „Ἅπαντα „συμβήσεσθαι.“ Ἔτι κατὰ Διονυσίου, ταῦ ἐπὶ τῆς διοικήσεως· „Ἴσως μὲν, ὦ Ἀθηναῖοι.“ Κατ' Ἰμε-

Digitized by Google

ρίου εἰσαγγελτικός· „Οὐδένα νομίζω, ὦ Ἀθηναῖοι.“ Εἰσαγγελία κατὰ Πιστίου· „Ὥσπερ καὶ ὑμῶν ἕκα„στος.“ Κατ' Ἀγασικλέους, εἰσαγγελία ξενίας· „Οὐ„δένα πώποτε οἶμαι.“ Κατὰ Θεοκρίνου ἔνδειξις· „Τῷ πατρός, ὦ Ἀθηναῖοι.“ τοῦνον Καλλίμαχος ἐν τοῖς Δημοσθένους φέρει. Κατὰ Στεφάνου· „Παρανόμων ὑπάρχει τοῦ νόμου δεδωκότος, ὦ ἄν„δρες.“ Κατὰ Κλεισθένους εἰσαγγελία· „Οὐκ ἀγνοῶ, „ἄνδρες.“ Διαδικασία Φαληρέων πρὸς Φοίνικας, ὑπὲρ τῆς ἱερωσύνης τοῦ Ποσειδῶνος· „Εὔχομαι, νὴ „τὴν Ἀθηνᾶν, περίπειν δή.“ Πρὸς τὴν Κηφισοφῶντος ἀπογραφήν· „Πρῶτον μέν, ὦ ἄνδρες, δέομαι.“ Ὁ δ' ὕστερος· „Τὰ μὲν περὶ τὴν ὠνήν.“ Ἀπολογία διαμαρτυρίας πρὸς τὴν Κάρητος εἰσαγγελίαν κατὰ Φειδιππίδου γραμματέως· „Οὔτ' ἔχθρας οὐδεμιᾶς „ἕνεκα.“ Κατὰ Φιλοκλέους ὑπὲρ τῶν Ἁρπαλίων· „Τί χρὴ λέγειν τὸ πρὸς τῶν.“ Κατὰ Γνωσίου, περὶ τῶν Ἁρπαλίων· „Οὐκ ἄδηλον.“ Κατ' Ἀριστοκίνου, περὶ τῶν Ἁρπαλίων· „Εὐτύχημα μέν, ὦ ἄν„δρες.“ Κατὰ Δημοσθένους, περὶ τῶν Ἁρπαλίων· „Ὁ μὲν δημαγωγὸς ὑμῖν.“ Κατὰ Ἀριστογείτονος περὶ τῶν Ἁρπαλίων· „Πάνθ', ὡς ἔπος„ὦ ἄνδρες.“

Ψευδεπίγραφοι δημόσιοι.

11. Κατὰ Θεοδώρου, εὐθυντικός· „Ἥκιστα „μέν, ὦ ἄνδρες.“ πρεσβύτερός ἐστι τῆς Δεινάρχου ἡλικίας. εἴρηται γὰρ ἐπὶ Θεοκρίτου τῆ Θεμιστοκλέους ἄρχοντος μετὰ Θάλλον ἀνιόντα ἐναυτῷ τρίτῳ, ὡς ἐξ αὐτοῦ τοῦ λόγου γίνεται φανερόν· οὔπω πέμπτον, ὡς δείξομεν, ἔτος ἔχοντος αὐτοῦ. Κατὰ κηρύκων·

Digitized by Google

„Εἰ μὲν ὁ πατὴρ, ὦ ἄνδρες.“ οὗτος ὁ ἀγὼν εἴρηται ἐπ' ἄρχοντος Εὐβούλου, ἢ Λυκίσχου, τοῦ μετ' Εὔβουλον, οὔπω εἴκοσι ὄντος αὐτοῦ. ὁ μὲν γὰρ λόγος, περί τινος ἀποψηφισθέντος, γέγονεν ἐπ' Ἀρχίου, τοῦ μετὰ Θεμιστοκλέα. δῆλον δ' ἕκαστον τῶν εἰρημένων ἐξ αὐτοῦ τοῦ λόγου γίγνεται. Κατὰ Μοσχίωνος, ἀπογραψαμένου αὐτὸν Νικοδίκου· „υἱὸν ἀπο„ψηφισάμενον, ὦ ἄνδρες, τοῦ Μοσχίωνος συμβα„λών.“ καὶ οὗτος ὁ λόγος κατὰ τοὺς αὐτοὺς χρόνους τῷ προτέρῳ εἴρηται. δηλοῦται δ' ἐκ τῆς αὐτῆς ἀρχῆς τοῦ λόγου, καὶ [τοῦ] τῶν ἐξῆς. Κατὰ Μενεκλέους ἀπαγωγῆς· „Ὦ ἄνδρες δικασταί, καὶ τῶν νόμων, „καθ' οὓς.“ καὶ οὗτος εἴρηται, παιδὸς ὄντος ἔτι Δεινάρχου. ὁ μὲν γὰρ κρινόμενος ἐστὶ Μενεκλῆς, ὁ τὴν ἱέρειαν Νίνην ἑλών· ὁ δὲ κατηγορῶν υἱὸς τῆς Νίνου. ἔστι δὲ ταῦτα πρεσβύτερα τῆς Δεινάρχου ἀκμῆς. ὁ μὲν γὰρ Δημοσθένους περὶ τοῦ ὀνόματος λόγος, ἐν ᾧ τούτων μέμνηται, κατὰ Θεσσαλόν, ἢ Ἀπολλόδωρον, ἄρχοντα τετέλεσται, ὡς ἐν τοῖς περὶ Δημοσθένους δεδηλώκαμεν. εἰ δ' ὡς τεθνηκότος ἤδη τοῦ Μενεκλέους ὁ Δημοσθένης ἐκεῖ μέμνηται, λέγων· „Ἑωρᾶτε γὰρ πάντες αὐτὸν χρώμενον, ἕως „ἔζη Μενεκλῆς·“ παλαιὸς λόγος τίς ἐστιν. ὅτι δὲ οὗτος ὁ Μενεκλῆς, ἐν αὐτῷ τῷ λόγῳ δεδήλωκεν ὁ κατηγορῶν. Διαδικασία Ἀθμονεῦσι περὶ τῆς Μυῤῥίνης καὶ τῆς Μίλακος· „Εὔχομαι δὴ τῇ Δήμητρι καὶ „τῇ Κόρῃ.“ πρεσβύτερός ἐστι τῆς Δεινάρχου ἀκμῆς. εἴρηται γὰρ ἐπὶ Νικομάχου ἄρχοντος, ὡς ἐξ αὐτοῦ τοῦ λόγου γίγνεται δῆλον· ἓν πρὸς τοῖς εἴκοσιν ἔτος τοῦ ῥήτορος ἔχοντος. οἱ μὲν οὖν τῆς ἀκμῆς αὐτοῦ

Digitized by Google

φερόμενοι ψευδεπίγραφοι εἰς αὐτὸν λόγοι εἰσὶν οἵδε. μετὰ δὲ τὴν ἐξ Ἀθηνῶν εἰς Χαλκίδα ἀναχώρησιν οἵδε: Διαδικασία τῆς ἱερείας τῆς Δήμητρος πρὸς τὸν ἱεροφάντην· „Πολλῶν καὶ παραδόξων, ὦ ἄν„δρες δικασταί.“ οὗτος ὁ λόγος ἤδη πεφευγότος αὐτοῦ εἴρηται, ὡς ἐξ αὐτοῦ γίγνεται φανερόν. μέμνηται γὰρ ἐν αὐτῷ τῆς κατασχούσης ὀλιγαρχίας. Ἔργα ποιεῖς. Κατὰ Τιμοκράτους, εἰσαγγελτικὸς δήμου καταλύσεως. οὗτος καὶ ἀπ' αὐτῆς τῆς ἐπιγραφῆς ἐστι δῆλος ψευδεπίγραφος ὤν. κατὰ Σπουδίου· „Καὶ ἐν τῷ δήμῳ κατηγορήσειν ὑπεσχόμην.“ μετὰ τὴν κατάλυσιν τῆς ὀλιγαρχίας εἴρηται καὶ οὗτος, ἤδη Δεινάρχου [φαίνεται] φεύγοντος, ὡς ἐξ αὐτοῦ μάλιστα τοῦ λόγου γίγνεται φανερόν. Διαδικασία Εὐδανέμων πρὸς κήρυκας ὑπὲρ τοῦ κανῶς οὐδαμῶς· „Τοιαῦτα πράγματα.“ καὶ οὗτος κατὰ τοὺς αὐτοὺς χρόνους εἴρηται, πεφευγότος ἤδη τοῦ ῥήτορος, ὡς ἐν αὐτῷ τῷ λόγῳ πάλιν δηλοῦται. Ἀττικός· „Πάντων „ἦσαν ὁμοίως.“ καὶ οὗτος εἴρηται ἐν ἐκείνοις τοῖς χρόνοις, ὡς καὶ ἐν αὐτῷ τῷ λόγῳ φανερὸν γίγνεται. Αἰτωλικός· „Καὶ ἡμεῖς, ὦ ἄνδρες Αἰτωλοί, πρέσ„βεις.“ οὗτος, καθεστώσης τῆς ὀλιγαρχίας, ὑπὸ τῶν Ἀθήνηθεν φυγάδων εἴρηται, δεομένων, τοὺς Αἰτωλοὺς αὐτοῖς βοηθεῖν, ἐπεὶ καὶ ὁ Κάσσανδρος αὐτοὺς ἐλευθεροῦν ἐπεχείρει, ὡς ἐν αὐτῷ τῷ λόγῳ γίγνεται τοῦτο δῆλον. οὔκουν εἰκὸς, φίλον ὄντα τὸν Δεινάρχον τῶν τὴν ὀλιγαρχίαν καταστησάντων, τοῖς καταλύειν ἐπιχειροῦσιν συναγωνίζεσθαι. οὐδ' αὐτὸς Ἀθήνηθε λόγους καταλαμβάνειν, οἷόν τε ἐστί. Διφίλῳ δημηγορικὸς, αἰτοῦντι δωρεάς· διὰ τὸ μὴ

Digitized by Google

ῥᾴδιον εἶναι. τοῦτον ἐπίσθην ὑπὸ Δημοσθένους γεγράφθαι τὸν λόγον· ὅτι τὰς δωρεὰς ἔγραψεν αὐτῶν Δημοσθένης, ὡς Δείναρχος ἐν τῷ κατὰ Δημοσθένους λόγῳ δεδήλωκε· καὶ ὅτι ἐπὶ τέλει τοῦ λόγου ὁ Δίφιλος Δημοσθένην παρακαλεῖ συνήγορον. ἀπίθανον δὲ οἶμαι εἶναι, τὰς μὲν τιμὰς οὕτω γράφειν εὐνοοῦντα τῷ Διφίλῳ τὸν Δημοσθένην· λόγον δὲ παρὰ Δεινάρχου λαβόντα περιϊδεῖν. Ἑρμίᾳ ἐμπορίου ἐπιμελητῇ περὶ τῶν κατηγορηθέντων ἀπολογία· „Δέομαι ὑμῶν, ὦ ἄνδρες.“ ἀπ' αὐτοῦ τοῦ χαρακτῆρος εὕροι τις ἄν, οὐκ ὄντα τὸν λόγον Δεινάρχου· ὑδαρής τε γάρ, καὶ ἀσθενής, καὶ ψυχρός ἐστιν. ἀλλὰ μᾶλλον αὐτὸν ἄν τις θείη Δημοκλείδου, ἢ Μενεσαίχμου, ἢ τῶν ἄλλων τῶν τοιούτων τινός. ἀφαιρῶμαι δὲ καὶ τοὺς περὶ Μενεσαίχμου λόγους ἀμφοτέρους αὐτοῦ, ὧν ὁ μέν ἐστι περὶ τῆς Δήλου θυσίας· „Ἱκετεύομεν ὑμᾶς, [καί·“] ὁ δὲ πρὸς Περικλέα καὶ Δημοκράτην, οὗ ἡ ἀρχή· „Νομίζομεν, ὦ „ἄνδρες·“ διά τε τὸν χαρακτῆρα· ὑδαρὴς γάρ, καὶ κεχυμένος, καὶ ψυχρός· καὶ ὅτι ὁ λέγων αὐτὸς ὢν οὔτε ἄδοξος, καὶ κατὰ Λυκοῦργον τὴν διοίκησιν τῶν δημοσίων χρημάτων παραλαβών, ἐξητασμένος δὲ πολλάκις, ὡς αὐτὸς ἐν τοῖς λόγοις περὶ ἁπάντων μηνύει, καὶ ἐν ἰδίοις καὶ ἐν δημοσίοις ἀγῶσιν, οὐκ ἂν ἦν ἀδύνατος, ὥστε Δεινάρχῳ λογογράφει χρῆσθαι. Ὑπὲρ τοῦ μὴ ἐκδοῦναι Ἅρπαλον Ἀλεξάνδρῳ· „Οὐκ ἄξιον ἄρα θαυμάζειν.“ αὐδ' οὗτος ὁ λόγος ἐμφαίνει τὸν Δεινάρχου χαρακτῆρα. εἰ γὰρ κἂν μηδὲν ἄλλο, τό γ' οὖν ἠλίθιον καὶ σοφιστικὸν εὕροι τις ἂν ἐν αὐτῷ πολύ, τὸ πλεῖστον ἀπέχον τῶν

Digitized by Google

Δεινάρχου χαρακτῆρων. Δηλιάκος „Ἀπόλλωνος „καὶ Ῥοιοῖς τῆς Σταφήλοι." οὗτος οὐ τοῦ ῥήτορος, ἀλλ' ἑτέρου τινὸς συγγραφέως ἐστί· δηλοῖ δ' ἐκ τοῦ τρόπου, καὶ τοῦ χαρακτῆρος, ἀρχαϊκὸς ὤν, καὶ περιτρέχων τὴν τοπικὴν Δήλου καὶ Δέρου ἱστορίαν. Κατὰ Δημοσθένους παρανόμων· „Ἰδιώθητε, ὦ ἄνδρες." οὗτος ἐν τοῖς Περγαμηνοῖς Πίναξι φέρεται ὑπὸ Καλλικράτους· ἐγὼ δὲ, εἰ μὲν ἐκείνου ἐστὶν, οὐκ οἶδα· οὐδὲ γὰρ ἐνέτυχον τῶν Καλλικράτους οὐδενί. ὅτι δὲ πάμπολυ τῶν Δεινάρχου λόγων ἀφέστηκεν, εὐτελής τε ὤν, καὶ κενὸς, καὶ οὐκ ἀπέχων ἰδιωτικῆς φλυαρίας, πείθομαι.

Ἰδιωτικοὶ γνήσιοι.

12. Κατὰ Προξένου, βλάβης, ὃν αὐτὸς εἶπεν ὑπὲρ αὐτοῦ· „Εἴ τίς μοι θεῶν, ὦ ἄνδρες." Κατὰ Κηφισοκλέους, καὶ τῶν οἰκείων, βλάβης· „Ἃ „μὲν ἐγκαλῶν, ὦ ἄνδρες." Πρὸς Φανοκλέα, βλάβης ἀπολογία· „Ὤμην μὲν ἐγὼ, ὦ ἄνδρες." Πρὸς Νικοκράτην, ὑπὲρ Νικομάχου, βλάβης· „Ἄνδρες „δικασταὶ, ὅτι μὲν ἰδιώτης." Συνηγορία Παρμένοντι ὑπὲρ ἀνδραποδου, βλάβης· „Καὶ παρα„γεγενημένος ὕστερον, ἄνδρες δικασταὶ, ἔγωγε „ἔγνων, ὅτι Παρμένων ἀδικεῖται." Κατὰ Ποσειδίππου, κλοπῆς· „Ἀδικηθεὶς, ὦ ἄνδρες." Κατὰ Ἡδύμης, ἀποστασίου· „Καταλιπόντος ἐνο„ίου πατρός." Ἀποστασίου, πρὸς Ἀρχέστρατον· „Πολλὰ καὶ ἀγαθὰ γένοιτο." Συνηγορία Ἡγιλόχῳ ὑπὲρ ἐπικλήρου· „Ὥσπερ καὶ ἡμῶν ἕκαστος." Ἐπικληρικὸς, ὑπὲρ τῆς Ἰοφῶντος θυγατρός· „Ἂν

Digitized by Google

„δρες δικασταὶ, οὐ πένης ὤν.“ Ὕστερον· „Ἀμε-
„χον γὰρ ἦν, ὦ ἄνδρες.“ Διαμαρτυρία, ὡς οὐδὲ
εἰσὶν ἐπίδικοι Ἀριστοφῶντος θυγατέρες· „Τοῦ νό-
„μου δεδωκότος, ὦ ἄνδρες.“ Κατὰ Πεδιέως, κα-
κώσεως παιδὸς ὀρφανοῦ· „Μηδεὶς ὑμῶν, ὦ ἄνδρες,
„θαυμάσῃ.“ Διαμαρτυρία περὶ τοῦ Ἐτεήττου
κλήρου πρὸς Χάρητα· „Πολλάκις ἤδη ἤκουσα.“
Ὑπὲρ τοῦ Μνησικλέους κλήρου· „Δικαίαν, ὦ ἄν-
„δρες, δέησιν.“ Κατὰ Προξένου, ὕβρεως· „Τρι-
„στής ἐστιν, ὦ ἄνδρες, πληγῶν.“ ἔδει δ' ἐπιγε-
γράφθαι· Ἀπολογία ὕβρεως. Ἐπιχαίρει πρὸς Φι-
λωτάδην· „Τὸν θαυμαστὸν, ὦ ἄνδρες.“ Κατὰ
Κλεομέδοντος, αἰκίας· „Ὅτι μὲν, ὦ ἄνδρες, καὶ
„ὁ πατὴρ Θεόδωρος δή.“ Πρὸς Διοσκουρίδην
περὶ νεῶν· „Δικαίως ἂν οἶμαι, ὦ ἄνδρες.“ Ἐρα-
νικὸς, πρὸς τοὺς Προκλέος παῖδας. „Ἃ μὲν ἀδι-
κούμενος, ὦ ἄνδρες.“ Πρὸς Ἀμεινοκράτην, δια-
δικασία περὶ καρπῶν χωρίου. „Ἐπὶ τούτοις, ὦ ἄν-
δρες, ἀνάγκη ἐστί.“ Περὶ τοῦ ἵππου· „Τοῦ μὲν
„ἀγῶνος, ὦ ἄνδρες.“ Ὁ ὕστερος· „Ἐβουλόμην
„ἄν, ὦ ἄνδρες.“ Λυσικλείδου κατὰ Δάου, ὑπὲρ
ἀνδραπόδων· „Ἃ μὲν ἀδικούμενος, ὦ ἄνδρες.“
Παραγραφὴ πρὸς Βιώτην· „Ὅτι μὲν, ὦ ἄνδρες,
„καὶ αὐτὸς ἀπείρως.“ Κατὰ Θεοδώρου, ψευδο-
μαρτυριῶν· „Νομίζομεν, ὦ ἄνδρες.“ Ἀγάθωνι
Συνηγορία, ὥσπερ καὶ αὐτὸς εἴρηκεν Ἀγάθων. Ἀπο-
στασίου ἀπολογία Αἰσχύλῳ πρὸς Ξενοφῶντα· „Χρὴ-
„σαιθαι μὲν, ὦ ἄνδρες.“ Κατὰ Φιλίππου, με-
ταλλικός· „Ὅτι μὲν, ὦ ἄνδρες.“ Κάλλιππος,
ὑπὲρ υἱοποιήτου· ἔδει δ' ἐπιγεγράφθαι· Ὑπὲρ

Digitized by Google

Θεοδώρου, ὃν ἐποιήσατο υἱὸν Ἀρχεφῶν· „Βου-„λοίμην ἄν, ὦ ἄνδρες, ὥσπερ καλὸν καὶ δίκαιον.“ Περὶ τοῦ Ἀρχεφῶντος κλήρου· „Καὶ δίκαιον εἶ-„ναι νομίζων.“

Ἰδιωτικοὶ ψευδεπίγραφοι.

13. Πρὸς Πεδιέα παραγραφή· „Κατὰ τὸν νό-„μον τοῦτον.“ οὗτος ὁ λόγος εἴρηται ἐπὶ Ἀριστο-δήμου ἄρχοντος, ὡς ἐξ αὐτοῦ τοῦ λόγου γίνεται δῆ-λον. οἱ μὲν γὰρ εἰς Σάμον ἀποσταλέντες κληρου-χοὶ κατὰ τοῦτον τὸν ἄρχοντα ἀπεστάλησαν, ὡς Φιλόχορος ἐν ταῖς ἱστορίαις λέγει. Δεινάρχος δ' οὔπω δέκατον ἔτος τηνικαῦτα εἶχε. Πρὸς Μελή-σανδρον ὑπὲρ τῆς τριηραρχίας· „Ὥσπερ οἱ νόμοι κελεύουσιν, οὗ ἂν ὁ λόγος.“ ἀλλ' ὁ μὲν λέγων ὡς ἐπὶ Μόλωνος ἄρχοντος γεγεννημένου τοῦ ἀδικήμα-τος ποιεῖται τὸν λόγον. φησὶ δέ, τῷ ὑστέρῳ ἔτει εἰσιέναι τὸν ἀγῶνα, ἐπὶ Νικοφήμου ἄρχοντος, καθ' ὃν εὑρίσκεται γεγεννημένος ὁ Δεινάρχος. Πρὸς Βοιω-τόν, ὑπὲρ τοῦ ὀνόματος· „Οὐδεμία φιλοπραγμο-„σύνη.“ εἰ καὶ μὴ τοῖς ἄλλοις οἱ Δημοσθένους ἀφαιρούμενοι τοῦτον τὸν λόγον, καὶ Δεινάρχῳ προσάπτοντες, ἐλέγχοιντο, τῷ χρόνῳ γ' οὖν ἐπιδει-χθεῖεν ἂν ψευδόμενοι. μέμνηται γὰρ ὡς νεωστὶ τῆς εἰς Πύλας ἐξόδου γεγενημένης· ἡ δ' εἰς Πύλας Ἀθη-ναίων ἔξοδος ἐπὶ Θουμήδου ἄρχοντος ἐγένετο, τρισ-καιδέκατον ἔτος Δεινάρχου ἔχοντος. Πρὸς Μαντι-θεον, περὶ προικός· „Πάντων ἐστὶν ἀνιαρότατον.“ οὗτος ἀκολουθεῖ τῷ προτέρῳ λόγῳ, καὶ πολλὰ ἔχει κατὰ λέξιν ταὐτά, ἃ εἴη ἂν τοῦ αὐτοῦ ῥήτορος, ἔξω

Digitized by Google

τῆς τοῦ Δεινάρχου ἡλικίας. πολλοῖς ἔτεσιν ὕστερον ἠγώνιστηι τὸν ἀγῶνα ὁ κατήγορος, ἀλλὰ δύο, ἢ τρισὶν, ὡς ἀκριβέστερον περὶ αὐτῶν ἐν τῇ Δημοσθένους γραφῇ δεδηλώκαμεν. Ἀθηναίᾳ συνηγορία, περὶ τῆς σχεδίας, πρὸς Ἀμυντικόν· „Φίλος μοι καὶ „ἐπιτήδειος ὤν.“ Ὁ ὕστερος· „Οἶομαι μὲν ὑμᾶς, „ὦ ἄνδρες.“ Διοπείθους ἔτι περὶ Ἑλλησπόντου, τοῦ τῶν Ἀθηναίων στρατηγοῦ, διατρίβοντος, εἴρηται ὁ λόγος, ὡς ἐξ αὐτοῦ γίνεται φανερόν. ἔστι δὲ ὁ χρόνος κατὰ Πυθόδοτον ἄρχοντα, ὡς δηλοῖ Φιλόχορος σὺν ταῖς ἄλλοις τοῖς ἐπὶ τούτου τοῦ ἄρχοντος, οὐδέπω εἰκοστὸν ἔχων ἔτος. Πρὸς Μήκυθον, μεταλλικός· „Πριάμενοι μέταλλον, ὦ ἄνδρες.“ ἐπὶ Νικομάχου ἄρχοντος εἴρηται ὁ λόγος οὗτος. φησὶ γὰρ ὁ λέγων· Ἐπ᾽ Εὐβούλου μὲν μισθώσασθαι τὸ μέταλλον, τρία δὲ ἔτη ἐργασάμενος, ἐκβαλλόμενος ὑπὸ τοῦ πλησίον ἔχοντος μέταλλα, λαχεῖν αὐτῷ τὴν δίκην κατὰ Νικόμαχον ἄρχοντα, Δεινάρχου ἓν καὶ εἰκοστὸν ἔτος ἔχοντος. Σατύρῳ πρὸς Χαρίδημον ἐπιτροπῆς ἀπολογία· „Μὴ μεγά„λου κινδύνου συμβεβηκότος.“ καὶ οὗτος ἐπὶ Νικομάχου εἴρηται. Ὑπὲρ ἀντιδόσεως, Μεγακλείδῃ· „Εἰ μὲν ἔδει, ὦ ἄνδρες, πρὸς τρεῖς, ἢ τέτταρας.“ ὁ μὲν λέγων ἐστὶν Ἀφαρεύς· ἔξω δὲ τῆς τῶν Δεινάρχου λόγων ἡλικίας. εἴρηται γὰρ ἔτι τοῦ στρατηγοῦ Τιμοθέου ζῶντος, κατὰ τὸν χρόνον τὸν τῆς μετὰ Μενεσθέως στρατηχίας, ἐφ᾽ ᾗ τὰς εὐθύνας ὑποσχὼν, ἐάλω. Τιμόθεος δὲ τὰς εὐθύνας ὑπέσχηκεν ἐπὶ Διοτίμου, τοῦ μετὰ Καλλίστρατον· ὅτε καὶ

Digitized by Google

DIONYSII
HALICARNASSENSIS
OPERA OMNIA

QUIBUS
ETIAM ACCEDUNT FRAGMENTA
AB
ANGELO MAIO
NUPER REPERTA.

AD
OPTIMORUM LIBRORUM FIDEM
ACCURATE EDITA.

EDITIO STEREOTYPA.

TOMUS VI

LIPSIAE
SUMTIBUS ET TYPIS CAROLI TAUCHNITII.
1829.

Ladenpreis 7 Groschen.

Digitized by Google

ἕνεκα καὶ τῶν λοιπῶν ἀποδέχομαι, ἐθαύμασα, καὶ πολὺς ἐν ἐμαυτῷ γενόμενος, ἐπιμελεστέρας ᾠμην δεῖσθαι σκέψεως τὸ πρᾶγμα, μή ποτε λέληθέ με τἀληθὲς οὕτως ἔχον, καὶ οὐδὲν εἰκῇ τῷ ἀνδρὶ εἴρηται· ἵνα ἢ μαθὼν, ὅτι προτεροῦσι τῶν Δημοσθένους λόγων αἱ Ἀριστοτέλους τέχναι, ἐκὼν μεταδοξάσω· ἢ τοὐναντίον φωράσας, τὴν δόξαν, ἣν πρότερον αὐτὸς ἔσχον, βεβαιώσω, καὶ τὸν ἄλλως ἐγνωκότα καὶ γράψαι γε παρεσκευασμένον, πρὶν εἰς ὄχλον ἐκδοῦναι τὸ σύνταγμα, μεταβαλεῖν πείσαιμι τὴν δόξαν.

2. Οὐκ ἐλαχίστην δέ μοι καὶ σὺ παρέσχου ῥοπὴν εἰς τὸ μὴ παρέργως ἐξετᾶσαι τὴν ἀλήθειαν, παρακαλῶν φανεροὺς ποιῆσαι τοὺς λόγους, οἷς ἐμαυτὸν πέπεικα· Δημοσθένους ἀκμάζοντος ἤδη, καὶ τοὺς ἐπιφανεστάτους εἰρηκότος ἀγῶνας, τότε ὑπ' Ἀριστοτέλους τὰς ῥητορικὰς γεγράφθαι τέχνας. ἐθάκεις τέ μοι καὶ τοῦτο ὀρθῶς παραινεῖν, μὴ σημείοις, μηδ' εἰκόσι, μηδ' ἀλλοτρίαις τὸ πρᾶγμα πιστώσασθαι μαρτυρίαις, ἐπειδὴ τούτων οὐδεμία τῶν πίστεων δι' ἀναγκαίων συνάγεται λημμάτων· ἀλλ' αὐτὸν Ἀριστοτέλη παρασχέσθαι διὰ τῶν ἰδίων τεχνῶν ὁμολογοῦντα τἀληθὲς οὕτως ἔχειν. τοῦτό δὴ πεποίηκα, βέλτιστε Ἀμμαῖε, τῆς τ' ἀληθείας προνοούμενος, ἣν ἐπὶ παντὸς οἶομαι δεῖν πράγματος ἐξετάζεσθαι, καὶ τῆς ἁπάντων τῶν περὶ τοὺς πολιτικοὺς λόγους ἐσπουδακότων χάριτος· ἵνα μὴ τοῦθ' ὑπολάβωσιν, ὅτι πάντα περιείληφεν ἡ Περιπατητικὴ φιλοσοφία τὰ ῥητορικὰ παραγγέλματα· καὶ οὔτε οἱ περὶ Θεόδωρον καὶ Θρασύμαχον καὶ Ἀντιφῶντα

Digitized by Google

σπουδῆς ἄξιον οὐδὲν εὗρον, οὔτ' Ἰσοκράτης καὶ Ἀναξιμένης καὶ Ἀλκιδάμας, οὔτε οἱ τούτοις συμβιώσαντες τοῖς ἀνδράσι, παραγγελμάτων τεχνικῶν συγγραφεῖς καὶ ἀγωνισταὶ λόγων ῥητορικῶν, οἱ περὶ Θεοδέκτην καὶ Φίλισκον καὶ Ἰσαῖον καὶ Κηφισόδωρον, Ὑπερίδην τε καὶ Λυκοῦργον καὶ Αἰσχίνην· οὔτ' αὐτὸς ὁ Δημοσθένης ὁ πάντας ὑπερβαλόμενος τούς τε πρὸ αὐτοῦ καὶ τοὺς καθ' ἑαυτόν, καὶ μηδὲ τοῖς γενησομένοις ὑπερβολὴν καταλιπών, τοσοῦτος ἂν ἐγένετο τοῖς Ἰσοκράτους τε καὶ Ἰσαίου κοσμούμενος παραγγέλμασιν, εἰ μὴ τὰς Ἀριστοτέλους τέχνας ἐξέμαθεν.

3. Οὐκ ἔστ' ἔτυμος λόγος οὗτος, ὦ φίλε Ἀμμαῖε, οὐδ' ἐκ τῶν Ἀριστοτέλους τεχνῶν τῶν ὕστερον ἐξενεχθεισῶν οἱ Δημοσθένους λόγοι συνετάχθησαν, ἀλλὰ καθ' ἑτέρας εἰσαγωγάς τινας· ὑπὲρ ὧν ἐν ἰδίᾳ δηλώσω γραφῇ τὰ δοκοῦντά μοι. πολὺς γὰρ ὁ περὶ αὐτῶν λόγος, ὃν οὐ καλῶς εἶχεν ἑτέρας γραφῆς ποιῆσαι πάρεργον. ἐν δὲ τῷ παρόντι τοῦτο πειράσομαι φανερὸν ποιῆσαι, ὅτι, Δημοσθένους ἀκμάζοντος ἤδη κατὰ τὴν πολιτείαν, καὶ τοὺς ἐπιφανεστάτους εἰρηκότος ἀγῶνας, τούς τε δικανικοὺς καὶ τοὺς δημηγορικούς, καὶ θαυμαζομένου διὰ πάσης τῆς Ἑλλάδος ἐπὶ δεινότητι λόγων, τότε ὁ φιλόσοφος τὰς ῥητορικὰς ἔγραψε τέχνας. ἀνάγκη δ' ἔσως πρῶτον, ὅσα παρέλαβον ἐκ τῶν κοινῶν ἱστοριῶν, ἃς κατέλιπον ἡμῖν οἱ τοὺς βίους τῶν ἀνδρῶν συνταξάμενοι, προειπεῖν. ποιήσομαι δ' ἀπὸ Δημοσθένους τὴν ἀρχήν.

Digitized by Google

4. Οὗτος ἐγεννήθη μὲν ἐνιαυτῷ πρότερον τῆς ἑκατοστῆς Ὀλυμπιάδος, ἄρχοντος δὲ Τιμοκράτους, εἰς ἔτος ἦν ἐμβεβηκὼς ἑπταικαιδέκατον· δημοσίους τε λόγους ἤρξατο γράφειν ἐπὶ Καλλίστρατου ἄρχοντος, εἰκοστὸν καὶ πέμπτον ἔχων ἔτος· καὶ ἔστιν αὐτοῦ πρῶτος τῶν ἐν δικαστηρίῳ κατασκευασθέντων ἀγώνων ὃν κατὰ Ἀνδροτίωνος, ὃν γέγραφε Διοδώρῳ, τῷ κρίνοντι τὸ ψήφισμα παρανόμων· καὶ κατὰ τὸν αὐτὸν χρόνον ἕτερος ἐπὶ Καλλιστράτου ἄρχοντος, ὃ περὶ τῶν ἀτελειῶν, ὧν αὐτὸς διέθετο, χαριέστατος ἁπάντων τῶν λόγων καὶ χαριεστάτατος· ἐπὶ δὲ Διοτίμου, τοῦ μετὰ Καλλίστρατον, ἐν Ἀθηναίοις πρώτην εἶπε δημηγορίαν, ἣ ἐπιγράφουσιν οἱ τοὺς ῥητορικοὺς πίνακας συντάξαντες, περὶ τῶν συμμοριῶν· ἐν ᾗ παρεκάλει τοὺς Ἀθηναίους, μὴ λύειν τὴν πρὸς βασιλέα γενομένην εἰρήνην, μηδὲ προτέρους ἄρχειν τοῦ πολέμου, ἐὰν μὴ παρασκευάσωνται τὴν ναυτικὴν δύναμιν, ἐν ᾗ πλείστην εἶχον ἰσχύν· καὶ τὸν τρόπον τῆς παρασκευῆς αὐτὸς ὑποτίθεται. ἐπὶ δ' Εὐθήμου, τοῦ μετὰ Διότιμον ἄρξαντος, τόν τε κατὰ Τιμοκράτους λόγον ἔγραψε Διοδώρῳ, τῷ κρίνοντι παρανόμων τὸν Τιμοκράτην, καὶ τὸν περὶ τῆς Μεγαλοπολιτῶν βοηθείας δημηγορικόν, ὃν αὐτὸς ἀπήγγειλε. μετὰ δ' Εὔθημον ἦν Ἀριστόδημος ἄρχων, ἐφ' οὗ τῶν κατὰ Φιλίππου δημηγοριῶν ἤρξατο, καὶ λόγους ἐν τῷ δήμῳ διέθετο περὶ τῆς ἀποστολῆς ξενικοῦ στρατεύματος καὶ τῶν δέκα [Γαδικῶν] τριηρῶν εἰς Μακεδονίαν· ἐν τούτῳ τῷ χρόνῳ καὶ τὸν κατὰ Ἀριστοκράτους ἔγραψε λόγον Εὐθυκλεῖ, τῷ

Digitized by Google

διώκοντι παρανόμων τὸ ψήφισμα. ἐπὶ δὲ Θεσσάλου, τοῦ μετ' Ἀριστόδημον, τὴν περὶ Ῥοδίων ἀπήγγειλε δημηγορίαν, ἐν ᾗ πείθει τοὺς Ἀθηναίους καταλῦσαι τὴν ὀλιγαρχίαν αὐτῶν, καὶ τὸν δῆμον ἐλευθερῶσαι. ἐπὶ δὲ Καλλιμάχου, τοῦ τρίτου μετὰ Θέσσαλον ἄρξαντος, τρεῖς διέθετο δημηγορικούς, παρακαλῶν Ἀθηναίους βοήθειαν Ὀλυνθίοις ἀποστεῖλαι, τοῖς πολεμουμένοις ὑπὸ Φιλίππου· πρῶτον μέν, οὗ ἐστιν ἀρχή· „Ἐπὶ πολλῶν μὲν ἰδεῖν ἄν τις, ὦ ἄνδρες „Ἀθηναῖοι, δοκεῖ μοι·“ δεύτερον δέ· „Οὐχὶ ταὐ„τὰ παρίσταταί μοι γιγνώσκειν, ὦ ἄνδρες Ἀθη„ναῖοι·“ τρίτον δέ· „Ἀντὶ πολλῶν ἄν, ὦ ἄνδρες „Ἀθηναῖοι, χρημάτων.“ κατὰ τοῦτον γέγραπται τὸν ἄρχοντα καὶ ὃ κατὰ Μειδίου λόγος, ὃν συνετάξατο μετὰ τὴν χειροτονίαν, ἣν ὁ δῆμος αὐτοῦ κατεχειροτόνησε· μέχρι τοῦ περὶ δώδεκα λόγων, ὧν εἴρηκα δημοσίων, ἐν οἷς εἰσι δημηγορικοὶ μὲν ζ', δικανικοὶ δὲ ε', ἅπαντες πρότεροι τῶν Ἀριστοτέλους τεχνῶν, ὡς ἔκ τε τῶν ἱστορουμένων περὶ τοῦ ἀνδρὸς ἀποδείξω, καὶ ἐκ τῶν ὑπ' αὐτοῦ γραφέντων, ἐντεῦθεν ἀρξάμενος.

5. Ἀριστοτέλης υἱὸς μὲν ἦν Νικομάχου, τὸ γένος καὶ τὴν τέχνην ἀναφέροντος εἰς Μαχάονα, τὸν Ἀσκληπιοῦ· μητρὸς δὲ Φαιστίδος, ἀπογόνου τινὸς τῶν ἐκ Χαλκίδος τὴν ἀποικίαν ἀναγαγόντων εἰς Στάγειρα. ἐγεννήθη δὲ κατὰ τὴν ἐννενηκοστὴν καὶ ἐνάτην Ὀλυμπιάδα, Διοτρεφοῦς Ἀθήνησιν ἄρχοντος, ιγ' ἔτεσι Δημοσθένους πρεσβυτέρου. ἐπὶ δὲ Πολυζήλου ἄρχοντος, τελευτήσαντος τοῦ πατρὸς,

Digitized by Google

ὀκταικαιδέκατον ἔτος ἔχων εἰς Ἀθήνας ἦλθε, καὶ συσταθεὶς Πλάτωνι, χρόνον εἰκοσαετῆ διέτριψε σὺν αὐτῷ. ἀποθανόντος δὲ Πλάτωνος, ἐπὶ Θεοφίλου ἄρχοντος, ἀπῆρε πρὸς Ἑρμείαν, τὸν Ἀταρνέως τύραννον, καὶ τριετῆ χρόνον παρ' αὐτοῦ τρίψας, ἐπ' Εὐβούλου ἄρχοντος εἰς Μιτυλήνην ἐχωρίσθη· ἐκεῖθεν δὲ πρὸς Φίλιππον ἦρχετο, κατὰ Πυθόδοτον ἄρχοντα, καὶ διέτριψε χρόνον ὀκταετῆ παρ' αὐτῷ καθηγούμενος Ἀλεξάνδρου· μετὰ δὲ τὴν Φιλίππου τελευτὴν ἐπ' Εὐαινέτου ἄρχοντος ἀφικόμενος εἰς Ἀθήνας, ἐσχόλαζεν ἐν Λυκείῳ χρόνον ἐτῶν δώδεκα. τῷ δὲ τρισκαιδεκάτῳ μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν, ἐπὶ Κηφισοδώρου ἄρχοντος, ἀπάρας εἰς Χαλκίδα, νόσῳ τελευτᾷ, τρία πρὸς τοῖς ἑξήκοντα βιώσας ἔτη.

6. Ταῦτα μὲν οὖν ἐστιν, ἃ παραδεδώκασιν ἡμῖν οἱ τὸν βίον τοῦ ἀνδρὸς ἀναγράψαντες. ἃ δ' αὐτὸς ὁ φιλόσοφος ὑπὲρ ἑαυτοῦ γράφει, πᾶσαν ἀφαιρούμενος ἐπιχείρησιν τῶν χαρίζεσθαι βουλομένων αὐτῷ τὰ μὴ προσήκοντα, πρὸς πολλοῖς ἄλλοις, ὧν οὐδὲν δέομαι μεμνῆσθαι κατὰ τὸ παρὸν, ἃ τέθεικεν ἐν τῇ πρώτῃ βίβλῳ ταύτης τῆς πραγματείας, ὡς οὐ μειράκιον ἦν, ὅτε τὰς ῥητορικὰς σύνετάττετο τέχνας, ἀλλ' ἐν τῇ κρατίστῃ γεγονὼς ἀκμῇ, καὶ προεκδεδωκὼς ἤδη τάς τε τοπικὰς συντάξεις καὶ τὰς ἀναλυτικὰς καὶ τὰς μεθοδικὰς, τεκμηρίων ἐστὶν ἰσχυρότερα. ἀρξάμενος γὰρ τὰς ὠφελείας ἐπιδεικνύειν, ἃς περιείληφεν ὁ ῥητορικὸς λόγος, ταῦτα κατὰ λέξιν γράφει· „Χρήσιμος δ' ἐστὶν ἡ ῥητορικὴ, διά γε τὸ

Digitized by Google

„φύσει εἶναι πρείττω τἀληθῆ καὶ τὰ δίκαια τῶν „ἐναντίων· ὥστ', ἐὰν μὴ κατὰ τὸ προσῆκον αἱ κρί„σεις γίνωνται, ἀνάγκη δι' αὐτῶν ἡττᾶσθαι· τοῦτο „δ' ἐστὶν ἄξιον ἐπιτιμήσεως. ἔτι δὲ πρὸς ἐνίους, „οὐδ' εἰ τὴν ἀκριβεστάτην ἔχοιμεν ἐπιστήμην, φά„διον ἀπ' ἐκείνης πεῖσαι λέγοντας. διδασκαλία γάρ „ἐστιν ὁ κατὰ τὴν ἐπιστήμην λόγος. τοῦτο δ' ἀδύ„νατον· ἀλλ' ἀνάγκη διὰ τῶν κοινῶν ποιεῖσθαι τὰς „πίστεις καὶ τοὺς λόγους, ὥσπερ καὶ ἐν τοῖς τοπι„κοῖς ἐλέγομεν περὶ τῆς πρὸς τοὺς πολλοὺς ἐν„τεύξεως."

7. *Περὶ τε παραδειγμάτων προελόμενος λέγειν, ὅτι τὴν αὐτὴν ταὐτ' ἔχει δύναμιν ταῖς ἐπαγωγαῖς καὶ τοῖς συλλογισμοῖς, ταῦτα περὶ τῆς ἀναλυτικῆς καὶ μεθοδικῆς πραγματείας τίθησι.* „Τῶν δὲ „διὰ τοῦ δείκνυσθαι, ἢ φαίνεσθαι δείκνυσθαι, κα„θάπερ καὶ ἐν τοῖς ἀναλυτικοῖς, τὸ μὲν ἐπαγωγή „ἐστι, τὸ δὲ συλλογισμός, [τὸ δὲ φαινόμενος συλ„λογισμός,] καὶ ἐνταῦθα ὁμοίως. ἔστι γὰρ τὸ μὲν „παράδειγμα, ἐπαγωγή· τὸ δ' ἐνθύμημα, συλλο„γισμός· [τὸ δὲ φαινόμενον, φαινόμενος συλλογι„σμός.] καλῶ γὰρ ἐνθύμημα μὲν, ῥητορικὸν συλλο„γισμόν· παράδειγμα δὲ, ἐπαγωγὴν ῥητορικήν. πάν„τες δὲ τὰς πίστεις ποιοῦνται διὰ τοῦ δεικνύναι, ἢ „παραδείγματα λέγοντες, ἢ ἐνθυμήματα· καὶ παρὰ „ταῦτα οὐδέν ποτε. ὥστ', εἴπερ καὶ ὅλως ἀνάγκη, „συλλογιζόμενον, ἢ ἐπάγοντα, δεικνύναι ὅτιοῦν, [ἢ „ὁντινοῦν·] δῆλον δ' ἡμῖν τοῦτο ἐκ τῶν ἀναλυτι„κῶν· ἀναγκαῖον ἑκάτερον [αὐτῶν ἑκατέρῳ] τούτων

Digitized by Google

„τὸ αὐτὸ εἶναι. τίς δ' ἐστὶ διαφορὰ παραδείγματος „καὶ ἐνθυμήματος, φανερὸν ἐκ τῶν τοπικῶν· ἐκεῖ „γὰρ περὶ συλλογισμοῦ καὶ ἐπαγωγῆς εἴρηται πρό- „τερον· ὅτι τὸ μὲν, ἐπὶ πολλῶν καὶ ὁμοίων δείκνυ- „σθαι, ὅτι οὕτως ἔχει, ἐκεῖ μὲν ἐπαγωγή ἐστιν, ἐν- „ταῦθα δὲ παράδειγμα· τὸ δὲ, τινῶν ὄντων, ἕτερόν „τι διὰ ταῦτα συμβαίνειν, παρὰ τὸ ταὐτὰ εἶναι ἢ „καθόλου, ἢ ὡς ἐπὶ τὸ πολὺ, ἐκεῖ μὲν συλλογισμὸς, „ἐνταῦθα δ' ἐνθύμημα καλεῖται. φανερὸν δὲ καὶ, „ὅτι ἑκάτερον ἔχει ἀγαθὸν [τὸ] εἶδος τῆς ῥητορείας· „καθάπερ [γὰρ] καὶ ἐν τοῖς μεθοδικοῖς εἴρηται, καὶ „ἐν τούτοις ὁμοίως ἔχει." Ὁ μὲν οὖν Ἀριστοτέλης ὑπὲρ ἑαυτοῦ γέγραφε, μαρτυρόμενος διαῤῥήδην, ὅτι τὰς ῥητορικὰς τέχνας συνετάξατο πρεσβύτερος ὢν ἤδη καὶ τὰς κρατίστας συντάξεις προεκδεδωκώς. ταῦτ' ἔστιν, ἐξ ὧν, ὃ προειλόμην ποιῆσαι φανερὸν, ὅτι προτεροῦσιν οἱ τοῦ ῥήτορος ἀγῶνες τῶν ποῦ φιλοσόφου τεχνῶν, ἱκανῶς ἀποδεδεῖχθαι νομίζω· εἴγε ὁ μὲν εἰκοστὸν καὶ πέμπτον ἔτος ἔχων ἤρξατο πολιτεύεσθαι καὶ δημηγορεῖν, καὶ λόγους εἰς δικαστήρια γράφειν. ὁ δὲ κατὰ τοὺς αὐτοὺς χρόνος ἔτι σωῆν Πλάτωνι, καὶ διέτριψεν ἕως ἐτῶν ἑπτὰ καὶ τριάκοντα; οὔτε σχολῆς ἡγούμενος, οὔτ' ἰδίαν πεποιηκὼς αἵρεσιν.

8. Εἰ δέ τις οὕτως ἔσται δύσερις, ὥστε καὶ πρὸς ταῦτα ἀντιλέγειν, ὅτι μὲν ὕστερον ἐγράφησαν αἱ ῥητορικαὶ τέχναι τῶν ἀναλυτικῶν τε καὶ μεθοδικῶν καὶ τοπικῶν, ὁμολογῶν, ἀληθὲς εἶναι, οὐδὲν δὲ κωλύειν λέγων, ἁπάσας ταύτας κατεσκευακέναι τὸν

Digitized by Google

φιλόσοφον τὰς πραγματείας, ἔτι παιδευόμενον παρὰ Πλάτωνι, ψυχρὰν μὲν καὶ ἀπίθανον ἐπιχείρησιν εἰσάγων, βιαζόμενος δὲ τὸ κακουργότατον τῶν ἐπιχειρημάτων ποιεῖν πιθανώτατον, ὅτι καὶ τὸ μὴ εἰκὸς γίνεταί ποτε εἰκός. ἀφεὶς, ἃ πρὸς ταῦτα λέγειν εἶχον, ἐπὶ τὰς αὐτοῦ τρίψομαι τοῦ φιλοσόφου μαρτυρίας, ἃς ἐν τῇ τρίτῃ βίβλῳ τέθεικε τῶν τεχνῶν, περὶ τῆς μεταφορᾶς κατὰ λέξιν οὕτω γράφων· „Τῶν „δὲ μεταφορῶν τεττάρων οὐσῶν, εὐδοκιμοῦσι μάλι„στα αἱ κατὰ ἀναλογίαν· ὡς Περικλῆς ἔφη, τὴν „νεότητα, τὴν ἀπολομένην ἐν τῷ πολέμῳ, οὕτως „ἠφανίσθαι ἐκ τῆς πόλεως, ὥσπερ εἴ τις τὸ ἔαρ ἐκ „τοῦ ἐνιαυτοῦ ἐξέλοι· καὶ Λεπτίνης περὶ Λακεδαι„μονίων, οὐκ ἐᾶν περιιδεῖν τὴν Ἑλλάδα ἑτερόφθαλ„μον γενομένην· καὶ Κηφισόδοτος, σπουδάζοντος „Χάρητος εὐθύνας δοῦναι [τοῦ] περὶ τὸν Ὀλυν„θιακὸν πόλεμον, ἠγανάκτει, φάσκων, εἰς πνῖγμα „τὸν δῆμον ἀγαγόντα, τὰς εὐθύνας πειρᾶσθαι δι„δόναι οὕτως.“

9. Εἰ μὲν δὴ σαφῶς αὐτὸς ὁ φιλόσοφος ἀποδεικνύει μετὰ τὸν Ὀλυνθιακὸν πόλεμον γεγραμμένας ὑπ' αὐτοῦ τὰς τέχνας, οὗτος δ' ἐπὶ Καλλιμάχου γέγονεν ἄρχοντος, ὡς δηλοῖ Φιλόχορος ἐν ἕκτῃ βίβλῳ τῆς Ἀτθίδος, κατὰ λέξιν οὕτω γράφων· „Καλλίμα„χος Περγασῆθεν. Ἐπὶ τούτου Ὀλυνθίοις, πολε„μουμένοις ὑπὸ Φιλίππου, καὶ πρέσβεις Ἀθήναζε „πέμψασιν, οἱ Ἀθηναῖοι σύμμαχίαν τε ἐποιήσαντο „καὶ βοήθειαν ἔπεμψαν, πελταστὰς [μὲν] δισχιλί„ους, τριήρεις δὲ τριάκοντα τὰς μετὰ Χάρητος, ἃς

Digitized by Google

„καὶ συνεπλήρωσαν.“ Ἔπειτα διεξελθὼν ὀλίγα τὰ μεταξὺ γενόμενα, τίθησι ταυτί· „Περὶ δὲ τὸν αὐ„τὸν χρόνον Χαλκιδέων, τῶν ἐπὶ Θράκης, θλιβομέ„νων τῷ πολέμῳ, καὶ πρεσβευσαμένων Ἀθήναζε, „Χαρίδημον αὐτοῖς ἔπεμψαν οἱ Ἀθηναῖοι τὸν ἐν „Ἑλλησπόντῳ στρατηγόν· ὃς ἔχων ὀκτωκαίδεκα „τριήρεις καὶ πελταστὰς τετρακισχιλίους, ἱππεῖς δὲ „πεντήκοντα καὶ ἑκατόν, ἦλθεν εἴς τε Παλλήνην καὶ „τὴν Βοττιαίαν μετ' Ὀλυνθίων, καὶ τὴν χώραν „ἐπόρθησεν.“ Ἔπειθ' ὑπὲρ τῆς τρίτης συμμαχίας λέγει ταυτί· „Πάλιν δὲ τῶν Ὀλυνθίων πρέσβεις „ἀποστειλάντων εἰς τὰς Ἀθήνας, καὶ δεομένων, μὴ „περιϊδεῖν αὐτοὺς καταπολεμηθέντας, ἀλλὰ πρὸς „ταῖς ὑπαρχούσαις δυνάμεσι πέμψαι βοήθειαν, μὴ „ξενικὴν, ἀλλ' αὐτῶν Ἀθηναίων, ἔπεμψεν αὐτοῖς ὁ „δῆμος τριήρεις μὲν ἑτέρας ἑπτακαίδεκα, τῶν δὲ „πολιτῶν ὁπλίτας δισχιλίους καὶ ἱππεῖς τριακοσίους, „ἐν ναυσὶν ἱππηγοῖς, στρατηγὸν δὲ Χάρητα τοῦ „στόλου παντός.“

10. Ἀπόχρη μὲν οὖν καὶ ταῦτα ῥηθέντα φανερὰν ποιῆσαι τὴν φιλοτιμίαν τῶν ἀξιούντων, τὰς Ἀριστοτέλους ἐζηλωκέναι τέχνας τὸν Δημοσθένη, ὃς ἤδη τέσσαρας μὲν ἔτυχεν εἰρηκὼς δημηγορίας Φιλιππικὰς, τρεῖς δὲ Ἑλληνικάς. περὶ δὲ ε' λόγους δημοσίους εἰς δικαστήρια γεγραφὼς, οὓς οὐδεὶς ἂν ἔχοι διαβαλεῖν, ὡς εὐτελεῖς τινας καὶ φαύλας, καὶ μηδὲν ἐπιφαίνοντας τεχνικὸν, ἐπειδὴ πρὸ τῶν Ἀριστοτέλους συνετάχθησαν τεχνῶν. οὐ μὴν ἔγωγε μέχρι τούτου προελθὼν, στήσομαι, ἀλλὰ καὶ τοὺς

Digitized by Google

αὐτοῦ λόγους μάλιστ' εὐδοκιμοῦντας ἐπιτούς τε δημηγορικοὺς καὶ τοὺς δικανικούς, ον ἀπηγγελμένους τῆς ἐκδόσεως τούτων τῶν , μάρτυρι πάλιν αὐτῷ χρώμενος Ἀριστοτέλει. ἀρ' ἄρχοντα Καλλίμαχον, ἐφ' οὗ τὰς εἰς ον βοηθείας ἀπέστειλαν Ἀθηναῖοι πεισθέν- Δημοσθένους, Θεόφιλός ἐστιν ἄρχων, καθ' τησε τῆς Ὀλυνθίων πόλεως Φίλιππος. ἔπειτο ικλῆς, ἐφ' οὗ τὴν ἕκτην τῶν κατὰ Φιλίππου ημηγυριῶν ἀπήγγειλε Δημοσθένης, περὶ τῆς φυλακῆς τῶν νησιατῶν καὶ τῶν ἐν Ἑλλησπόντῳ πόλεων, ἧς ἐστιν ἀρχή· „Ἃ μὲν ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, „δεδυνήμεθα εὑρεῖν, ταῦτ' ἔστι." Μετὰ δὲ Θεμιστοκλέα Ἀρχίας, ἐφ' οὗ παραινεῖ τοῖς Ἀθηναίοις, μὴ κωλύειν Φίλιππον τῆς Ἀμφικτυονίας μετέχειν, μηδ' ἀφορμὴν διδόναι πολέμου, νεωστὶ πεποιημένους τὴν πρὸς αὐτὸν εἰρήνην. ἀρχὴ δὲ ταύτης τῆς δημηγορίας ἐστὶν ἥδε· „Ὁρῶ μέν, ὦ ἄνδρες Ἀθη- „ναῖοι, τὰ παρόντα πράγματα." Μετὰ δ' Ἀρχίαν ἐστὶν Εὔβουλος, εἶτα Αυκίσκος, ἐφ' οὗ τὴν ἑβδόμην τῶν Φιλιππικῶν δημηγοριῶν διέθετο πρὸς τὰς ἐκ Πελοποννήσου πρεσβείας, ταύτην τὴν ἀρχὴν ποιησάμενος· „Ὅταν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγοι „γίγνωνται." Μετὰ Αυκίσκον ἐστὶν ἄρχων Πυθόδοτος, ἐφ' οὗ τὴν ὀγδόην τῶν Φιλιππικῶν δημηγοριῶν διέθετο πρὸς τοὺς Φιλίππου πρέσβεις, ἧς ἐστιν ἀρχή· „Ὦ ἄνδρες Ἀθηναῖοι, οὐκ ἔστιν, ὅπως αἱ „αἰτίαι." Καὶ τὸν κατ' Αἰσχίνου συνετάξατο λόγον, ὅτε τὰς εὐθύνας ἰδίδου τῆς δευτέρας πρεσβείας τῆς

Digitized by Google

„καὶ συνεπλήρωσαν.“ Ἔπειτα διεξελθὼν ὀλίγα τὰ μεταξὺ γενόμενα, τίθησι ταυτί· „Περὶ δὲ τὸν αὐ„τὸν χρόνον Χαλκιδέων, τῶν ἐπὶ Θρᾴκης, θλιβομέ„νων τῷ πολέμῳ, καὶ πρεσβευσαμένων Ἀθήναζε, „Χαρίδημον αὐτοῖς ἔπεμψαν οἱ Ἀθηναῖοι τὸν ἐν „Ἑλλησπόντῳ στρατηγόν· ὃς ἔχων ὀκτωκαίδεκα „τριήρεις καὶ πελταστὰς τετρακισχιλίους, ἱππεῖς δὲ „πεντήκοντα καὶ ἑκατόν, ἦλθεν εἴς τε Παλλήνην καὶ „τὴν Βοττιαίαν μετ' Ὀλυνθίων, καὶ τὴν χώραν „ἐπόρθησεν.“ Ἔπειθ' ὑπὲρ τῆς τρίτης συμμαχίας λέγει ταυτί· „Πάλιν δὲ τῶν Ὀλυνθίων πρέσβεις „ἀποστειλάντων εἰς τὰς Ἀθήνας, καὶ δεομένων, μὴ „περιϊδεῖν αὐτοὺς καταπολεμηθέντας, ἀλλὰ πρὸς „ταῖς ὑπαρχούσαις δυνάμεσι πέμψαι βοήθειαν, μὴ „ξενικὴν, ἀλλ' αὐτῶν Ἀθηναίων, ἔπεμψεν αὐτοῖς ὁ „δῆμος τριήρεις μὲν ἑτέρας ἑπτακαίδεκα, τῶν δὲ „πολιτῶν ὁπλίτας δισχιλίους καὶ ἱππεῖς τριακοσίους, „ἐν ναυσὶν ἱππηγοῖς, στρατηγὸν δὲ Χάρητα τοῦ „στόλου παντός.“

10. Ἀπόχρη μὲν οὖν καὶ ταῦτα ῥηθέντα φανερὰν ποιῆσαι τὴν φιλοτιμίαν τῶν ἀξιούντων, τὰς Ἀριστοτέλους ἐζηλακέναι τέχνας τὸν Δημοσθένη, ὃς ἤδη τέσσαρας μὲν ἔτυχεν εἰρηκὼς δημηγορίας Φιλιππικὰς, τρεῖς δὲ Ἑλληνικάς. περὶ δὲ ε' λόγους δημοσίους εἰς δικαστήρια γεγραφὼς, οὓς οὐδεὶς ἂν ἔχοι διαβαλεῖν, ὡς εὐτελεῖς τινας καὶ φαύλας, καὶ μηδὲν ἐπιφαίνοντας τεχνικὸν, ἐπειδὴ πρὸ τῶν Ἀριστοτέλους συνετάχθησαν τεχνῶν. οὐ μὴν ἔγωγε μέχρι τούτου προελθὼν, στήσομαι, ἀλλὰ καὶ τοὺς

Digitized by Google

ἄλλους αὐτοῦ λόγους μάλιστ' εὐδοκιμοῦντας ἐπιδείξω, τούς τε δημηγορικοὺς καὶ τοὺς δικανικούς, πρότερον ἀπηγγελμένους τῆς ἐκδόσεως τούτων τῶν τεχνῶν, μάρτυρι πάλιν αὐτῷ χρώμενος Ἀριστοτέλει. μετὰ γὰρ ἄρχοντα Καλλίμαχον, ἐφ' οὗ τὰς εἰς Ὄλυνθον βοηθείας ἀπέστειλαν Ἀθηναῖοι πεισθέντες ὑπὸ Δημοσθένους, Θεόφιλός ἐστιν ἄρχων, καθ' ὃν ἐκράτησε τῆς Ὀλυνθίων πόλεως Φίλιππος. ἔπειτο Θεμιστοκλῆς, ἐφ' οὗ τὴν ἕκτην τῶν κατὰ Φιλίππου δημηγοριῶν ἀπήγγειλε Δημοσθένης, περὶ τῆς φυλακῆς τῶν νησιατῶν καὶ τῶν ἐν Ἑλλησπόντῳ πόλεων, ἧς ἐστιν ἀρχή· „Ἃ μὲν ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, „δεδυνήμεθα εὑρεῖν, ταῦτ' ἔστι." Μετὰ δὲ Θεμιστοκλέα Ἀρχίας, ἐφ' οὗ παραινεῖ τοῖς Ἀθηναίοις, μὴ κωλύειν Φίλιππον τῆς Ἀμφικτυονίας μετέχειν, μηδ' ἀφορμὴν διδόναι πολέμου, νεωστὶ πεποιημένους τὴν πρὸς αὐτὸν εἰρήνην. ἀρχὴ δὲ ταύτης τῆς δημηγορίας ἐστὶν ἥδε· „Ὁρῶ μέν, ὦ ἄνδρες Ἀθη„ναῖοι, τὰ παρόντα πράγματα." Μετὰ δ' Ἀρχίαν ἐστὶν Εὔβουλος, εἶτα Αυκίσκος, ἐφ' οὗ τὴν ἑβδόμην τῶν Φιλιππικῶν δημηγοριῶν διέθετο πρὸς τὰς ἐκ Πελοποννήσου πρεσβείας, ταύτην τὴν ἀρχὴν ποιησάμενος· „Ὅταν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγοι „γίγνωνται." Μετὰ Αυκίσκον ἐστὶν ἄρχων Πυθόδοτος, ἐφ' οὗ τὴν ὀγδόην τῶν Φιλιππικῶν δημηγοριῶν διέθετο πρὸς τοὺς Φιλίππου πρέσβεις, ἧς ἐστιν ἀρχή· „Ὦ ἄνδρες Ἀθηναῖοι, σὺκ ἔστιν, ὅπως αἱ „αἰτίαι." Καὶ τὸν κατ' Αἰσχίνου συνετάξατο λόγον, ὅτε τὰς εὐθύνας ἐδίδου τῆς δευτέρας πρεσβείας τῆς

Digitized by Google

ἐπὶ τοὺς ὅρκους. Μετὰ Πυθόδοτόν ἐστι Σωσιγένης, ἐφ' οὗ τὴν ἐννάτην διελήλυθε κατὰ Φιλίππου δημηγορίαν, περὶ τῶν ἐν Χερρονήσῳ στρατιωτῶν, ἵνα μὴ διαλυθῇ τὸ μετὰ Διοπείθους ξενικόν, ἀρχὴν ἔχουσα ταύτην· „Ἔδει μέν, ὦ ἄνδρες Ἀθηναῖοι, „τοὺς λέγοντας ἅπαντας ἐν ὑμῖν μήτε πρὸς ἔχθραν „ποιεῖσθαι λόγων μηδένα, μήτε πρὸς χάριν.“ Καὶ κατὰ τὸν αὐτὸν ἄρχοντα τὴν δεκάτην, ἐν ᾗ πειρᾶται διδάσκειν, ὅτι λύει τὴν εἰρήνην Φίλιππος, καὶ πρότερος ἐκφέρει τὸν πόλεμον, ἧς ἐστιν ἀρχή· „Πολ„λῶν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγων γινομένων ὀλίγου „δεῖν καθ' ἑκάστην ἐκκλησίαν.“ Μετὰ Σωσιγένην ἄρχων ἐστὶ Νικόμαχος, ἐφ' οὗ τὴν ἑνδεκάτην δημηγορίαν διελήλυθε, περὶ τοῦ λελυκέναι τὴν εἰρήνην Φίλιππον, καὶ τοὺς Ἀθηναίους πείθει Βυζαντίοις ἀποστεῖλαι βοήθειαν, ἧς ἐστιν ἀρχή· „Καὶ σπου„δαῖα νομίζων, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ ὧν βου„λεύεσθε, καὶ ἀναγκαῖα τῇ πόλει, πειράσομαι περὶ „αὐτῶν εἰπεῖν.“ Ἐπὶ Νικομάχῳ Θεόφραστος ἄρχων, ἐφ' οὗ πείθει τοὺς Ἀθηναίους γενναίως ὑπομεῖναι τὸν πόλεμον, ὡς κατηγγελκότος αὐτὸν ἤδη Φιλίππου. καὶ ἔστιν αὕτη τελευταία τῶν κατὰ Φιλίππου δημηγοριῶν, ἀρχὴν ἔχουσα ταύτην· „Ὅτι „μέν, ὦ ἄνδρες Ἀθηναῖοι, Φίλιππος οὐκ ἐποιήσατο „τὴν εἰρήνην πρὸς ὑμᾶς, ἀλλ' ἀνεβάλετο τὸν πόλε„μον, πᾶσιν ὑμῖν φανερὸν γέγονεν.“

11. Ὅτι δὲ δώδεκα τούτους ἅπαντας τοὺς λόγους, οὓς κατηρίθμημαι, πρὸ τῆς ἐκδόσεως τῶν Ἀριστοτέλους τεχνῶν ἀπήγγειλεν ὁ Δημοσθένης, αὐτὸν

Digitized by Google

Ἀριστοτέλη παρίξομαι μαρτυροῦντα. ἀρξάμενος γὰρ ἐν τῇ δευτέρᾳ βίβλῳ τῶν τεχνῶν τοὺς τόπους ὁρίζειν, ἀφ' ὧν τὰ ἐνθυμήματα φέρεται, καὶ τὸν ἐκ τοῦ χρόνου παραλαμβάνει, παρατιθεὶς αὐτῷ τὰ παραδείγματα. θήσω δ' αὐτὴν τὴν τοῦ φιλοσόφου λέξιν· „Ἄλλος εἰς τὸν χρόνον σκοπεῖ· οἷον, ὡς „Ἰφικράτης ἐν τῇ πρὸς Ἁρμόδιον, ὅτι, Εἰ, πρὶν „ποιῆσαι, ἠξίουν τῆς εἰκόνος τυχεῖν, ἐὰν ποιήσω, „ἔδοτε ἄν· ποιήσαντι δ' [ἆρ'] οὐ δώσετε; μὴ τοί- „νυν μέλλοντες μέν, ὑπισχνεῖσθε· παθόντες δ', „ἀφαιρεῖσθε. καὶ πάλιν, πρὸς τὸ διὰ Θηβαίων διϊέ- „ναι Φίλιππον εἰς τὴν Ἀττικήν, ὅτι, Εἰ, πρὶν βοη- „θῆσαι Φωκεῖς, ἠξίου, ὑπέσχοντο ἄν· ἄτοπον οὖν, „εἰ, διότι προεῖτο καὶ διέαπευσεν, μὴ δώσουσιν.“ Ὁ δὲ χρόνος οὗτος, ἐν ᾧ Φίλιππος ἠξίου Θηβαίους ἐπὶ τὴν Ἀττικὴν αἰτῷ δοῦναι δίοδον, ὑπερμιμνήσκων τῆς ἐν τῷ πρὸς Φωκεῖς πολέμῳ γενομένης βοηθείας, ἐκ τῆς κοινῆς γίνεται φανερὸς ἱστορίας. εἶχε γὰρ οὕτως. Μετὰ τὴν Ὀλυνθίων ἅλωσιν, ἄρχοντος Θεμιστοκλέους, συνθῆκαι Φιλίππῳ πρὸς Ἀθηναίους ἐγένοντο περὶ φιλίας καὶ συμμαχίας. αὗται διέμειναν ἐπταετῆ χρόνον ἄχρι Νικομάχου· ἐπὶ δὲ Θεοφράστου, τοῦ μετὰ Νικόμαχον ἄρξαντος, λύθησαν, Ἀθηναίων μὲν Φίλιππον αἰτιωμένων ἄρχειν τοῦ πολέμου, Φιλίππου δ' Ἀθηναίοις ἐγκαλοῦντος. τὰς δ' αἰτίας, δι' ἃς εἰς τὸν πόλεμον κατέστησαν, ἀδικεῖσθαι λέγοντες ἀμφότεροι, καὶ τὸν χρόνον, ἐν ᾧ τὴν εἰρήνην ἔλυσαν, ἀκριβῶς δηλοῖ Φιλόχορος ἐν τῇ ἕκτῃ Ἀτθίδος βίβλῳ. θήσω δ' ἐξ

Digitized by Google

αὐτῆς τὰ ἀναγκαιότατα· „Θεόφραστος Ἀλλαιεὺς
„ἐπὶ τούτου Φίλιππος τὸ μὲν πρῶτον ἀναπλεύσας,
„Περίνθῳ προσέβαλεν· ἀποτυχὼν δ' ἐντεῦθεν Βυ-
„ζάντιον ἐπολιόρκει, καὶ μηχανήματα προσῆγεν."
Ἔπειτα διεξελθών, ὅσα τοῖς Ἀθηναίοις ὁ Φίλιππος
ἐνεκάλει διὰ τῆς ἐπιστολῆς, καὶ Δημοσθένους παρα-
καλέσαντος αὐτοὺς πρὸς τὸν πόλεμον καὶ ψηφίσμα-
τα γράψαντος, ἐχειροτόνησε, „Τὴν μὲν στήλην
„καθελεῖν τὴν περὶ τῆς πρὸς Φίλιππον εἰρήνης καὶ
„συμμαχίας σταθεῖσαν, ναῦς δὲ πληροῦν, καὶ τὰ
„ἄλλα ἐνεργεῖν τὰ τοῦ πολέμου." Ταῦτα γράψας
κατὰ Θεόφραστον ἄρχοντα γεγονέναι, τῷ μετ' ἐκεῖ-
νον ἐν αὐτῷ τὰ πραχθέντα μετὰ τὴν λύσιν τῆς εἰρή-
νης ἐπὶ Λυσιμαχίδου ἄρχοντος διεξέρχεται. θήσω
δὲ καὶ τούτων αὐτῶν τὰ ἀναγκαιότατα· „Λυσιμα-
„χίδης Ἀχαρνεύς. ἐπὶ τούτου τὰ μὲν ἔργα τὰ περὶ
„τοὺς νεωσοίκους καὶ τὴν σκευοθήκην ἀνεβάλοντο
„διὰ τὸν πόλεμον τὸν πρὸς Φίλιππον· τὰ δὲ χρή-
„ματ' ἐψηφίσαντο πάντ' εἶναι στρατιωτικά, Δημο-
„σθένους γράψαντος. Φιλίππου δὲ καταλαβόντος
„Ἐλάτειαν καὶ Κυτίνιον, καὶ πρέσβεις πέμψαντος
„εἰς Θήβας Θετταλῶν, Αἰνιάνων, Αἰτωλῶν, Δολό-
„πων, Φθιωτῶν· Ἀθηναίων δὲ κατὰ τὸν αὐτὸν
„χρόνον πρέσβεις ἀποστειλάντων τοὺς περὶ Δημο-
„σθένη, τούτοις συμμαχεῖν ἐψηφίσατο." Φανεροῦ
δὲ γεγονότος τοῦ χρόνου, καθ' ὃν εἰσῆλθον εἰς Θή-
βας οἵ τ' Ἀθηναίων πρέσβεις οἱ περὶ Δημοσθένη,
καὶ οἱ παρὰ Φιλίππου, ὅτι κατὰ Λυσιμαχίδην ἄρ-
χοντα πίπτει, παρευκευασμένων ἤδη τὰ πρὸς τὸν

Digitized by Google

πόλεμον ἀμφοτέρων, αὐτὸς δ' ὁ Δημοσθένης ποιήσει φανερὸν ἐν τῷ περὶ στεφάνου. θήσω δ' ἐξ αὐτῆς λαβὼν τῆς ἐκείνου λέξεως τὰ συντείνοντα πρὸς τὸ πρᾶγμα· „Οὕτω διαθεὶς ὁ Φίλιππος τὰς πόλεις „πρὸς ἀλλήλας διὰ τούτων, καὶ τούτοις ἐπαρθεὶς „τοῖς ψηφίσμασι καὶ ταῖς ἀποκρίσεσιν, ἦκεν ἔχων „τὴν δύναμιν, καὶ τὴν Ἐλάτειαν κατέλαβεν, ὡς οὐδ', „ἂν, εἴ τι γένοιτο, ἔτι συμπνευσόντων ἡμῶν ἂν καὶ „τῶν Θηβαίων." Ἀλλὰ μὴν τὰ τότε συμβάντα διεξελθὼν, διεξελθὼν δὲ καὶ τοὺς ῥηθέντας ὑφ' ἑαυτοῦ λόγους ἐπὶ τῆς ἐκκλησίας, καὶ ὡς πρεσβευτὴς ὑπ' Ἀθηναίων εἰς Θήβας ἐπέμφθη, ταῦτα κατὰ λέξιν ἐπιτίθησιν· „Ὡς δ' ἀφικόμεθα εἰς τὰς Θήβας, „κατελαμβάνομεν Φιλίππου καὶ Θετταλῶν καὶ τῶν „ἄλλων συμμάχων παρόντας πρέσβεις, καὶ τοὺς μὲν „ἡμετέρους φίλους ἐν φόβῳ, τοὺς δ' ἐκείνου θρα„σεῖς." Ἔπειτ' ἐπιστολήν τινα κελεύσας ἀναγνωσθῆναι, ταῦτ' ἐπιτίθησιν· „Ἐπειδὴ τοίνυν ἐποιή„σαντο τὴν ἐκκλησίαν, προσῆγον ἐκείνους, διὰ τὸ „τὴν τῶν συμμάχων τάξιν ἐκείνους ἔχειν. καὶ παρ„ιόντες ἐδημηγόρουν; πολλὰ μὲν Φίλιππον ἐγκω„μιάζοντες, πολλὰ δ' ὑμῖν ἐγκαλοῦντες, πάνθ', ὅσα „πώποτε ἐναντία ἐπράξατε Θηβαίοις, ἀναμιμνή„σκοντες. τὸ δ' οὖν κεφάλαιον, ἠξίουν, ὧν μὲν εὖ „πεπόνθεσαν ὑπὸ Φιλίππου, χάριν αὐτοὺς ἀπο„δοῦναι· ὧν δ' ὑφ' ὑμῶν ἠδικήνται, δίκην λαβεῖν, „ὁποτέρως βούλονται, ἢ διιέντας αὐτοὺς ἐφ' ὑμᾶς, „ἢ συνεμβαλόντας εἰς τὴν Ἀττικήν." Ἐπὶ δὴ κατὰ Λυσιμαχίδην μὲν ἄρχοντα, τὸν μετὰ Θεόφραστον,

Digitized by Google

αὐτῆς τὰ ἀναγκαιότατα· „Θεόφραστος Ἀλλαιεύς. „ἐπὶ τούτου Φίλιππος τὸ μὲν πρῶτον ἀναπλεύσας, „Περίνθῳ προσέβαλεν· ἀποτυχὼν δ' ἐντεῦθεν Βυ„ζάντιον ἐπολιόρκει, καὶ μηχανήματα προσῆγεν." Ἔπειτα διεξελθών, ὅσα τοῖς Ἀθηναίοις ὁ Φίλιππος ἐνεκάλει διὰ τῆς ἐπιστολῆς, καὶ Δημοσθένους παρακαλέσαντος αὐτοὺς πρὸς τὸν πόλεμον καὶ ψηφίσματα γράψαντος, ἐχειροτόνησε, „Τὴν μὲν στήλην „καθελεῖν τὴν περὶ τῆς πρὸς Φίλιππον εἰρήνης καὶ „συμμαχίας σταθεῖσαν, ναῦς δὲ πληροῦν, καὶ τὰ „ἄλλα ἐνεργεῖν τὰ τοῦ πολέμου." Ταῦτα γράψας κατὰ Θεόφραστον ἄρχοντα γεγονέναι, τῷ μετ' ἐκεῖνον ἐν αὐτῷ τὰ πραχθέντα μετὰ τὴν λύσιν τῆς εἰρήνης ἐπὶ Λυσιμαχίδου ἄρχοντος διεξέρχεται. θήσω δὲ καὶ τούτων αὐτῶν τὰ ἀναγκαιότατα· „Λυσιμα„χίδης Ἀχαρνεύς. ἐπὶ τούτου τὰ μὲν ἔργα τὰ περὶ „τοὺς νεωσοίκους καὶ τὴν σκευοθήκην ἀνεβάλοντο „διὰ τὸν πόλεμον τὸν πρὸς Φίλιππον· τὰ δὲ χρή„ματ' ἐψηφίσαντο πάντ' εἶναι στρατιωτικά, Δημο„σθένους γράψαντος. Φιλίππου δὲ καταλαβόντος „Ἐλάτειαν καὶ Κυτίνιον, καὶ πρέσβεις πέμψαντος „εἰς Θήβας Θετταλῶν, Αἰνιάνων, Αἰτωλῶν, Δολό„πων, Φθιωτῶν· Ἀθηναίων δὲ κατὰ τὸν αὐτὸν „χρόνον πρέσβεις ἀποστειλάντων τοὺς περὶ Δημο„σθένη, τούτοις συμμαχεῖν ἐψηφίσατο." Φανεροῦ δὲ γεγονότος τοῦ χρόνου, καθ' ὃν εἰσῆλθον εἰς Θήβας οἵ τ' Ἀθηναίων πρέσβεις οἱ περὶ Δημοσθένη, καὶ οἱ παρὰ Φιλίππου, ὅτι κατὰ Λυσιμαχίδην ἄρχοντα πίπτει, παρεσκευασμένων ἤδη τὰ πρὸς τὸν

Digitized by Google

πόλεμον ἀμφοτέρων, αὐτὸς δ' Δημοσθένης ποιήσει φανερὸν ἐν τῷ περὶ στεφάνου. θήσω δ' ἐξ αὐτῆς λαβὼν τῆς ἐκείνου λέξεως τὰ συντείνοντα πρὸς τὸ πρᾶγμα· „Οὕτω διαθεὶς ὁ Φίλιππος τὰς πόλεις „πρὸς ἀλλήλας διὰ τούτων, καὶ τούτοις ἐπαρθεὶς „τοῖς ψηφίσμασι καὶ ταῖς ἀποκρίσεσιν, ἦκεν ἔχων „τὴν δύναμιν, καὶ τὴν Ἐλάτειαν κατέλαβεν, ὡς οὐδ', „ἂν, εἴ τι γένοιτο, ἅτε συμπνευσόντων ἡμῶν ἂν καὶ „τῶν Θηβαίων." Ἀλλὰ μὴν τὰ τότε συμβάντα διεξελθὼν, διεξελθὼν δὲ καὶ τοὺς ῥηθέντας ὑφ' ἑαυτοῦ λόγους ἐπὶ τῆς ἐκκλησίας, καὶ ὡς πρεσβευτὴς ὑπ' Ἀθηναίων εἰς Θήβας ἐπέμφθη, ταῦτα καινὰ λέξιν ἐπιτίθησιν· „Ὡς δ' ἀφικόμεθα εἰς τὰς Θήβας, „κατελαμβάνομεν Φιλίππου καὶ Θετταλῶν καὶ τῶν „ἄλλων συμμάχων παρόντας πρέσβεις, καὶ τοὺς μὲν „ἡμετέρους φίλους ἐν φόβῳ, τοὺς δ' ἐκείνου θρα„σεῖς." Ἔπειτ' ἐπιστολήν τινα κελεύσας ἀναγνωσθῆναι, ταῦτ' ἐπιτίθησιν· „Ἐπειδὴ τοίνυν ἐποιή„σαντο τὴν ἐκκλησίαν, προσῆγον ἐκείνους, διὰ τὰ „τὴν τῶν συμμάχων τάξιν ἐκείνους ἔχειν. καὶ παρ„ιόντες ἐδημηγόρουν; πολλὰ μὲν Φίλιππον ἐγκω„μιάζοντες; πολλὰ δ' ὑμῖν ἐγκαλοῦντες, πάνθ', ὅσα „πώποτε ἐναντία ἐπράξατε Θηβαίοις, ἀναμιμνή„σκοντες. τὸ δ' οὖν κεφάλαιον, ἠξίουν, ὧν μὲν εὖ „πεπόνθεσαν ὑπὸ Φιλίππου, χάριν αὐτοὺς ἀπο„δοῦναι· ὧν δ' ὑφ' ὑμῶν ἠδικηνται, δίκην λαβεῖν, „ὁποτέρως βούλονται, ἢ διέντας αὐτοὺς ἐφ' ὑμᾶς, „ἢ συνεμβιβάντας εἰς τὴν Ἀττικήν." Ἐπὶ δὴ κατὰ Λυσιμαχίδην μὲν ἄρχοντα, τὸν μετὰ Θεόφραστον,

Digitized by Google

λελυμένης ἤδη τῆς εἰρήνης, οἱ παρὰ Φιλίππου πρέσβεις εἰς Θήβας ἀπεστάλησαν, παρακαλοῦντες αὐτοὺς μάλιστα μὲν συνεισβάλλειν εἰς τὴν Ἀττικήν, εἰ δὲ μή, δίοδον τῷ Φιλίππῳ παρασχεῖν, μεμνημένους τῶν εὐεργεσιῶν αὐτοῦ τῶν περὶ τὸν Φωκικὸν πόλεμον· ταύτης δὲ μέμνηται τῆς πρεσβείας Ἀριστοτέλης, ὡς ὀλίγῳ πρότερον ἐπέδειξα, τὰς ἐκείνου λέξεις παρασχόμενος· ἀναμφιλόγοις ἀποδέδεικται τεκμηρίοις, ὅτι πάντες οἱ Δημοσθένους ἀγῶνες, οἳ πρὸ τῆς Λυσιμαχίδου ἀρχῆς ἐν ἐκκλησίαις τε καὶ δικαστηρίοις γενόμενοι, πρότεροι τῶν Ἀριστοτέλους τεχνῶν [εἰσιν.]

12. Ἑτέραν προσθήσω μαρτυρίαν παρὰ τοῦ φιλοσόφου λαβών, ἐξ ἧς ἔτι μᾶλλον ἔσται φανερόν, ὅτι μετὰ τὸν πόλεμον, τὸν συμβάντα τοῖς Ἀθηναίοις πρὸς Φίλιππον, αἱ ῥητορικαὶ συνετάχθησαν ὑπ' αὐτοῦ τέχναι, Δημοσθένους ἀκμάζοντος ἤδη κατὰ τὴν πολιτείαν, καὶ πάντας εἰρηκότος τοὺς τε δημηγορικοὺς καὶ τοὺς δικανικοὺς λόγους, ὧν ὀλίγῳ πρότερον ἐμνήσθην. διεξιὼν γὰρ τοὺς τόπους τῶν ἐνθυμημάτων ὁ φιλόσοφος, καὶ τὸν ἐκ τῆς αἰτίας εἴθησι, παρέξομαι δὲ τὴν ἐκείνου λέξιν· „Ἄλλος, „παρὰ τὸ ἀναίτιον, ὡς αἴτιον· οἷον τῷ ἅμα, ἢ μετὰ „τοῦτο, γεγονέναι. τὰ γὰρ μετὰ τοῦτο ὡς διὰ τοῦτο „λαμβάνουσι, καὶ μάλιστα οἱ ἐν ταῖς πολιτείαις· ὡς „ὁ Δημάδης τὴν Δημοσθένους πολιτείαν πάντων „τῶν κακῶν αἰτίαν· μετ' ἐκείνην γὰρ συνέβη ὁ πό„λεμος.“ Ποίους οὖν ὁ Δημοσθένης κατεσκεύασεν ἀγῶνας, ταῖς Ἀριστοτελείοις τέχναις ὁδηγοῖς χρησά-

Digitized by Google

μενος, εἰ πάντες οἱ δημόσιοι λόγοι, δι' οὓς ἐπαινεῖται τε καὶ θαυμάζεται, πρὸ τοῦ πολέμου γεγόνασιν, ὡς πρότερον ἐπέδειξα, πλὴν ἑνὸς τοῦ περὶ τοῦ στεφάνου; αὐτὸς γὰρ μόνος εἰς δικαστήριον εἰσελήλυθειν μετὰ τὸν πόλεμον, ἐπ' Ἀριστοφῶντος ἄρχοντος ὀγδόῳ μὲν ἐνιαυτῷ μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην, ἕκτῳ δὲ μετὰ τὴν Φιλίππου τελευτήν, καθ' ἣν χρόνον Ἀλέξανδρος τὴν ἐν Ἀρβήλοις ἐνίκα μάχην. εἰ δέ τις ἐρεῖ τῶν πρὸς ἅπαντα φιλονεικούντων, ὅτι τοῦτον ἄνωθεν ἔγραψε τὸν λόγον ταῖς Ἀριστοτέλους ἐντετυχηκὼς τέχναις, τὸν κράτιστον ἁπάντων λόγον· πολλὰ πρὸς αὐτὸν εἰπεῖν ἔχων, ἵνα μὴ μακρότερος τοῦ δέοντος ὁ λόγος γένηταί μοι, καὶ τοῦτον ἐπιδείξειν ὑπισχνοῦμαι τὸν ἀγῶνα πρὸ τῶν Ἀριστοτέλους τεχνῶν ἐπιτετελεσμένον, αὐτῷ χρησάμενος τῷ φιλοσόφῳ μάρτυρι. προθεὶς γὰρ τόπον ἐνθυμημάτων τὸν ἐκ τῶν πρὸς ἄλληλα, ταῦτα κατὰ λέξιν γράφει· „Ἄλλος ἐκ τῶν πρὸς ἄλληλα. Εἰ γὰρ θατέρῳ „ὑπάρχει τὸ καλῶς καὶ τὸ δικαίως ποιῆσαι, θατέρῳ „τὸ πεπονθέναι· καὶ, Εἰ κελεῦσαι, καὶ τὸ πεποιη„κέναι· οἷον, ὡς ὁ τελώνης Διομέδων, περὶ τῶν τε„λωνῶν· Εἰ γὰρ μηδ' ὑμῖν αἰσχρὸν τὸ πωλεῖν, οὐδὲ „ἡμῖν τὸ ὠνεῖσθαι· καὶ, Εἰ τῷ πεπονθότι τὸ κα„λῶς καὶ δικαίως ὑπάρχει, τῷ πεπραγμένῳ ὑπάρξει, „καὶ τῷ ποιήσαντι, ἢ ποιοῦντι. ἔστι δ' ἐν τούτῳ „παραλογίσασθαι. Οὐ γὰρ, εἰ δικαίως ἔπαθεν ἄν, „καὶ δικαίως ὑπὸ τούτου πέπονθεν· ὡς ὁ φρόνου „ἄξια ποιήσας πατὴρ, εἰ ὑπὸ τοῦ υἱοῦ τοῦ ἑαυτοῦ

Digitized by Google

„τὴν ἐπὶ θανάτῳ ἀπάγεται, δεῖ σκοπεῖν χωρὶς, εἰ „ἄξιος ὁ παθὼν παθεῖν, καὶ ὁ ποιήσας παιῆσαι· „εἶτα χρῆσθαι ὁποτέρως ἂν ἁρμόσῃ. ἐνίοτε γὰρ „διαφωνεῖ τὸ τοιοῦτον· ὥσπερ ἐν τῷ Ἀλκμαίωνι „τοῦ Θεοδέκτου, καὶ οἷον ἡ περὶ Δημοσθένους δί„κη, καὶ τῶν ἀποκτεινάντων Νικάνορα." Τίς οὖν ἐστιν ἡ Δημοσθένους δίκη, καὶ τῶν ἀποκτεινάντων Νικάνορα, περὶ ἧς ὁ φιλόσοφος γέγραφεν, ἐν ᾗ τὸ κυριώτατον τῆς ἀμφισβητήσεως κεφάλαιον ἦν ἐκ τοῦ πρὸς ἄλληλα τόπου, ἢ ἡ πρὸς Αἰσχίνην, ὑπὲρ Κτησιφῶντος, τοῦ παρασχόντος Δημοσθένει τὸ περὶ τοῦ στεφάνου ψήφισμα, καὶ τὴν τῶν παρανόμων φεύγοντος γραφήν; ἐν ταύτῃ γὰρ τὸ ζητούμενον ἦν, οὐ τὸ κοινὸν, εἰ τιμῶν καὶ στεφάνων ἄξιος ἦν Δημοσθένης, ἐπιδιδοὺς ἐκ τῶν ἰδίων κτημάτων τὴν εἰς τὰ τείχη δαπάνην· ἀλλ' εἰ καθ' ὃν χρόνον ὑπεύθυνος ἦν, κωλύοντος τοῦ νόμου τοὺς ὑπευθύνους στεφανοῦν. τὸ γὰρ ἐκ τῶν πρὸς ἄλληλα τοῦτ' ἔστιν, εἰ, ὥσπερ τῷ δήμῳ τὸ δοῦναι, οὕτως καὶ τῷ ὑπευθύνῳ τὸ λαβεῖν τὸν στέφανον ἐξῆν. ἐγὼ μὲν οὖν ταύτης οἶμαι τῆς δίκης μεμνῆσθαι τὸν Ἀριστοτέλη. εἰ δέ τις ἐρεῖ, ὅτι περὶ τῆς τῶν δώρων, ἣν ἐπ' Ἀντικλέους ἄρχοντος ἀπελογήσατο, περὶ τὴν Ἀλεξάνδρου τελευτὴν, πολλῶν νεωτέρας ἔτι ποιήσει τὰς Ἀριστοτέλους τέχνας τῶν Δημοσθένους ἀγώνων. ἀλλὰ γὰρ ὅτι μὲν οὐχ ὁ ῥήτωρ παρὰ τοῦ φιλοσόφου τὰς τέχνας παρέλαβεν, ἃς εἰς τοὺς θαυμαστοὺς ἐκείνους κατεσκεύασε λόγους,

Digitized by Google

ἀλλὰ τοὐναντίον τὰ Δημοσθένους καὶ τὰ τῶν ἄλλων ῥητόρων ἔργα παραθέμενος Ἀριστοτέλης, ταύτας ἔγραψε τὰς τέχνας, ἱκανῶς ἀποδειξθαι νομίζων.

Digitized by Google

ΔΙΟΝΥΣΙΟΥ
ΤΟΥ
ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ
ΠΡΟΣ
ΓΝΑΙΟΝ ΠΟΜΠΗΙΟΝ ΕΠΙΣΤΟΛΗ.

ΔΙΟΝΥΣΙΟΣ ΓΝΑΙΩι ΠΟΜΠΗΙΩι

ΧΑΙΡΕΙΝ.

Ἐπιστολήν τινα παρά σου κομισθεῖσαν ἐδεξάμην, εὐπαίδευτόν τε καὶ πάνυ μοι κεχαρισμένην· ἐν ᾗ γράφεις, ὅτι, τὰς συντάξεις τὰς ἐμὰς ἐπιχορηγοῦντός σοι Ζήνωνος, τοῦ κοινοῦ φίλου, διαπορευόμενος, καὶ πάνυ διατιθέμενος οἰκείως ἐν αὐταῖς, τὰ μὲν ἄλλα θαυμάζεις, ἑνὶ δὲ μέρει δυσχεραίνεις τῶν ἐν αὐταῖς κατακεχωρισμένων, τῇ Πλάτωνος κατηγορίᾳ. ὅτι μὲν οὖν σεβαστικῶς διάκεισαι πρὸς τὸν ἄνδρα, ὀρθῶς ποιεῖς· ὅτι δὲ περὶ ἡμῶν ταῦτα ὑπείληφας, οὐκ ὀρθῶς. εἰ γάρ τις ἄλλος ἐκπλήττεται ταῖς Πλατωνικαῖς ἑρμηνείαις, εὖ ἴσθι, νῦν κἀγὼ τούτων εἷς εἰμι. ὃ δὲ πέπονθα πρὸς ἅπαντας, ὅσοι τὰς αὐτῶν ἐπινοίας εἰς τὴν κοινὴν φέρουσιν ὠφέλειαν, ἐπανορθοῦντες ἡμῶν βίους τε καὶ λόγους, ἐρῶ σοι·

Digitized by Google

καὶ πείσω γε νὴ Δία πιστεύειν καινὸν οὐδὲν ἐρεῖν, οὐδὲ παράδοξον, οὐδ' ὃ μὴ πᾶσιν ὁμοίως δοκεῖ.

Ἐγὼ οὖν νομίζω δεῖν, ὅταν μὲν ἔπαινον προείληται γράφειν τις πράγματος, εἴτε σώματος ὁποιουγέτινος, τὰς ἀρετὰς αὐτοῦ, καὶ οὐ τὰ ἀτυχήματα, εἴ τι πρόσεστι τῷ πράγματι, ἢ τῷ σώματι, δεῖν προφέρειν· ὅταν δὲ βουληθῇ διαγνῶναι, τί τὸ κράτιστον ἐν ὁτῳοῦν βίῳ, καὶ τί τὸ βέλτιστον τῶν ὑπὸ ταὐτὸ γένος ἔργων, τὴν ἀκριβεστάτην ἐξέτασιν προφέρειν, καὶ μηδὲν παραλείπειν τῶν προσόντων αὐτοῖς, εἴτε κακῶν, εἴτ' ἀγαθῶν· ἡ γὰρ ἀλήθεια οὕτως εὑρίσκεται μάλιστα, ἧς οὐδὲν χρῆμα τιμιώτερον. τοῦτο δὲ προθέμενος, ἐκεῖνο λέγω. εἰ μέν ἐστί μοι κατὰ Πλάτωνος λόγος τις, καταδρομὴν περιέχων τοῦ ἀνδρὸς, ὥσπερ Ζωΐλῳ, τῷ ῥήτορι, ἀσεβεῖν ὁμολογῶ· καὶ εἴ γε βουληθεὶς ἐγκώμιον αὐτοῦ γράφειν, λόγους τινὰς συγκαταπλέκω τοῖς ἐπαίνοις νόμους. οὐ γὰρ ὅτι διαβολὰς οἴομαι δεῖν γράφειν ἐν αὐτοῖς, ἀλλ' οὐδ' ἀπολογίας. εἰ δὲ χαρακτῆρας λόγου προειλόμενος σκοπεῖν, καὶ τοὺς πρωτεύοντας ἐν αὐτοῖς φιλοσόφους τε καὶ ῥήτορας ἐξετάζειν, τρεῖς μὲν ἐξ ἁπάντων ἐξελιξάμην, τοὺς δοκοῦντας εἶναι λαμπροτάτους, Ἰσοκράτην τε, καὶ Πλάτωνα, καὶ Δημοσθένη, ἐκ δὲ τούτων αὐτῶν πάλιν προέκρινα Δημοσθένη, οὐδὲν ᾤμην, οὔτε Πλάτωνα, οὔτ' Ἰσοκράτην, ἀδικεῖν.

Νὴ Δία, φησίν· ἀλλ' οὐκ ἔδεισε τὰ Πλάτωνος ἁμαρτήματα ἐξελέγχειν, βουλόμενον ἐπαινεῖν Δημοσθένην· ἔπειτα πῶς ἄν μοι τὴν ἀκριβεστάτην βάσα-

Digitized by Google

κον ὁ λόγος ἔλαβεν, εἰ μὴ τοὺς ἀρίστους λόγους τῶν Ἰσοκράτους τε καὶ Πλάτωνος τοῖς κρατίστοις Δημοσθένους ἀντιπαρέθηκα, καὶ καθ' ὃ μέρος ἧττους οἱ τούτων λόγοι εἰσὶ τῶν ἐκείνου, μετὰ πάσης ἀληθείας ἐπέδειξα· οὐχ ἅπαντα τοῖς ἀνδράσιν ἐκείνοις ἡμάρτῆσθαι λέγων· μανίας γὰρ τοῦτό γε· ἀλλ' οὐδ' ἅπαντα ἐπίσης κατωρθῶσθαι. εἰ δὲ τοῦτ' οὐκ ἐποίουν, ἐπῄνουν δὲ Δημοσθένην, πάσας διεξιὼν αὐτοῦ τὰς ἀρετάς, ὡς μὲν ἀγαθὸς ὁ ῥήτωρ, ἔπεισα πάντως ἂν τοὺς ἀναγνωσομένους· ὡς δὲ καὶ κράτιστος πάντων τῶν πρωτευσάντων περὶ λόγους, οὐκ ἂν ἔπεισα, μὴ παρατιθεὶς αὐτῷ τοὺς ἀρίστους. πολλὰ γὰρ τῶν καθ' αὑτὰ φαινομένων καλῶν καὶ θαυμαστῶν, ἑτέροις ἀντιπαρατεθέντα κρείττοσιν, ἐλάττω τῆς δόξης ἐφάνη. οὕτω γέ τοι καὶ χρυσὸς, ἑτέρῳ χρυσῷ παρατεθεὶς, κρείττων τε καὶ χείρων εὑρίσκεται, καὶ πᾶν ἄλλο χειρούργημα, καὶ ὅσων ἐνάργεια τὸ τέλος.

Εἰ δ' ἀχάριστον ὑπολήψεταί τις ἐν τοῖς πολιτικοῖς λόγοις τὴν ἐκ τῆς συγκρίσεως ἐξέτασιν, καὶ καθ' ἑαυτὸ ἕκαστον ἀξιώσει σκοπεῖν, οὐδὲν κωλύσει τὸ αὐτὸ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ποιεῖν, καὶ μήτε ποίησιν ἀντιξετάζειν ἑτέρᾳ ποιήσει, μηθ' ἱστορικὴν σύνταξιν ἑτέρᾳ συντάξει, μήτε πολιτείαν πολιτείᾳ, μὴ νόμον νόμῳ, μὴ στρατηγὸν στρατηγῷ, μὴ βασιλεῖ βασιλέα, μὴ βίῳ βίον, μὴ δόγματι δόγμα· τοῦτο δ' οὐκ ἄν τις συγχωρήσειε νοῦν ἔχων. εἰ δὲ δεῖ καὶ τὰς ἐκ τῶν μαρτυριῶν παρασχέσθαι σοι πίστεις, ἐξ ὧν μᾶλλόν σοι γενήσεται καταφανὲς, ὅτι κράτιστος ἐλέγχου τρόπος ὁ κατὰ σύγκρισιν γινόμενος,

Digitized by Google

ἀφεὶς τοὺς ἄλλους, αὐτῷ χρήσομαι μάρτυρι Πλάτωνι. βουληθεὶς γὰρ ὁ ἀνὴρ ἐπιδείξασθαι τὴν αὐτοῦ δύναμιν, ἣν εἶχεν ἐν τοῖς πολιτικοῖς λόγοις, οὐκ ἠρκέσθη ταῖς ἄλλαις γραφαῖς, ἀλλὰ καὶ κράτιστον τῶν τότε ῥητόρων ἕτερον αὐτὸς ἐν τῷ Φαίδρῳ συνετάξατο λόγον, ἐρωτικὸν εἰς τὴν ὑπόθεσιν. καὶ οὐδ' ἄχρι τούτου προελθὼν ἐπαύσατο, καταλιπὼν ἐν τοῖς ἀναγνωσομένοις τὴν διάγνωσιν, ὁπότερός ἐστι κρείττων λόγος· ἀλλὰ καὶ τῶν ἁμαρτημάτων ἥψατο τῶν Λυσίου, τὰς μὲν λεκτικὰς μαρτυρῶν τῷ ἀνδρὶ ἀρετάς, τῶν δὲ πραγματικῶν ἐπιλαμβανόμενος. ὁπότ' οὖν Πλάτων, τὸ φορτικώτατον καὶ ἐπαχθέστατον τῶν ἔργων προελόμενος, αὐτὸν ἐπαινεῖν κατὰ τὴν δύναμιν τῶν λόγων, οὐδὲν ᾤετο ποιεῖν κατηγορίας ἄξιον, εἰ παρὰ τὸν ἄριστον τῶν τότε ῥητόρων τοὺς ἰδίους ἐξετάζειν ἠξίου λόγους, ἐπιδεικνύμενος Λυσίαν τε ἐν οἷς ἡμάρτηκε, καὶ ἑαυτὸν ἐν οἷς κατώρθωκε, τί θαυμαστὸν ἐποίουν ἐγὼ τοῖς Δημοσθένους λόγοις συγκρίνων τοὺς Πλάτωνος, καὶ εἴ τι μὴ καλῶς ἐν αὐτοῖς ἔχειν ᾠμην, ἐπιλογιζόμενος; ἐῶ γὰρ τὰς ἄλλας αὐτοῦ γραφὰς παραφέρειν, ἐν αἷς κωμῳδεῖ τοὺς πρὸ ἑαυτοῦ, Παρμενίδην τε, καὶ Ἱππίαν, καὶ Πρωταγόραν, καὶ Πρόδικον, καὶ Γοργίαν, καὶ Πῶλον, καὶ Θεόδωρον, καὶ Θρασύμαχον, καὶ ἄλλους συχνούς, οὐκ ἀπὸ τοῦ βελτίστου πάντα περὶ αὐτῶν γράφων, ἀλλ', εἰ βούλει, καὶ ἀπὸ φιλοτιμίας. ἦν γὰρ, ἦν μὲν τῇ Πλάτωνος φύσει πολλὰς ἀρετὰς ἐχούσῃ τὸ φιλότιμον. ἐδήλωσε δὲ τοῦτο μάλιστα διὰ τῆς πρὸς Ὅμηρον ζηλοτυπίας, ὑφ' ἧς ἐκ τῆς κατασκευα-

Digitized by Google

ζομένης ὑπ' αὐτοῦ πολιτείας ἐκβάλλει, στεφανώσας καὶ μύρῳ χρίσας· ὡς δὴ τούτων αὐτῷ δίον ἐκβαλλομένῳ, δι' ὃν ἡ τ' ἄλλη παιδεία πᾶσα παρῆλθεν εἰς τὸν βίον, καὶ τελευτῶσα φιλοσοφία. ἀλλὰ θῶμεν, ἀπὸ τοῦ βελτίστου δι' αὐτὴν τὴν ἀλήθειαν πάντα λέγειν ἀληθῆ Πλάτωνα· τί οὖν ἄτοπον ἐποιοῦμεν, τοῖς ἐκείνου νόμοις χρώμενοι, καὶ ἀντιπαρεξετάζειν αὐτῷ τοὺς τῶν ἐπακμασάντων λόγους βουλόμενοι;

Ἔπειτ' οὐδὲ μῦνος, οὐδὲ πρῶτος, ἐπιφανήσομαι περὶ Πλάτωνος ἐπιχειρήσας τι λέγειν. οὐδ' ἄν τις ἔχοι κατ' αὐτὸ τοῦτο μέμψασθαί με τὸ μέρος, ὅτι τὸν ἐπιφανέστατον τῶν φιλοσόφων, καὶ πλείοσιν, ἢ δώδεκα, γενεαῖς ἐμαυτοῦ πρεσβύτερον, ἐξετάζειν ἐπεβαλόμην, ὡς δὴ διὰ τοῦτο δόξης τινὸς τευξόμενος. πολλοὶ γὰρ εὑρεθήσονται πρὸ ἐμοῦ τοῦτο πεποιηκότες, οἱ μὲν κατὰ τὸν ἐκείνου χρόνον γενόμενοι χρόνον, οἱ δὲ λίαν ὕστερον ἐπακμάσαντες. καὶ γὰρ τὰ δόγματα διέβαλον αὐτοῦ τινες, καὶ τοὺς λόγους ἐμέμψαντο· πρῶτον μὲν ὁ γνησιώτατος αὐτοῦ μαθητὴς, Ἀριστοτέλης, ἔπειτα οἵ περὶ Κηφισόδωρόν τε, καὶ Θεόπομπον, καὶ Ζωΐλον, καὶ Ἱπποδάμαντα, καὶ Δημήτριον, καὶ ἄλλοι συχνοὶ, οὐ διὰ φθόνον, ἢ διὰ φιλαπιχθημοσύνην, κωμῳδοῦντες, ἀλλὰ τὴν ἀλήθειαν ἐξετάζοντες. τοσούτοις δὴ καὶ τηλικούτοις ἀνδράσι παραδείγμασι χρώμενος, καὶ παρὰ πάντας τῷ μεγίστῳ Πλάτωνι, οὐδὲν ἡγούμην τῆς φιλοσόφου ῥητορικῆς ποιεῖν ἀλλότριον, ἀγαθοὺς ἀγαθοῖς ἀντεξετάζων. περὶ μὲν οὖν τῆς προαιρέσεως, ἣν ἔσχον

Digitized by Google

ἐν τῇ συγκρίσει τῶν χαρακτήρων, ἱκανῶς ἀπολελόγισμαι, καὶ σοί γε, ἡμῖν φίλτατε.

2. Λοιπόν δ' ἐστί μοι καὶ περὶ αὐτῶν, ὧν εἴρηκα, λόγων περὶ τἀνδρός, ἐν τῇ περὶ τῶν Ἀττικῶν πραγματείᾳ ῥητόρων, εἰπεῖν. θήσω δ' αὐταῖς λέξεσιν, ὡς ἐκεῖ γέγραφα· Ἡ δὲ δὴ Πλατωνικὴ διάλεκτος βούλεται μὲν εἶναι καὶ αὐτὴ δεῖγμα ἑκατέρων τῶν χαρακτήρων, τοῦ τε ὑψηλοῦ καὶ ἰσχνοῦ, καθάπερ εἴρηταί μοι πρότερον· πέφυκε δ' οὐχ ὁμοίως πρὸς ἀμφοτέρους τοὺς χαρακτῆρας εὐτυχής. ὅταν μὲν οὖν τὴν ἰσχνὴν καὶ ἀφελῆ καὶ ἀποίητον ἐπιτηδεύῃ φράσιν, ἐκτόπως ἡδεῖά ἐστι καὶ φιλάνθρωπος. καθαρά τε γὰρ ἀποχρώντως γίνεται καὶ διαυγής, ὥσπερ τὰ διαφανέστατα τῶν ναμάτων· ἀκριβής τε καὶ λεπτὴ παρ' ἡντινοῦν ἑτέραν τῶν εἰς τὴν αὐτὴν διάλεκτον εἰργασμένων· τήν τε κοινότητα διώκει τῶν ὀνομάτων, καὶ τὴν σαφήνειαν ἀσκεῖ, πάσης ὑπεριδοῦσα κατασκευῆς ἐπιθέτου. ὅ τε πῖνος αὐτῇ καὶ χνοῦς ὁ τῆς ἀρχαιότητος ἠρέμα καὶ λεληθότως ἐπιτρέχει, χλοερόν τέ τι καὶ τεθηλὸς καὶ μεστὸν ὥρας ἄνθος ἀκαθίδωσι· καὶ ὥσπερ ἀπὸ τῶν εὐωδεστάτων λειμώνων αὔρά τις ἡδεῖα ἐξ αὐτῆς φέρεται· καὶ οὔτε τὸ λιγυρὸν ἔοικεν ἐμφαίνειν λάλον, οὔτε τὸ κομψὸν θεατρικόν. ὅταν δ' εἰς τὴν περιττολογίαν καὶ τὸ κάλλιον εἰπεῖν· ὃ πολλάκις εἴωθε ποιεῖν· ἄμετρον ὁρμὴν λάβῃ, πολλῷ χείρων ἑαυτῆς γίγνεται. καὶ γὰρ ἀηδεστέρα τῆς ἑτέρας καὶ κάκιον ἑλληνίζουσα καὶ παχυτέρα φαίνεται· μελαίνει τε γὰρ τὸ σαφὲς καὶ ζόφῳ ποιεῖ παραπλήσιον, ἔλκει τε μακρὸν

Digitized by Google

ἀποτείνουσα τὸν νοῦν. συστρέψαι δὲ δέον ἐν ὀλίγοις ὀνόμασιν, ἐκχεῖται εἰς ἀπειροκάλους περιφράσεις, πλοῦτον ὀνομάτων ἐπιδεικνυμένη κενόν· ὑπερβοῦσά τε τῶν κυρίων καὶ ἐν τῇ κοινῇ χρήσει κειμένων, τὰ πεποιημένα ζητεῖ καὶ ξένα καὶ ἀρχαιοπρεπῆ. μάλιστα δὲ χειμάζεται περὶ τὴν τροπικὴν φράσιν· πολλὴ μὲν γὰρ ἐν τοῖς ἐπιθέτοις, ἄκαιρος δ' ἐν ταῖς ἐπωνυμίαις, σκληρὰ δὲ καὶ οὐ σώζουσα τὴν ἀναλογίαν ἐν ταῖς μεταφοραῖς γίγνεται. ἀλληγορίας τε περιβάλλεται μακρὰς καὶ πολλάς, οὔτε μέτρον ἐχούσας, οὔτε καιρόν. σχήμασί τε ποιητικοῖς ἐσχάτην προσβάλλουσιν ἀηδίαν, καὶ μάλιστα τοῖς Γοργείοις, ἀκαίρως καὶ μειρακιωδῶς ἀκαβρύνεται· καὶ πολυτέλειά τις ἐστὶν ἐν τοῖς τοιούτοις παρ' αὐτῷ, ὡς καὶ Δημήτριος ὁ Φαληρεὺς εἴρηκέ που, καὶ ἄλλοι συχνοὶ [πρότερον.] οὐ γὰρ ἐμὸς ὁ μῦθος.

Μηδεὶς δέ με ταῦτα ἡγείσθω λέγειν ἁπάσης κατασκευῆς καὶ ταχινώσκοντα τῆς ἐγκατασκεύου καὶ ἐξηλλαγμένης λέξεως, ἣ κέχρηται Πλάτων· οὐ γὰρ ἂν οὕτω σκαιὸς, μηδ' ἀναίσθητος, ἐγὼ γενοίμην, ὥστε ταύτην τὴν δόξαν περὶ ἀνδρὸς τηλικούτου λαβεῖν· ἐπεὶ πολλὰ καὶ περὶ πολλῶν οἶδα μεγάλα καὶ θαυμαστὰ, καὶ ἀπὸ τῆς ἄκρας δυνάμεως ἐξενηνεγμένα ὑπ' αὐτοῦ· ἀλλ' ἐκεῖνο ἐνδείξασθαι βουλόμενον, ὅτι τὰ τοιαῦτα ἁμαρτήματα ἐν ταῖς κατασκευαῖς εἴωθεν ἁμαρτάνειν· καὶ χείρων μὲν αὐτὸς αὑτοῦ γίνεται, ὅταν τὸ μέγα διώκῃ καὶ περιττὸν ἐν τῇ φράσει· μακρῷ δέ τινι ἀμείνων, ὅταν τὴν ἰσχνὴν καὶ ἀκριβῆ, καὶ δοκοῦσαν μὲν ἀποίητον εἶναι, κατε-

Digitized by Google

σκευασμένην δ' ἁμωμήτῳ καὶ ἀφελεῖ κατασκευῇ διάλεκτον εἰσφέρῃ. ἢ γὰρ οὐδὲν ἁμαρτάνει καθάπαξ, ἢ βραχύ τι κομιδῇ, καὶ οὐκ ἄξιον κατηγορίας. ἐγὼ δ' ἠξίουν τηλικοῦτον ἄνδρα πεφυλάχθαι πᾶσαν ἐπιτίμησιν. ταῦτα γὰρ οἵ τε κατ' αὐτὸν γενόμενοι πάντες ἐπιτιμῶσιν· ὧν τὰ ὀνόματα οὐδὲν δεῖ με λέγειν· καὶ αὐτὸς ἑαυτῷ· τοῦτο γὰρ δὴ τὸ λαμπρότατον. ἤσθετο γάρ, ὡς ἔοικεν, τῆς ἰδίας ἀπειροκαλίας, καὶ ὄνομα ἔθετο αὐτῇ τὸν διθύραμβον· ὃ νῦν ἂν ἠδέσθην ἐγὼ λέγειν, ἀληθὲς ὄν. τοῦτο δὲ παθεῖν ἔοικεν, ὡς ἐγὼ νομίζω, τραφεὶς μὲν ἐν τοῖς Σωκρατικοῖς διαλόγοις ἰσχνοτάτοις οὖσι καὶ ἀκριβεστάτοις, οὐ μείνας δ' ἐν αὐτοῖς, ἀλλὰ τῆς Γοργίου καὶ Θουκυδίδου κατασκευῆς ἐρασθείς. ὥστε οὐδὲν ἔξω τοῦ εἰκότος ἔμελλε πείσεσθαι, σπάσας τινὰ καὶ τῶν ἁμαρτημάτων ἅμα τοῖς ἀγαθοῖς, ἂν ἔχουσιν οἱ τῶν ἀνδρῶν ἐκείνων χαρακτῆρες.

Παράδειγμα δὲ ποιοῦμαι τῆς γε ὑψηλῆς λέξεως ἐξ ἑνὸς βιβλίου τῶν πάνυ περιβοήτων, ἐν ᾧ τοὺς ἐρωτικοὺς διατίθεται λόγους ὁ Σωκράτης πρὸς ἕνα τῶν γνωρίμων, Φαῖδρον, ἀφ' οὗ τὴν ἐπιγραφὴν εἴληφε τὸ βιβλίον· ἐν γὰρ δὴ τῷ συγγράμματι τούτῳ πολλὴν μὲν ὥραν ἔχει, καὶ χαρίτων ἔστι μεστὰ τὰ πρῶτα ταυτί· „Ὦ φίλε Φαῖδρε, ποῖ δὴ καὶ πόθεν;" „Φαι. Παρὰ Λυσίου, ὦ Σώκρατες, τοῦ Κεφάλου· „πορεύομαι δὲ πρὸς περίπατον ἔξω τείχους. συχνὸν „γὰρ ἐκεῖ διέτριψα χρόνον, καθήμενος ἐξ ἑωθι„νοῦ," μέχρι τῆς ἀναγνώσεως τοῦ Λυσιακοῦ λόγου καὶ μετὰ τὴν ἀνάγνωσιν, ἕως τινός. Εἶθ'

Digitized by Google

ἀποτείνουσα τὸν νοῦν. συστρέψαι δὲ δέον ἐν ὀλίγοις ὀνόμασιν, ἐκχεῖται εἰς ἀπειροκάλους περιφράσεις, πλοῦτον ὀνομάτων ἐπιδεικνυμένη κενόν· ὑπεριδοῦσά τε τῶν κυρίων καὶ ἐν τῇ κοινῇ χρήσει κειμένων, τὰ πεποιημένα ζητεῖ καὶ ξένα καὶ ἀρχαιοπρεπῆ. μάλιστα δὲ χειμάζεται περὶ τὴν τροπικὴν φράσιν· πολλὴ μὲν γὰρ ἐν τοῖς ἐπιθέτοις, ἄκαιρος δ' ἐν ταῖς ἐπωνυμίαις, σκληρὰ δὲ καὶ οὐ σῴζουσα τὴν ἀναλογίαν ἐν ταῖς μεταφοραῖς γίγνεται. ἀλληγορίας τε περιβάλλεται μακρὰς καὶ πολλάς, οὔτε μέτρον ἐχούσας, οὔτε καιρόν. σχήμασί τε ποιητικοῖς ἐσχάτην προσβάλλουσιν ἀηδίαν, καὶ μάλιστα τοῖς Γοργείοις, ἀκαίρως καὶ μειρακιωδῶς ἀναβρύνεται· καὶ πολυτέλειά τις ἐστὶν ἐν τοῖς τοιούτοις παρ' αὐτῷ, ὡς καὶ Δημήτριος ὁ Φαληρεὺς εἴρηκέ που, καὶ ἄλλοι συχνοί [πρότερον.] οὐ γὰρ ἐμὸς ὁ μῦθος.

Μηδείς δέ με ταῦτα ἡγείσθω λέγειν ἁπάσης καταχινώσκοντα τῆς ἐγκατασκεύου καὶ ἐξηλλαγμένης λέξεως, ᾗ κέχρηται Πλάτων· οὐ γὰρ ἂν οὕτω σκαιὸς, μηδ' ἀναίσθητος, ἐγὼ γενοίμην, ὥστε ταύτην τὴν δόξαν περὶ ἀνδρὸς τηλικούτου λαβεῖν· ἐπεὶ πολλὰ καὶ περὶ πολλῶν οἶδα μεγάλα καὶ θαυμαστὰ, καὶ ἀπὸ τῆς ἄκρας δυνάμεως ἐξενηνεγμένα ὑπ' αὐτοῦ· ἀλλ' ἐκεῖνο ἐνδείξασθαι βουλόμενον, ὅτι τὰ τοιαῦτα ἁμαρτήματα ἐν ταῖς κατασκευαῖς εἴωθεν ἁμαρτάνειν· καὶ χείρων μὲν αὐτὸς αὑτοῦ γίνεται, ὅταν τὸ μέχα διώκῃ καὶ περιττὸν ἐν τῇ φράσει· μακρῷ δέ τινι ἀμείνων, ὅταν τὴν ἰσχνὴν καὶ ἀκριβῆ, καὶ δοκοῦσαν μὲν ἀποίητον εἶναι, κατε-

Digitized by Google

σκευασμένην δ' ἀμωμήτῳ καὶ ἀφελεῖ κατασκευῇ διάλεκτον εἰσφέρῃ. ἢ γὰρ οὐδὲν ἁμαρτάνει καθάπαξ, ἢ βραχύ τι κομιδῇ, καὶ οὐκ ἄξιον κατηγορίας. ἐγὼ δ' ἠξίουν τηλικοῦτον ἄνδρα πεφυλάχθαι πᾶσαν ἐπιτίμησιν. ταῦτα γὰρ οἵ τε κατ' αὐτὸν γενόμενοι πάντες ἐπιτιμῶσιν· ὧν τὰ ὀνόματα οὐδὲν δεῖ με λέγειν· καὶ αὐτὸς ἑαυτῷ· τοῦτο γὰρ δὴ τὸ λαμπρότατον. ἤσθετο γάρ, ὡς ἔοικεν, τῆς ἰδίας ἀπειροκαλίας, καὶ ὄνομα ἔθετο αὐτῇ τὸν διθύραμβον· ὃ νῦν ἂν ἠδέσθην ἐγὼ λέγειν, ἀληθὲς ὄν. τοῦτο δὲ παθεῖν ἔοικεν, ὡς ἐγὼ νομίζω, τραφεὶς μὲν ἐν τοῖς Σωκρατικοῖς διαλόγοις ἰσχνοτάτοις οὖσι καὶ ἀκριβεστάτοις, οὐ μείνας δ' ἐν αὐτοῖς, ἀλλὰ τῆς Γοργίου καὶ Θουκυδίδου κατασκευῆς ἐρασθείς. ὥστε οὐδὲν ἔξω τοῦ εἰκότος ἔμελλε πείσεσθαι, σπάσας τινὰ καὶ τῶν ἁμαρτημάτων ἅμα τοῖς ἀγαθοῖς, ἂν ἔχουσιν οἱ τῶν ἀνδρῶν ἐκείνων χαρακτῆρες.

Παράδειγμα δὲ ποιοῦμαι τῆς γε ὑψηλῆς λέξεως ἐξ ἑνὸς βιβλίου τῶν πάνυ περιβοήτων, ἐν ᾧ τοὺς ἐρωτικοὺς διατίθεται λόγους ὁ Σωκράτης πρός ἕνα τῶν γνωρίμων, Φαῖδρον, ἀφ' οὗ τὴν ἐπιγραφὴν εἴληφε τὸ βιβλίον· ἐν γὰρ δὴ τῷ συγγράμματι τούτῳ πολλὴν μὲν ὥραν ἔχει, καὶ χαρίτων ἐστὶ μεστὰ τὰ πρῶτα ταυτί· „Ὦ φίλε Φαῖδρε, ποῖ δὴ καὶ πόθεν; „Φαι. Παρὰ Λυσίου, ὦ Σώκρατες, τοῦ Κεφάλου· „πορεύομαι δὲ πρὸς περίπατον ἔξω τείχους. συχνὸν „γὰρ ἐκεῖ διέτριψα χρόνον, καθήμενος ἐξ ἑωθι„νοῦ," μέχρι τῆς ἀναγνώσεως τοῦ Λυσιακοῦ λόγου· καὶ μετὰ τὴν ἀνάγνωσιν, ἕως τινός. Εἶθ'

Digitized by Google

ὥσπερ ἐξ ἀέρος εὐδίου καὶ σταθεροῦ πολὺς ἄνεμος καταῤῥαγεὶς, ταράττει τὸ καθαρὸν τῆς φράσεως, εἰς ποιητικὴν ἐκφέρων ἀπειροκαλίαν, ἐνθένδε ἀρξάμενος: „Ἄγετε δή, ὦ Μοῦσαι, εἴτε δι' ᾠδῆς εἶδος λί„γειαι, εἴτε διὰ γένος τὸ Λιγύων μουσικόν, ταύ„την ἔσχετε τὴν ἐπωνυμίαν, ξύμμοι λαβέσθε τοῦ „μύθου." Ὅτι δὲ μόφοι ταῦτ' ἐστι καὶ διθύραμβοι, κόμπον ὀνομάτων πολὺν, νοῦν δ' ὀλίγον ἔχοντες, αὐτὸς ἐρεῖ. διεξιὼν γὰρ, ἀφ' ἧς αἰτίας ἔρως ἐτέθη τῷ πάθει τοὔνομα, καὶ τοῖσδε ἐχρήσατο· „Ἡ γὰρ ἄνευ λόγου δόξης ἐπὶ τὸ ὀρθὸν ὁρμώσης „κρατήσασα ἐπιθυμία, πρὸς ἡδονὴν ἐχθεῖσα κάλ„λους, καὶ ὑπὸ αὐ τῶν ἑαυτῆς συγγενῶν ἐπιθυμιῶν „ἐπὶ σωμάτων κάλλος ἐῤῥωμένως ῥωσθεῖσα, νικήσα„σα ἀγωγὴ, ἀπ' αὐτῆς τῆς ῥώμης ἐπωνυμίαν λα„βοῦσα, ἔρως ἐκλήθη. ἀτὰρ, ὦ φίλε Φαῖδρε, δοκῶ „τι σοὶ, ὥσπερ ἐμαυτῷ, πάθος πεπονθέναι; Φαι. „Πάνυ μὲν οὖν, ὦ Σώκρατες, παρὰ τὸ εἰωθὸς εὖ„ροιά τις σὲ εἴληφε. Σω. Σιγῇ τοίνυν μου ἄκουε. „τῷ ὄντι γὰρ θεῖος ἔοικεν ὁ τόπος εἶναι. ὥστ', ἐὰν „ἄρα πολλάκις νυμφόληπτός, προϊόντος τοῦ λόγου, „γέγωμαι, μὴ θαυμάσῃς. τὰ νῦν γὰρ οὐκέτι πόῤῥω „διθυράμβων φθέγγομαι." Ἐν τούτοις μὲν οὖν τὸ μὲν πραγματικὸν οὐδαμῇ μέμφομαι τοῦ ἀνδρὸς, τῆς δὲ λέξεώς τι μόριον τὸ περὶ τὴν τροπικήν τε καὶ διθυραμβικὴν φράσιν ἐκπίπτον, ἐν οἷς οὐ κρατεῖ τοῦ μετρίου. ἐπιτιμῶ τ' οὐχ ὡς τῶν τυχόντων τῷ, ἀλλ' ὡς ἀνδρὶ μεγάλῳ καὶ ἐγγὺς τῆς θείας ἐληλυθότι φύσεως, ὅτι τὸν ὄγκον τῆς ποιητικῆς κατασκευῆς

Digitized by Google

ἐπὶ λόγους ἦγαγε φιλοσόφους, ζηλώσας τοὺς περὶ Γοργίαν· ὥστε καὶ διθυράμβοις τινὰ ποιεῖν ἐοικότα, καὶ μηδ' ἀποκρύπτεσθαι τοῦτο τὸ ἁμάρτημα, ἀλλ' ὁμολογεῖν. καὶ σύ γ' αὐτός, ὦ βέλτιστε Γναῖε, ὁμοίαν ἐμοὶ γνώμην περὶ τἀνδρὸς ἔχων φαίνῃ δι' αὐτῆς γέ τοι τῆς ἐπιστολῆς, ἐν οἷς κατὰ λέξιν οὕτω γράφεις· „Ἐν μὲν γὰρ τοῖς ἑτέραις σχήμασι ῥᾴδιον „πεσεῖν μέσον τι ἐπαίνου καὶ μέμψεως· ἐν δὲ τῇ „κατασκευῇ τὸ μὴ ἐπιτυχθὲν πάντῃ ἀπροτυγχάνε„ται. διό μοι δοκεῖ τούτους τοὺς ἄνδρας οὐκ ἐκ τῶν „ἐπικινδυνοτάτων, οὐδὲ ἐλασσόνων, ἀλλ' ἐκ τῶν „πλείστων καὶ εὐτυχηθέντων ἐξετάζειν." Καὶ μετ' ὀλίγα πάλιν ἐπιλέγεις ταυτί· „Ἐγὼ δὲ, καίπερ „ἔχων ἀπολογήσασθαι ὑπὲρ ἁπάντων, ἢ τῶν γε „πλείστων, οὐ τολμῶ σοι ἐναντία λέγειν. ἓν δὲ τοῦ„το διϊσχυρίζομαι, ὅτι οὐκ ἔστι μεγάλων ἐπιτυχεῖν „ἐν οὐδενὶ τρόπῳ, μὴ τοιαῦτα τολμῶντα καὶ παρα„βαλλόμενον, ἐν οἷς καὶ σφάλλεσθαί ἐστιν ἀναγ„καῖον." Οὐδὲν διαφερόμεθα πρὸς ἀλλήλους. σύ τε γὰρ ὁμολογεῖς, ἀναγκαῖον εἶναι, τὸν ἐπιβαλλόμενον μεγάλοις καὶ σφάλλεσθαί ποτε· ἐγώ τέ φημι τῆς ὑψηλῆς καὶ μεγαλοπρεποῦς καὶ παρακεκινδυνευμένης φράσεως ἐφιέμενον Πλάτωνα, μὴ περὶ πάντα τὰ μέρη κατορθοῦν, πολλοστὴν μέντοι μοῖραν ἔχειν τῶν κατορθουμένων τὰ διαμαρτανόμενα ὑπ' αὐτοῦ. καὶ καθ' ἓν τοῦτο Πλάτωνά φημι λείπεσθαι Δημοσθένους, ὅτι παρ' ᾧ μὲν ἐκπίπτει ποτὲ τὸ ὕψος τῆς λέξεως τῶν λόγων εἰς τὸ κακόν καὶ ἀηθὲς, παρ' ᾧ δ' οὐδέποτε, ἢ σπανίως γε κομιδῇ. καὶ περὶ μὲν Πλάτωνος τοσαῦτα.

Digitized by Google

3. Περὶ δὲ Ἡροδότου καὶ Ξενοφῶντος ἐβουλήθης μαθεῖν, τίνα περὶ αὐτῶν ὑπόληψιν ἔχω, καὶ γράψαι μοι περὶ αὐτῶν ἐβουλήθης. πεποίηκα καὶ τοῦτο εἰς Δημήτριον ὑπομνηματισμὸν περὶ μιμήσεως. τούτων ὁ μὲν πρῶτος αὐτὴν περιείληφε τὴν περὶ τῆς μιμήσεως ζήτησιν· ὁ δὲ δεύτερος, περὶ τοῦ τίνας ἄνδρας μιμεῖσθαι δεῖ ποιητάς τε καὶ φιλοσόφους, ἱστοριογράφους καὶ ῥήτορας· ὁ δὲ τρίτος, περὶ τοῦ πῶς δεῖ μιμεῖσθαι· περὶ τούτου δ' ἀτελής. ἐν δὲ τῷ δευτέρῳ περὶ Ἡροδότου τε, καὶ Θουκυδίδου, καὶ Ξενοφῶντος, καὶ Φιλίστου, καὶ Θεοπόμπου· τούτους γὰρ ἐκρίνων τοὺς ἄνδρας εἰς μίμησιν ἐπιτηδειοτάτους· τάδε γράφω· εἰ δὲ δεῖ καὶ περὶ αὐτῶν εἰπεῖν, περὶ μὲν Ἡροδότου καὶ Θουκυδίδου ταῦτα φρονῶ. πρῶτον, ὅτι καὶ σχεδὸν ἀναγκαιότατον ἔργον ἁπάντων ἐστὶ τοῖς γράφουσιν ἱστορίας, ὑπόθεσιν ἐκλέξασθαι καλὴν καὶ κεχαρισμένην τοῖς ἀναγνωσομένοις. τοῦτο Ἡρόδοτος κρεῖττόν μοι δοκεῖ πεποιηκέναι Θουκυδίδου. ἐπεῖνος μὲν γὰρ κοινὴν Ἑλληνικῶν τε καὶ βαρβάρων πράξεων ἐξενήνοχεν ἱστορίαν, ὡς μήτε τὰ γενόμενα ἐξ ἀνθρώπων ἐξίτηλα γένηται, μήτε τὰ ἔργα, καὶ ἅπερ αὐτὸς εἴρηκε. τὸ γὰρ αὐτὸ προοίμιόν τε καὶ ἀρχὴ καὶ τέλος ἐστὶ τῆς ἱστορίας. ὁ δὲ Θουκυδίδης πόλεμον ἕνα γράφει, καὶ τοῦτον οὔτε καλὸν, οὔτε εὐτυχῆ· ὃς μάλιστα μὲν ὤφελε μὴ γενέσθαι· εἰ δὲ μή, σιωπῇ καὶ λήθῃ παραδοθείς, ὑπὸ τῶν ἐπιγιγνομένων ἠγνοῆσθαι. ὅτι δὲ πονηρὰν εἵληφεν ὑπόθεσιν, καὶ αὐτός γε τοῦτο ποιεῖ φανερὸν ἐν τῷ προοιμίῳ· „Πόλεις τε

Digitized by Google

„γὰρ δι' αὐτὸν ἐξερημωθῆναί φησιν Ἑλληνίδας „πολλὰς, τὰς μὲν ὑπὸ βαρβάρων, τὰς δ' ὑπὸ σφῶν „αὐτῶν, καὶ φυγὰς, καὶ φόνους ἀνθρώπων, ὅσους „οὔπω πρότερον γενέσθαι, σεισμούς τε καὶ αὐχμοὺς „καὶ νόσους, καὶ ἄλλας πολλὰς συμφοράς.“ ὥστε τοὺς ἀναγνόντας τὸ προοίμιον ἠλλοτριῶσθαι πρὸς τὴν ὑπόθεσιν, Ἑλληνικῶν μέλλοντας ἀκούειν. ὅσῳ δὲ κρείττων ἡ τὰ θαυμαστὰ ἔργα δηλοῦσα Ἑλλήνων τε καὶ βαρβάρων γραφὴ, τῆς τὰ οἰκτρὰ καὶ δεινὰ πάθη τῶν Ἑλλήνων διαγγελλούσης, τοσούτῳ φρονιμώτερος Ἡρόδοτος Θουκυδίδου κατὰ τὴν ἐκλογὴν τῆς ὑποθέσεως. οὐδὲ γὰρ οὐδὲ τοῦτο ἔνεστιν εἰπεῖν, ὅτι δι' ἀνάγκην ἦλθεν ἐπὶ ταύτην τὴν γραφὴν, ἐπιστάμενος ἐκείνων καλλίων, βουλόμενος δὲ μὴ ταὐτὰ ἑτέροις γράφειν. πᾶν γὰρ τοὐναντίον, ἐν τῷ προοιμίῳ διασύρων τὰ παλαιὰ ἔργα, κάλλιστα καὶ θαυμασιώτατα τὰ καθ' αὑτὸν ἐπιτελεσθέντα φησὶν εἶναι· καὶ φανερός ἐστι ταῦτα ἑκὼν ἑλόμενος. οὐ μὴν Ἡρόδοτός γε τοῦτ' ἐποίησεν, ἀλλὰ τῶν πρὸ αὐτοῦ συγγραφέων γενομένων Ἑλλανίκου τε καὶ Χαίρωνος τὴν αὐτὴν ὑπόθεσιν προεκδεδωκότων, οὐκ ἀπετράπετο, ἀλλ' ἐπίστευσεν αὐτῶν κρεῖσσόν τι ἐξοίσειν· ὅπερ καὶ πεποίηκε.

Δεύτερόν ἐστι τῆς ἱστορικῆς πραγματείας ἔργον, γνῶναι, πόθεν τ' ἄρξασθαι καὶ μέχρι τοῦ προελθεῖν δεῖ. φαίνεται δὴ κἂν τούτῳ Θουκυδίδου πολὺ Ἡρόδοτος φρονιμώτερος, ὃς ἄρχεταί τ' ἀφ' ἧς αἰτίας ἤρξαντο πρῶτον κακῶς ποιεῖν τοὺς Ἕλληνας οἱ βάρβαροι· καὶ προελθὼν, εἰς τὴν βαρβάρων

Digitized by Google

σόλασιν καὶ τιμωρίαν λήγει. ὁ δὲ Θουκυδίδης ἀρχὴν μὲν ἐποιήσατο ἀφ' ἧς ἤρξατο καλῶς πράττειν τὸ Ἑλληνικόν· ὅπερ Ἕλληνα ὄντα καὶ Ἀθηναῖον οὐκ ἔδει ποιεῖν· καὶ ταῦτα, οὐ τῶν ἀπερριμμένων ὄντα, ἀλλ' ὧν ἐν πρώτοις ἦγον Ἀθηναῖοι, στρατηγιῶν τε καὶ τῶν ἄλλων τιμῶν ἀξιοῦντες· καὶ οὔτε γε φανερῶς, ὥστε καὶ τῇ πόλει τῇ ἑαυτοῦ τὰς φανερὰς αἰτίας τοῦ πολέμου περιάπτειν, ἑτέραις ἔχοντα πολλαῖς ἀφορμαῖς περιάψαι τὰς αἰτίας. καὶ ἄρξασθαί γε τῆς διηγήσεως μὴ ἀπὸ τῶν Κερκυραϊκῶν, ἀλλ' ἀπὸ τῶν κρατίστων τῆς πατρίδος ἔργων, ἃ μετὰ τὸν Περσικὸν πόλεμον εὐθὺς ἔπραξαν· ὧν ὕστερον καὶ ἐν ἐπιτηδείῳ τόπῳ μνήμην ἐποιήσατο φαύλως πως καὶ ἐξ ἐπιδρομῆς· διελθόντα δὲ ταῦτα μετὰ πολλῆς εὐνοίας, ὡς ἄνδρα φιλόπολιν, ἔπειτ' ἐπενεγκεῖν, ὅτι τούτων φθόνῳ καὶ δέει προελθόντες Λακεδαιμόνιοι, προφάσεις ὑποθέντες ἑτέρας, ἦλθον ἐπὶ τὸν πόλεμον· καὶ τότε λέγειν τὰ Κερκυραϊκὰ καὶ τὸ κατὰ Μεγαρέων ψήφισμα, καὶ εἴ τι ἄλλο τοιοῦτο λέγειν ἐβούλετο, τὰ δὲ τέλη πλείονος ἁμαρτίας πλήρη· καίπερ γὰρ λέγων, ὅτι πάντι τῷ πολέμῳ παρεγένετο, καὶ πάντα δηλώσειν ὑποσχόμενος, εἰς τὴν ναυμαχίαν τελευτᾷ τὴν περὶ Κυνὸς σῆμα γεγενημένην Ἀθηναίων καὶ Πελοποννησίων, ἣ συνέβη κατὰ ἔτος εἰκοστὸν καὶ δεύτερον. κρεῖττον δ' ἦν, διεξελθόντα τὰ πάντα, τελευτὴν προήσασθαι τῆς ἱστορίας τὴν θαυμασιωτάτην καὶ μάλιστα τοῖς ἀκούουσι κεχαριαμένην, τὴν κάθοδον τῶν φυγά-

Digitized by Google

δων τῶν ἀπὸ Φυλῆς, ἀφ' ὧν ἡ πόλις ἀρξαμένη τὴν ἐλευθερίαν ἐκομίσατο.

Τρίτον ἐστὶν ἀνδρὸς ἱστορικοῦ, τίνα τὰ δεῖ παραλαβεῖν ἐπὶ τὴν γραφὴν πράγματα, καὶ τίνα παραλιπεῖν. δοκεῖ δή μοι κἂν τούτῳ λείπεσθαι Θουκυδίδης. συνειδὼς γὰρ Ἡρόδοτος, ὅτι πᾶσα μῆκος ἔχουσα ἀπὸ λόγου διήγησις, ἂν μὲν ἀναπαύσεις τινὰς λαμβάνῃ, ταῖς ψυχαῖς τῶν ἀκροωμένων ἡδέως διατίθησιν· ἐὰν δ' ἐπὶ τῶν αὐτῶν μένῃ πραγμάτων, κἂν τὰ μάλιστα ἐπιτυγχάνηται, λυπεῖ τὴν ἀκοὴν τῷ κόρῳ· ποικίλην ἐβουλήθη ποιῆσαι τὴν γραφήν, Ὁμήρου ζηλωτὴς γενόμενος. καὶ γὰρ τὸ βιβλίον ἣν αὐτοῦ λάβωμεν, μέχρι τῆς ἐσχάτης συλλαβῆς ἀγάμεθα, καὶ ἀεὶ τὰ πλεῖον ἐπιζητοῦμεν. Θουκυδίδης δὲ πόλεμον ἕνα καὶ τινας ἀπενοσὶ διεξέρχεται μάχας ἐπὶ μάχαις, καὶ παρασκευὰς ἐπὶ παρασκευαῖς, καὶ λόγους ἐπὶ λόγοις συντιθείς· ὥστε μοχθεῖν μὲν τὴν διάνοιαν τῶν ἀκροωμένων· „Κόρον δ' ἔχει, φησὶν ὁ Πίνδαρος, καὶ μέλι καὶ τὰ „τερπνὰ ἀφροδίσια.“ ἤδη δ' ἐγὼ κἀκεῖνο ἐνεθυμήθην, ὡς ἡδὺ χρῆμα ἐν ἱστορίαις γραφῆς μεταβολὴ καὶ ποικίλον· καὶ τοῦτ' ἐν δύο, ἢ τρισὶ τόποις ἐποίησεν, ἔπί τε τῆς Ὀδρυσῶν ἀρχῆς, δι' ἃς αἰτίας ἐγένετο μεγάλη, καὶ ἐπὶ τῶν ἐν Σικελίᾳ πόλεων.

Μετὰ τοῦτο, ἔργον ἐστὶν ἱστορικοῦ, διελέσθαι τε καὶ τάξαι τῶν δηλουμένων ἕκαστον ἐν ᾧ δεῖ τόπῳ. πῶς οὖν ἑκάτερος διαιρεῖ τε καὶ τάττει τὰ λε-

Digitized by Google

γόμενα; Θουκυδίδης μὲν, τοῖς χρόνοις ἀκολουθῶν, Ἡρόδοτος δὲ, ταῖς περιοχαῖς τῶν πραγμάτων. καὶ γίνεται Θουκυδίδης μὲν ἀσαφὴς καὶ δυσπαρακολούθητος· πολλῶν γὰρ κατὰ τὸ αὐτὸ θέρος καὶ χειμῶνα γιγνομένων ἐν διαφόροις, ὡς εἰκὸς, τόποις, ἡμιτελεῖς τὰς πρώτας πράξεις καταλιπὼν, ἑτέρων ἅπτεται τῶν κατὰ τὸ αὐτὸ θέρος, ἢ χειμῶνα, γιγνομένων. πλανώμεθα δὴ, καθάπερ εἰκὸς, καὶ δυσκόλως τοῖς δηλουμένοις παρακολουθοῦμεν, ταραττομένης τῆς διανοίας. Ἡρόδοτος δὲ, ἀπὸ τῆς Λυδῶν βασιλείας ἀρξάμενος, καὶ μέχρι τῆς Κροίσου καταβάς, ἐπὶ Κῦρον εὐθέως, ὃν καταλύσαντα τὴν Κροίσου ἀρχὴν, μεταβαίνει· Αἰγυπτίων τ' ἄρχεται διηγημάτων, καὶ Σκυθικῶν, καὶ Λιβυκῶν, τὰ μὲν ὡς ἀκόλουθα δηλῶν, τὰ δὲ ὡς χαριεστέραν ποιήσοντα τὴν διήγησιν ἐπεισάγων. διεξελθών τε πράξεις Ἑλλήνων καὶ βαρβάρων ἔτεσιν ὁμοῦ διακοσίοις καὶ εἴκοσι γενομένας ἐν ταῖς τρισὶν ἠπείροις, καὶ παραγράψας τῆς Ξέρξου φυγῆς τὴν ἱστορίαν, οὐ διέσπασε τὴν διήγησιν, ἀλλὰ συμβέβηκε, τῷ μὲν, μίαν ὑπόθεσιν λαβόντι, πολλὰ ποιῆσαι μέρη τὸ ἓν σῶμα· τῷ δὲ, τὰς πολλὰς καὶ οὐδὲν ἑοικυίας ὑποθέσεις προελομένῳ, σύμφωνον ἓν σῶμα πεποιηκέναι.

Μιᾶς δ' ἰδέας ἐπιμνησθήσομαι πραγματικῆς, ἣν οὐδεμιᾶς τῶν εἰρημένων ἧττον ἐν ἁπάσαις ἱστορίαις ζητοῦμεν, τὴν αὐτοῦ τοῦ συγγραφέως διάθεσιν, ἣ κέχρηται πρὸς τὰ πράγματα, περὶ ὧν γράφει. ἡ μὲν Ἡροδότου διάθεσις ἐν ἅπασιν ἐπιεικὴς,

Digitized by Google

καὶ τοῖς μὲν ἀγάθοῖς συνηδομένη, τοῖς δὲ κακοῖς συναλγοῦσα· ἡ δὲ Θουκυδίδου διάθεσις αὐθεκαστός τις καὶ πικρὰ, καὶ τῇ πατρίδι τῆς φυγῆς μνησικακοῦσα. τὰ μὲν γὰρ ἁμαρτήματα ἐπεξέρχεται καὶ μάλα ἀκριβῶς, τῶν δὲ κατὰ νοῦν κεχορηκότων καθάπαξ οὐ μέμνηται, ἢ ὥσπερ ἠναγκασμένως. καὶ κατὰ μὲν τὸν πραγματικὸν τύπον ἥττων ἐστὶν Ἡροδότου διὰ ταῦτα Θουκυδίδης· κατὰ δὲ τὸν λεκτικὸν τὰ μὲν ἥττων, τὰ δὲ κρείττων, τὰ δ' ἴσος. ἐρῶ δὲ καὶ περὶ τούτων, ὡς ὑπείληφα.

Πρώτη τῶν ἀρετῶν γένοιτ' ἂν, ἧς χωρὶς οὐδὲν τῶν ἄλλων τῶν περὶ τοὺς λόγους ὄφελος. τίς; ἡ καθαρὰ τοῖς ὀνόμασι καὶ τὸν Ἑλληνικὸν χαρακτῆρα σώζουσα διάλεκτος. ταύτην ἀκριβοῦσιν ἀμφότεροι. Ἡρόδοτός τε γὰρ τῆς Ἰάδος ἄριστος κανών· Θουκυδίδης τε τῆς Ἀτθίδος· τρίτην ἔχει χώραν ἡ καλουμένη συντομία· ἐν ταύτῃ δοκεῖ προέχειν Ἡροδότου Θουκυδίδης. καίτοι λέγοι τις ἄν, ὡς μετὰ τοῦ σαφοῦς ἐξεταζόμενον ἤδὺ φαίνεται τὸ βραχύ· εἰ δ' ἀπολείποιτο τούτου, πικρόν. ἀλλὰ μηδὲν ἔστω παρὰ τοῦτο. ἐνάργεια μετὰ ταῦτα τέτακται πρώτη μετὰ τῶν ἐπιθέτων ἀρετῶν. ἱκανῶς ἐν ταύτῃ κατορθοῦσιν ἀμφότεροι. μετὰ ταύτην συμφέρεται τὴν ἀρετὴν τῶν ἠθῶν τε καὶ παθῶν μίμησις. διήρηνται τὴν ἀρετὴν ταύτην οἱ συγγραφεῖς. Θουκυδίδης μὲν γὰρ τὰ πάθη δηλῶσαι κρείττων· Ἡρόδοτος δὲ τὰ γ' ἤθη παραστῆσαι δεινότερος. μετὰ ταῦτα αἱ τὸ μέγα καὶ θαυμαστὸν ἐκφαίνουσαι τῆς κατασκευῆς ἀρεταί. ἴσοι κἀν ταύταις οἱ συγγρα-

Digitized by Google

φεῖς· ἔπονται ταύταις αἱ τὴν ἰσχὺν καὶ τὸν τόνον καὶ τὰς ὁμοιοτρόπους δυνάμεις τῆς φράσεως ἀρεταὶ περιέχουσαι. κρείττων ἐν ταύταις Ἡροδότου Θουκυδίδης. ἡδονὴν δὲ καὶ πειθὼ καὶ τέρψιν καὶ τὰς ὁμοιογενεῖς ἀρετὰς εἰσφέρεται μακρῷ Θουκυδίδου κρείττονας Ἡρόδοτος. τῆς δὲ φράσεως τῶν ὀνομάτων τὸ μὲν κατὰ φύσιν Ἡρόδοτος ἐζήλωκε, τὸ δὲ δεινὸν Θουκυδίδης, ὁμοιοειδὴς πᾶς ὢν ἐν λόγοις ἀρετῶν ἡ κυριωτάτη τὸ πρέπον. ταύτην ὁ Ἡρόδοτος ἀκριβοῖ μᾶλλον, ἢ Θουκυδίδης. ὁμοιοειδὴς γὰρ οὗτος ἐν πᾶσι, καὶ ἐν ταῖς δημηγορίαις μᾶλλον, ἢ ταῖς διηγήσεσιν. ἐμοὶ μέντοι καὶ τῷ φιλτάτῳ Καικιλίῳ δοκεῖ τὰ ἐνθυμήματα αὐτοῦ μάλιστά γε καὶ ζηλῶσαι Δημοσθένης. ἵνα δὲ συνελὼν εἴπω, καλαὶ μὲν αἱ ποιήσεις ἀμφότεραι· οὐ γὰρ ἂν αἰσχυνθείην ποιήσεις αὐτὰς λέγων· διαφέρουσι δὲ κατὰ τοῦτο μάλιστα ἀλλήλων, ὅτι τὸ μὲν Ἡροδότου κάλλος ἱλαρόν ἐστι, φοβερὸν δὲ τὸ Θουκυδίδου. ἀπόχρη ταῦτ' εἰρῆσθαι περὶ τούτων τῶν συγγραφέων, πολλῶν καὶ ἄλλων ἐόντων λέγεσθαι, περὶ ὧν καὶ ἕτερος ἔσται καιρός.

4. Ξενοφῶν δὲ καὶ Φίλιστος, οἱ τούτοις ἐπακμάσαντες, οὔτε φύσεις ὁμοίας εἶχον, οὔτε προαιρέσεις. Ξενοφῶν μὲν γὰρ Ἡροδότου ζηλωτὴς ἐγένετο κατ' ἀμφοτέρους τοὺς χαρακτῆρας, τόν τε πραγματικὸν καὶ τὸν λεκτικόν. πρῶτον μὲν γὰρ τὰς ὑποθέσεις τῶν ἱστοριῶν ἐξελέξατο καλὰς καὶ μεγαλοπρεπεῖς καὶ ἀνδρὶ φιλοσόφῳ προσηκούσας· τήν τε Κύρου παιδείαν, εἰκόνα βασιλέως ἀγαθοῦ καὶ

Digitized by Google

εὐδαίμονος· καὶ τὴν Ἀνάβασιν τοῦ νεωτέρου Κύρου· ᾧ καὶ αὐτὸς συνανέβη· μέγιστον ἐγκώμιον ἔχουσαν τῶν συστρατευσαμένων Ἑλλήνων· καὶ τρίτην ἔτι τὴν Ἑλληνικήν, καὶ ἣν κατέλιπεν ἀτελῆ Θουκυδίδης· ἐν ᾗ καταλύονταί τε οἱ τριάκοντα, καὶ τὰ τείχη τῶν Ἀθηναίων, ἃ Λακεδαιμόνιοι καθεῖλον, αὖθις ἀνίστανται. οὐ μόνον δὲ τῶν ὑποθέσεων χάριν ἄξιος ἐπαινεῖσθαι, ζηλωτὴς Ἡροδότου γενόμενος, ἀλλὰ καὶ τῆς οἰκονομίας. ταῖς τε γὰρ ἀρχαῖς αὐτῶν ταῖς πρεπωδεστάταις κέχρηται, καὶ τελευτὰς ἑκάστῃ τὰς ἐπιπηδειοτάτας ἀποδέδωκε. μεμέρισταί τε καλῶς καὶ τέτακται καὶ πεποίκιλται τὴν γραφήν. ἦθός τε ἐπιδέδεικται θεοσεβὲς, καὶ δίκαιον, καὶ καρτερικὸν, καὶ εὐπετὲς, ἅπασαί τε συλλήβδην κεκοσμημένον ἀρεταῖς· καὶ ὁ μὲν πραγματικὸς τύπος αὐτῷ τοιοῦτος.

Ὁ δὲ λεκτικὸς πῇ μὲν ὅμοιος Ἡροδότου, πῇ δ' ἐνδεέστερος. καθαρὸς μὲν γὰρ τοῖς ὀνόμασιν ἱκανῶς, καὶ σαφὴς, καθάπερ ἐκεῖνος· ἐκλέγει δ' ὀνόματα συνήθη τε καὶ προσφυῆ τοῖς πράγμασι, καὶ συντίθησιν αὐτὰ ἡδέως πάνυ καὶ κεχαρισμένως, οὐχ ἧττον Ἡροδότου. ὕψος δὲ καὶ κάλλος καὶ μεγαλοπρέπειαν καὶ τὸ λεγόμενον ἰδίως πλάσμα ἱστορικὸν Ἡρόδοτος ἔχει. οὐ γὰρ μόνον οὐκ ἴσχυσε τοῦτο παρ' αὐτοῦ λαβεῖν, ἀλλὰ κἂν ποτε διεγείρῃ βουληθείη τὴν φράσιν, ὀλίγον ἐμπνεύσας, ὥσπερ ἀπόγειος αὖρα, ταχέως σβέννυται. μακρότερος γὰρ γίνεται τοῦ δέοντος ἐν πολλοῖς καὶ τοῦ πρέποντος, καὶ οὐχ, ὡς Ἡρόδοτος, ἐφάπτεται τῶν προσώπων

Digitized by Google

εὐτυχῶς, ἀλλ' ἐν πολλοῖς ὀλίγαις ἐστιν, ἂν τις ὀρθῶς σκοπῇ.

5. Φίλιστος δὲ Θουκυδίδῃ μᾶλλον δόξειεν ἐοικέναι καὶ κατ' ἐκεῖνον κοσμεῖσθαι τὸν χαρακτῆρα. οὔτε γὰρ ὑπόθεσιν εἵληφε πολυωφελῆ καὶ κοινήν, ὥσπερ Θουκυδίδης, ἀλλὰ μίαν, καὶ ταύτην τοπικήν· διῄρηκε δ' αὐτὴν εἰς ἐπιγραφὰς δύο, περὶ Σικελίας μὲν τὴν πρότεραν ἐπιγράφων, περὶ Διονυσίου δὲ τὴν ὑστέραν. ἔστι δὲ μία· καὶ τοῦτο γνοίης ἂν ἀπὸ τοῦ τέλους τῆς Σικελικῆς. τάξιν δ' οὐ τὴν κρατίστην ἀποδέδωκε τοῖς δηλουμένοις, ἀλλὰ δυσπαρακολούθητον, χεῖρον τῆς Θουκυδίδου. καὶ πρᾶγμα ἔξωθεν οὐ βούλεται περιλαμβάνειν, ὥσπερ οὐδὲ Θουκυδίδης, ἀλλ' ἔστιν ὁμοειδής. ἦθός τε κολακικὸν καὶ φιλοτύραννον ἐμφαίνει, καὶ ταπεινὸν καὶ μικρολόγον. τῆς δὲ λέξεως, ἣν Θουκυδίδης κέχρηται, ἣ μὲν σημειώδες καὶ περίεργον πέφυκε, τὸ δὲ στρογγύλον καὶ πικρὸν καὶ ἐνθυμηματικὸν μέμιπται. τῆς μέντοι καλλιλογίας τῆς ἐκείνου καὶ τοῦ πλούτου τῶν ἐνθυμημάτων κατὰ πολὺ ὕστερεῖ. οὐ μόνον δὲ τούτοις, ἀλλὰ καὶ κατὰ τοὺς σχηματισμούς. ἡ μὲν γὰρ πλήρης σχημάτων· καὶ οὐδὲν οἶμαι περὶ τῶν φανερῶν ἐπιπλέον δεῖν λέγειν· ἡ δὲ Φιλίστου φράσις ὁμοειδὴς πᾶσα δεινῶς καὶ ἀσχημάτιστός ἐστι· καὶ πολλὰς εὕροι τις ἂν περιόδους ὁμοίως ἑφεξῆς ὑπ' αὐτοῦ σχηματιζομένας, οἷον ἐν ἀρχῇ τῆς δευτέρας τῶν περὶ Σικελίας· „Συρακούσιοι δὲ παρα„λαβόντες Μεγαρεῖς καὶ Ἐνναίους, Καμαριναῖοι δὲ „Σικελοὺς καὶ τοὺς ἄλλους συμμάχους, πλὴν Γελῴων,

Digitized by Google

„ἀθροίσαντες, Γελῷοι δὲ Συρακουσίους οὐκ ἔφασαν „πολεμήσειν· Συρακούσιοι δὲ πυνθανόμενοι Κα„μαριναίους τὸν Ὑρμινὸν διαβάντας.“ Ταῦτα δ' ἀηδῆ πάγυ ὄντα ἐμοὶ φαίνεται. μικρός τε περὶ πᾶσαν ἰδέαν ἐστὶ καὶ ἀτελὴς, ἐάν τε πολιορκίας διηγῆται, ἐάν τ' οἰκισμοὺς, ἐάν τ' ἐπαίνους, ἐάν τε ψόγους διαπορεύηται. ἀλλ' οὐδὲ τοῖς μεγίθεσι τῶν ἀνδρῶν συνεξισῶν τοὺς λόγους, ἀλλὰ ψοφοδεεῖς καὶ τοὺς δημηγοροῦντας καταλείπειν τὰς δυνάμεις καὶ τὰς προαιρέσεις ὁμοίως ἅπαντας ποιεῖ. εὐστομίαν δέ τινα φυσικὴν εἰσφέρεται κατὰ τὴν ἑρμηνείαν, καὶ σύνεσιν ἐπιτευκτικὴν τοῦ μετρίου. πρὸς δὲ τοὺς ἀληθινοὺς ἀγῶνας ἐπιτηδειότερος Θουκυδίδου.

6. Θεόπομπος δὲ Χῖος, ἐπιφανέστατος πάντων Ἰσοκράτους μαθητῶν γενόμενος, καὶ πολλοὺς μὲν πανηγυρικοὺς, πολλοὺς δὲ συμβουλευτικοὺς συνταξάμενος λόγους, ἐπιστολάς τε τὰς ἀρχαϊκὰς γραφομένας καὶ ὑποθήκας ἄλλας, λόγου ἀξίαν ἱστορίαν πεπραγματευμένος, ἄξιος ἐπαινεῖσθαι· πρῶτον μὲν τῆς ὑποθέσεως τῶν ἱστοριῶν· καλαὶ γὰρ ἀμφότεραι· ἡ μὲν τὰ λοιπὰ τοῦ Πελοποννησιακοῦ πολέμου περιέχουσα· ἡ δὲ τὰ Φιλίππῳ πεπραγμένα· ἔπειτα τῆς οἰκονομίας· ἀμφότεραι γάρ εἰσιν εὐπαρακολούθητοι καὶ σαφεῖς· μάλιστα δὲ τῆς ἐπιμελείας τε καὶ φιλοπονίας τῆς κατὰ τὴν συγγραφήν. δῆλος γάρ ἐστιν, εἰ καὶ μηδὲν ἔγραψε, πλείστην μὲν παρασκευὴν εἰς ταῦτα παρεσκευασμένος, μεγίστας δὲ δαπάνας εἰς τὴν συναγωγὴν αὐτῶν τετελεκώς.

Digitized by Google

καὶ πρὸς τούτοις πολλῶν μὲν αὐτόπτης γεγενημένος, πολλοῖς δ' εἰς ὁμιλίαν ἐλθὼν ἀνδράσι τοῖς τότε πρωτεύουσι καὶ στρατηγοῖς δημαγωγοῖς τε καὶ φιλοσόφοις, διὰ τὴν συγγένειαν τῆς ἱστορίας ἐποιήσατο· ἔργον δὲ τὸ πάντων ἀναγκαιότατον· γνοίη δ' ἄν τις αὐτοῦ τὸν πόνον, ἐνθυμηθεὶς τὸ πολύμορφον τῆς γραφῆς. καὶ γὰρ καὶ ἐθνῶν εἴρηκεν οἰκισμούς, καὶ πόλεων κτίσεις ἐπελήλυθε, βασιλέων τε βίους καὶ τρόπων ἰδιώματα διεξήλεγκε, καὶ εἴ τι θαυμαστὸν, ἢ παράδοξον, ἀνάπτη γῆ καὶ θάλασσα φέρει, συμπεριείληφεν ἐν τῇ πραγματείᾳ. καὶ μηδεὶς ὑπολάβῃ, ψυχαγωγίαν ταῦτα εἶναι μόνον· οὐ γὰρ ὄψεως ἕνεκα· ἀλλὰ πᾶσιν, ὡς ἔπος εἰπεῖν, ὠφέλειαν παρέχει.

Ἵνα δὲ πάντ' ἀφῶ τὰ ἄλλα, τίς οὐχ ὁμολογήσει τοῖς ἀκούουσι τὴν φιλόσοφον ἱστορικὴν, ἀναγκαῖον εἶναι, πολλὰ μὲν ἐθνη καὶ βαρβάρων καὶ Ἑλλήνων ἐκμαθεῖν, πολλοὺς δὲ νόμους ἀκοῦσαι, πολιτειῶν σχήματα, καὶ βίους ἀνδρῶν, καὶ πράξεις, καὶ τέλη, καὶ τύχας, πόνους τοίνυν ἅπαντας ἀφθονίαν δέδωκεν, οὐκ ἀπεσπασμένην τῶν πραγμάτων, ἀλλὰ συμπαροῦσαν· πάντα δὲ ταῦτα ζηλωτὰ τοῦ συγγραφέως. καὶ ἔτι πρὸς τούτοις, ὅσα φιλόσοφα περὶ ὅλην τὴν δικαιοσύνην καὶ εὐσέβειαν, καὶ περὶ τῶν ἄλλων ἀρετῶν πολλοὺς καὶ καλοὺς διεξερχόμενος λόγους, τελευταῖόν ἐστι τῶν ἔργων αὐτοῦ καὶ χαρακτηριχώτατον, ὃ παρ' οὐδενὶ τῶν ἄλλων συγγραφέων οὕτως ἀκριβῶς ἐξείργασται, καὶ δύναται οὔτε τῶν πρεσβυτέρων, οὔτε τῶν νεωτέρων. τί δὲ

Digitized by Google

ταὐτὸ ἔσται; τὸ καθ' ἑκάστην πρᾶξιν μὴ μόνον τὰ φανερὰ τοῖς πολλοῖς ὁρᾶν καὶ λέγειν, ἀλλ' ἐξιχνιάζειν καὶ τὰς ἀφανεῖς αἰτίας τῶν πράξεων καὶ τῶν πραξάντων αὐτάς, καὶ τὰ πάθη τῆς ψυχῆς, ἃ μὴ ῥᾴδια τοῖς πολλοῖς εἰδέναι· καὶ πάντα ἐκκαλύπτειν τὰ μυστήρια τῆς τε δοκούσης ἀρετῆς καὶ τῆς ἀγνοουμένης κακίας. καί μοι δοκεῖ ὡς ὁ μυθευόμενος εἶναι τῶν ψυχῶν ἀπολυθεισῶν τοῦ σώματος ἐξετασμὸς ἐπὶ τῶν ἐκεῖ δικαστῶν, οὕτως ἀκριβὴς εἶναι ὁ διὰ τῆς Θεοπόμπου γραφῆς γιγνόμενος. διὸ καὶ βάσκανος ἔδοξεν εἶναι, προλαμβάνων τινὰ τοῖς ἀναγκαίοις ὀνειδισμοῖς καὶ τὰ τῶν ἐνδόξων πρασσόμενα οὐκ ἀναγκαῖα πράγματα· ὅμοιόν τι ποιοῦν τοῖς ἰατροῖς, οἳ τέμνουσι καὶ καίουσι τὰ διεφθαρμένα τοῦ σώματος, ὡς βάθους τὰ καυτήρια καὶ τὰς τομὰς φέροντες, οὐδὲ τῶν ὑγιαινόντων καὶ κατὰ φύσιν ἐχόντων στοχαζόμενοι. τοιοῦτος μὲν δή τις ὁ πραγματικὸς Θεοπόμπου χαρακτήρ.

Ὁ δὲ λεκτικὸς Ἰσοκράτει μάλιστα ἔοικε. καθαρὰ γὰρ ἡ λέξις, καὶ καινὴ, καὶ σαφὴς, ὑψηλή τε καὶ μεγαλοπρεπὴς, καὶ τὸ πομπικὸν ἔχουσα πολὺ, συγκειμένη τε κατὰ τὴν μέσην ἁρμονίαν, ἡδέως καὶ μαλακῶς ῥέουσα. διαλλάττει δὲ τῆς Ἰσοκρατείου κατὰ τὴν πικρότητα καὶ τὸν τόνον ἐπ' ἐνίων, ὅταν ἐπιτρέψῃ τοῖς πάθεσι, μάλιστα δ', ὅταν ὀνειδίζῃ πόλεσιν, ἢ στρατηγοῖς, πονηρὰ βουλεύματα καὶ πράξεις ἀδίκους. πολὺς γὰρ ἐν τούτοις, καὶ τῆς Δημοσθένους δεινότητος οὐδὲ κατὰ μικρὸν διαφέρει, ὡς ἐξ ἄλλων πολλῶν ἄν τις ἴδοι, καὶ τῶν ἀρ-

Digitized by Google

καὶῶν ἐπιστολῶν, ἃς τῷ πνεύματι ἐπιτρόπως γέγραφεν. εἰ δ' ὑπερεῖδεν ἐν τούτοις, ἐφ' οἷς μάλιστ' ἂν ἐσπούδακε, τῆς τε συμπλοκῆς τῶν φαινέντων γραμμάτων, καὶ τῆς κυκλικῆς εὐρυθμίας τῶν περιόδων, καὶ τῆς ὁμοειδείας τῶν σχημάτισμῶν, πολὺ ἀμείνων ἂν ἦν αὐτὸς ἑαυτοῦ κατὰ τὴν φράσιν. ἔστι δὲ ἃ καὶ κατὰ τὸν πραγματικὸν τόπον ἁμαρτάνει, καὶ μάλιστα κατὰ τὰς παραβολάς. οὔτε γὰρ ἀναγκαῖαί τινες αὐτῶν, οὔτ' ἐν καιρῷ γινόμεναι, πολὺ δὲ τὸ παιδιῶδες ἐμφαίνουσαι. ἐν οἷς ἐστι καὶ περὶ Σειληνοῦ, τοῦ φανέντος ἐν Μακεδονίᾳ, καὶ τὰ περὶ τοῦ θράκοντος, τοῦ διαναυμαχήσαντος πρὸς τὴν τριήρη, καὶ ἄλλα τοιούτοις οὐκ ὀλίγα ὅμοια, τούτοις παραληφθέντες οἱ συγγραφεῖς ἁρμόσουσι τοῖς ἀσκοῦσι τὸν πολιτικὸν λόγον, ἁφορμὰς ἐπιτηδείους παραδειγμάτων παρασχεῖν εἰς ἅπασαν ἰδέαν.

Digitized by Google

ΔΙΟΝΥΣΙΟΥ
ΤΟΥ
ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ
ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΑΜΜΑΙΟΝ
ΔΕΥΤΕΡΑ
ΠΕΡΙ
ΤΩΝ ΘΟΥΚΥΔΙΔΟΥ ΙΔΙΩΜΑΤΩΝ.

ΔΙΟΝΥΣΙΟΣ ΑΜΜΑΙΩι ΤΩι ΦΙΛΤΑΤΩι
ΧΑΙΡΕΙΝ.

Ἐγὼ μὲν ὑπελάμβανον ἀρκούντως διεσημῆνάι τὸν Θουκυδίδου χαρακτῆρα, τὰ μίγιστα καὶ κυριώτατα τῶν ὑπαρχόντων περὶ αὐτὸν ἰδιωμάτων ἐπεξελθών· ἐν οἷς γε δὴ μάλιστα διαφέρειν ἔδοξέ μοι τῶν πρὸ αὐτοῦ ῥητόρων τε καὶ συγγραφέων· πρότερον μὲν ἐν τοῖς περὶ τῶν ἀρχαίων ῥητόρων πρὸς τὸ σὸν ὄνομα συνταχθεῖσιν ὑπομνήμασι μοῦ, ὀλίγαις δὲ πρόσθεν χρόνοις, ἐν τῇ περὶ αὐτοῦ τοῦ Θουκυδίδου κατασκευασθείσῃ γραφῇ, προσειπὼν τὸν Αἴλιον Τουβέρωνα· ἐν ᾗ πάντα νὴ δι᾽ ἐμοῦ λόγου μετὰ τῶν οἰκείων ἀποδείξεων διεξελήλυθε κατὰ τὴν ἐμαυτοῦ δύναμιν. σοῦ δὲ ὑπολαμβάνοντος, ἧττον ἠρκεῖσθαι τὰς γραφὰς, ἐπειδὴ προσκείμενος ἅπαντα τὰ συμβεβηκότα τῷ χαρακτῆρι, τότε τὰς περὶ αὐτῶν

Digitized by Google

πίστεις παρέχομαι· ἀκριβεστέραν δὲ τὴν δήλωσιν τῶν ἰδιωμάτων τοῦ χαρακτῆρος ἔσεσθαι νομίζοντος, εἰ παρὰ μὲν ἑκάστην τῶν παραθέσεων τὰς λέξεις τοῦ συγγραφέως παρατιθείην· ὃ οἱ τὰς τέχνας καὶ τὰς εἰσαγωγὰς τῶν λόγων πραγματευόμενοι ποιοῦσι· προελόμενος εἰς μηδὲν ἐλλείπειν, καὶ τοῦτο πεποίηκα, τὸ διδασκάλικὸν σχῆμα λαβὼν ἀντὶ τοῦ ἐπιδεικτικοῦ.

2. Ἵνα δὲ εὐπαρακολούθητος ὁ λόγος σοι γένηται, προθεὶς κατὰ λέξιν, ὅσα περὶ τοῦ συγγραφέως τυγχάνω προειρηκώς, ἐπιτροχάδην ἀναλήψομαι τῶν προθέσεων ἑκάστην, καὶ τὰς ἀποδείξεις παρέξομαι, καθάπερ ἠξίους. ἕπεται δὲ τοῖς περὶ Ἡροδότου γραφεῖσι τὰ μέλλοντα δηλοῦσθαι. τούτῳ γὰρ Θουκυδίδης τῷ ἀνδρὶ ἐπιβαλὼν, καὶ τοῖς ἄλλοις, ὧν πρότερον ἐμνήσθην, καὶ συνιδὼν, ἃς ἕκαστος αὐτῶν ἔσχεν ἀρετὰς, ἴδιόν τι γένος χαρακτῆρος, οὔτε πεζὸν ἀπεστολῶς, οὔτ' ἔμμετρον ἐπηρτισμένως, κοινόν δέ τι καὶ μικτὸν ἐξ ἀμφοῖν ἐργασάμενος, εἰς τὴν ἱστορικὴν πραγματείαν ἐσπούδασεν εἰσαγαγεῖν· ἐπὶ μὲν τῆς ἐκλογῆς τῶν ὀνομάτων τὴν τροπικὴν, καὶ γλωττηματικὴν, καὶ ἀπηρχαιωμένην, καὶ ξένην λέξιν παραλαμβάνων πολλάκις ἀντὶ τῆς κοινῆς καὶ συνήθους τοῖς καθ' ἑαυτὸν ἀνθρώποις· ἐπὶ δὲ τῶν σχηματισμῶν, ἐν οἷς μάλιστα ἐβουλήθη διενεγκεῖν τῶν πρὸ αὐτοῦ, πλείστην εἰσενεγκάμενος πραγματείαν, τοτὲ μὲν λόγον ἐξ ὀνόματος ποιῶν, τοτὲ δ' εἰς ὄνομα συνάγων τὸν λόγον· καὶ πῶ μὲν τὸ ῥηματικὸν ὀνομαστικῶς ἐκφέ-

Digitized by Google

ρων, αὖθις δὲ τοῦνομα ῥῆμα ποιῶν· καὶ αὐτῶν γε τούτων ἀναστρέφων τὰς χρήσεις, ἵνα τὸ μὲν ὀνοματικὸν, ῥηματικὸν, τὸ δὲ ῥηματικὸν, ὀνοματικὸν λέγηται· καὶ τὰ μὲν παθητικὰ ῥήματα, δραστήρια, τὰ δὲ δραστήρια, παθητικά· πληθυντικῶν δὲ καὶ ἑνικῶν ἀλλάττων τὰς φύσεις, καὶ ἀντικατηγορῶν ταῦτ' ἀλλήλων· θηλυκά τ' ἀρσενικοῖς, καὶ ἄῤῥενα θηλυκοῖς, καὶ οὐδέτερα τούτων τισὶ συνάπτων· ἐξ ὧν ἡ κατὰ φύσιν ἀκολουθία πλανᾶται· τὰς δ' ὀνοματικῶν, ἢ μετοχικῶν, πτώσεις τοτὲ μὲν πρὸς τὸ σημαινόμενον ἀπὸ τοῦ σημαίνοντος ἀποστρέφων, τοτὲ δὲ πρὸς τὸ σημαῖνον ἀπὸ τοῦ σημαινομένου· ἐν δὲ τοῖς συνδετικοῖς, καὶ τοῖς προθετικοῖς μορίοις, καὶ ἔτι μᾶλλον ἐν τοῖς διαῤθροῦσι τὰς τῶν νοημάτων δυνάμεις, ποιητοῦ τρόπον ἐξουσιάζων, πλεῖστα δ' ἄν τις εὕροι παρ' αὐτῷ τῶν σχημάτων προσώπων τ' ἀποστροφαῖς, καὶ χρόνων ἐναλλαγαῖς, καὶ τοπικῶν σημειώσεων μεταφοραῖς ἐξηλλαγμένα, καὶ σολοικισμῶν λαμβάνοντα φαντασίαν ἀποστέγειν· ἢ τὰ πράγματα ἀντὶ σωμάτων, ἢ τὰ σώματα ἀντὶ πραγμάτων, καὶ ἐφ' ὧν ἐνθυμημάτων τε καὶ νοημάτων αἱ μεταξὺ παρεμπτώσεις πολλαὶ γινόμεναι, διὰ μακροῦ τὴν ἀκολουθίαν νομίζονται, τά τε σκολιὰ, καὶ πολύπλοκα, καὶ δυσεξέλικτα, καὶ τὰ ἄλλα τὰ συγγενῆ τούτοις. εὕροι δ' ἄν τις οὐκ ὀλίγα καὶ τῶν θεατρικῶν σχημάτων κείμενα παρ' αὐτῷ· τὰς παρισώσεις λέγω, καὶ παρομοιώσεις, καὶ παρονομασίας, καὶ ἀντιθέσεις· ἐν αἷς ἐπλεόνασε Γοργίας ὁ Λεοντῖνος, καὶ οἱ περὶ Πῶ-

Digitized by Google

λον καὶ Δικύμνιον, καὶ πολλοὶ ἄλλοι τῶν κατ' αὐτὸν ἐκμασάντων. ἐκδηλότατα δ' αὐτοῦ καὶ χαρακτηριστικώτατά ἐστι τό τε πειρᾶσθαι δι' ἐλαχίστων ὀνομάτων πλεῖστα σημαίνειν πράγματα, καὶ πολλὰ συντιθέναι νοήματα εἰς ἕν, καὶ ἔτι προσδεχόμενόν τι τὸν ἀκροατὴν ἀκούσεσθαι καταλείπειν. ὑφ' ὧν ἀσαφὴς γίγνεται τὸ βραχύ. ἵνα δὲ συνελὼν εἴπω, τέσσαρα μέν ἐστιν ὥσπερ ὄργανα τῆς Θουκυδίδου λέξεως, τὸ ποιητικὸν τῶν ὀνομάτων, τὸ πολυειδὲς τῶν σχημάτων, τὸ τραχὺ τῆς ἁρμονίας, τὸ τάχος τῆς σημασίας· χρώματα δ' αὐτῆς, τό τε στρυφνόν, καὶ τὸ πικρόν, καὶ τὸ πυκνόν, καὶ τὸ αὐστηρόν, καὶ τὸ ἐμβριθές, καὶ τὸ δεινόν, καὶ τὸ φοβερόν· ὑπὲρ ἅπαντα δ' αὐτοῦ ταῦτα, τὸ παθητικόν. τοιουτοσὶ μέν δή τις ἐστὶν ὁ Θουκυδίδης κατὰ τὸν τῆς λέξεως χαρακτῆρα, ᾧ παρὰ τοὺς ἄλλους διήνεγκε.

3. Γλωσσηματικὰ μὲν οὖν, καὶ ἀπηρχαιωμένα, καὶ δυσείκαστα τοῖς πολλοῖς ἐστι, τό τε „Ἀκραιφνὲς," καὶ ὁ „Περιλογισμὸς," καὶ ἡ „Περιωπή," καὶ ἡ „Ἀναχωχή," καὶ τὰ ὅμοια τούτοις. ποιητικὰ δὲ, ἥ τε „Κωλύμη," καὶ ἡ „Πρεσβευσία," καὶ ἡ „Καταβολή," καὶ ἡ „Ἀχθηδών," καὶ ἡ „Δικαίωσις," καὶ τὰ παραπλήσια. ἡ δ' ἐν τοῖς σχηματισμοῖς καινότης τε καὶ πολυτροπία, καὶ ἡ ἐξαλλαγὴ τῆς συνήθους χρήσεως, ἐν ᾗ μάλιστα διαφέρειν αὐτὸν ἡγοῦμαι τῶν ἄλλων, ἐπὶ τούτων γίγνεται τῶν ἔργων φανερά.

4. Ὅταν μὲν οὖν μίαν λέξιν, εἴτ' ὀνομαστικὴν,

Digitized by Google

εἴτε ῥηματικὴν, ἐν πλείοσιν ὀνόμασιν, ἢ ῥήμασιν, ἐκφέρῃ, περιφράζων τὴν αὐτὴν νόησιν, τοιαύτην ποιεῖ τὴν λέξιν· „Ἦν γὰρ ὁ Θεμιστοκλῆς βεβαιότα„τα δὴ φύσεως ἰσχὺν δηλώσας, καὶ διαφερόντως τι „ἐς αὐτὸ μᾶλλον ἑτέρου ἄξιος θαυμάσαι.“ καὶ μὴν ἐν τῷ ἐπιταφίῳ γέγραφεν· „Οὐδ' αὖ κατὰ πενίαν, „ἔχων δέ τι ἀγαθὸν δρᾶσαι τὴν πόλιν, ἀξιώματος „ἀφανείᾳ κεκώλυται.“ καὶ γὰρ ἔν τούτοις τὸ σημαινόμενον ποιεῖ τὸν λόγον, ὡς ἐπὶ τοῦ Λακεδαιμονίου Βρασίδα τέθεικεν, ὅτε μαχόμενος περὶ Πύλον ἀπὸ τῆς νεὼς τραυματίας γενόμενος ἐξέπεσε. πεσόντος δ' αὐτοῦ, φησὶν· „Εἰς τὴν παρεξειρεσίαν „ἡ ἀσπὶς περιῤῥύη εἰς θάλατταν.“ βούλεται γὰρ δηλοῦν τὸ· „Ὄντος δὲ αὐτοῦ ἔξω τῆς νεὼς ἐπὶ τὰ „προέχοντα μέρη τῆς εἰρεσίας.“

5. Ἐν οἷς δὲ τὰ ῥηματικὰ μόρια τῆς λέξεως ὀνομαστικῶς σχηματίζει, τοιαύτην ποιεῖ τὴν φράσιν· ἔστι δ' αὐτῷ πρὸς Ἀθηναίους ὁ Κορίνθιος ἐν τῇ πρώτῃ βίβλῳ τάδε λέγων· „Δικαιώματα μὲν „οὖν τάδε πρὸς ὑμᾶς ἔχομεν, παραίνεσιν δὲ καὶ „ἀξίωσιν χάριτος τοιάνδε.“ τὸ γὰρ „Παραινεῖν“ καὶ „Ἀξιοῦν,“ ῥήματα ὄντα, ὀνομαστικῶς γέγονε, „Παραίνεσις“ καὶ „Ἀξίωσις.“ ταύτης δ' ἐστὶ τῆς ἰδέας ἥ τε „Οὐκ ἀποτείχισις τοῦ Πλημμυρίου,“ ἣν ἐν τῇ ἑβδόμῃ βίβλῳ τέθεικεν ἐν δημηγορίᾳ. τὸ γὰρ „Ἀποτειχίσαι“ καὶ „Ἀπολοφύρασθαι,“ ῥηματικὰ ὄντα, ὀνομαστικῶς ἐσχημάτικεν, „Ἀποτεί„χισιν“ καὶ „Ὀλόφυρσιν.“

6. Ὅταν δ' ἀντιστρέψας ἑκατέρου τρόπου τὴν

Digitized by Google

φύσιν, τὰ ὀνόματα ποιῇ ῥήματα, τοῦτον τὸν τρόπον ἐκφέρει τὴν λέξιν, ὡς ἐν τῇ πρώτῃ βίβλῳ περὶ τῆς αἰτίας τοῦ πολέμου γράφει· „Τὴν μὲν οὖν ἀληθεστάτην αἰτίαν, λόγῳ δὲ ἀφανεστάτην, τοὺς „Ἀθηναίους οἶομαι μεγάλους γινομένους, ἀναγκάσαι εἰς τὸ πολεμεῖν.“ βούλεται γὰρ δηλοῦν, ὅτι μεγάλοι γινόμενοι οἱ Ἀθηναῖοι ἀνάγκην παρέσχον τοῦ πολέμου· πεποίηκε δ' ἀντὶ τῆς „Ἀνάγκης“ καὶ τοῦ „Πολέμου,“ ὀνομαστικῶν ὄντων, ῥηματικά, τό τε „Ἀναγκάσαι“ καὶ τὸ „Πολεμεῖν.“

7. Ὅταν δὲ τῶν ῥημάτων ἀλλάττῃ τὰ εἴδη τῶν παθητικῶν καὶ ἐνεργητικῶν, οὕτω σχηματίζει τὸν λόγον· „Οὔτε γὰρ ἐκεῖνο κωλύει ταῖς σπονδαῖς, „οὔτε τόδε.“ τὸ γὰρ „Κωλύει,“ ῥῆμα ἐνεργητικὸν ὑπάρχον, ἀντὶ τοῦ „Κωλύεται,“ παθητικοῦ ὄντος, παρείληπται. ἦν δὲ τὸ σημαινόμενον ὑπὸ τῆς λέξεως τοιοῦτον· „Οὔτε γὰρ ἐκεῖνο κωλύεται ταῖς σπον„δαῖς, οὔτε τόδε.“ καὶ ἔτι τὰ ἐν τῷ προοιμίῳ λεγόμενα· „Τῆς γὰρ ἐμπορίας οὐκ οὔσης, οὐδ' ἐπιμι„γνύντες ἀδεῶς ἀλλήλοις.“ καὶ γὰρ ἐν τούτοις τὸ „Ἐπιμιγνύντες,“ ἐνεργητικὸν ὑπάρχον ῥῆμα, τοῦ „Ἐπιμιγνύμενοι,“ παθητικοῦ ὄντος, χώραν ἐπέχει.

8. Ὅταν δ' ἀντὶ τοῦ ἐνεργητικοῦ τὸ παθητικὸν παραλαμβάνῃ, τοῦτον σχηματίζει τὸν τρόπον· „Ἡμῶν δὲ ὅσοι μὲν Ἀθηναίοις ἤδη ἐνηλλάγησαν.“ βούλεται μὲν γὰρ δηλοῦν· „Ἡμῶν δὲ ὅσοι μὲν „Ἀθηναίοις συνήλλαξαν.“ παρείληφε δὲ τὸ „Ἐνηλ„λάγησαν,“ παθητικὸν ὑπάρχον, ἀντὶ ἐνεργητικοῦ, τοῦ „Συνήλλαξαν.“ καὶ τὸ ἐπιφερόμενον τοῦ-

Digitized by Google

τω· „Τοὺς δ' ἐν τῇ μεσογείᾳ μᾶλλον κατωκημέ-„νους·" ἀντὶ γὰρ τοῦ ἐνεργητικοῦ ῥήματος, τοῦ „Κατῳκηκότας," τὸ παθητικὸν παρείληφε, τὸ „Κατῳκημένους."

9. Παρὰ δὲ τὰς τῶν ἐνικῶν τε καὶ πληθυντικῶν διαφορὰς, ὅταν ἐναλλάττῃ τὴν ἑκατέρου τούτων τάξιν, ἐνικὰ μὲν ἀντὶ πληθυντικῶν οὕτως ἐκφέρει· „Καὶ οὕτως ἄρα παρέστηκε, τὸν μὲν Συρακούσιον, „αὐτὸν δὲ οὐ πολέμιον εἶναι τὸν Ἀθηναῖον." βούλεται μὲν γὰρ τοὺς Συρακουσίους λέγειν καὶ τοὺς Ἀθηναίους· πεποίηκε δὲ τῶν ὀνομάτων ἑκάτερον ἐνικόν. καὶ ἐν οἷς φησι· „Καὶ τὸν πολέμιον δεινό-„τερον ἕξομεν, μὴ ῥᾳδίας αὐτῷ πάλιν οὔσης τῆς „ἀναχωρήσεως." τοὺς γὰρ „Πολεμίους" ἐσχημάτικεν ἐνικῶς, οὐχὶ πληθυντικῶς. ἀντὶ δὲ τοῦ ἐνικοῦ τὸ πληθυντικὸν παραλαμβάνει, τοῦτον τὸν τρόπον ἐξαλλάττων τὴν συνήθη φράσιν· κεῖται δὲ ἡ λέξις ἐν τῷ προοιμίῳ τοῦ ἐπιταφίου· „Μέχρι γὰρ τοῦδε „ἀνεκτοὶ οἱ ἔπαινοί εἰσι περὶ ἑτέρων λεγόμενοι, εἰς „ὅσον ἂν καὶ αὐτὸς ἕκαστος οἴηται ἱκανὸς εἶναι „δρᾶσαί τι ὧν ἤκουσε." τὸ γὰρ „Ἕκαστος" καὶ τὸ „Ἤκουσεν," ἐνικά· τὰ δ' ἐπιφερόμενα τούτοις πληθυντικῶς ἐξενήνεκται· „Τῷ δὲ ὑπερβάλλοντι „αὐτῶν φθονοῦντες ἤδη καὶ ἀπιστοῦσιν·" οὐ καθ' ἑνὸς λέγεσθαι πεφύκασιν, ἀλλὰ κατὰ πολλῶν.

10. Ἀρσενικῶν δὲ καὶ θηλυκῶν καὶ οὐδετέρων ἀντιμετατάξεις, ἐκβεβηκυῖαι τῶν συνήθων σχημάτων, αἱ τοιαίδε εἰσίν· οἷον, τὴν μὲν ταραχὴν, „Τά-„ραχον" καλεῖ, τὸ θηλυκὸν ἐκφέρων ἀρσενικῶς·

Digitized by Google

καὶ τὴν ὄχλησιν, „Ὄχλον·“ τὴν δὲ βούλησιν καὶ τὴν δύναμιν, τὸ „Βουλόμενον“ λέγει καὶ τὸ „Δυνάμενον·“ ὡς ἐπὶ τῶν Ἀθηναίων τέθεικεν, ὅτε τὴν ἐς Σικελίαν ἀπέστελλον στρατιάν· „Οἱ δὲ Ἀθηναῖοι „τὸ μὲν βουλόμενον οὐκ ἀφῃρέθησαν ὑπὸ τοῦ „ὀχλώδους τῆς παρασκευῆς.“ καὶ ἐν οἷς περὶ τῶν Θεσσαλῶν εἴρηκεν· „Ὥστε εἰ μὴ δυναστείᾳ μᾶλλον, „ἢ ἰσονομίᾳ, ἐχρῶντο τῷ ἐπιχωρίῳ οἱ Θεσσαλοί.“ καὶ γὰρ ἐνταῦθα οὐδέτερον πεποίηκε τὸ θηλυκόν. ἦν δὲ τὸ σημαινόμενον ὑπὸ τῆς λέξεως τοιόνδε τι· „Ὥστε εἰ μὴ δυναστείᾳ μᾶλλον, ἢ ἰσονομίᾳ, ἐχρῶν„το τῇ ἐπιχωρίῳ οἱ Θεσσαλοί.“

11. Ἐν οἷς δὲ τὰς πτώσεις τῶν ὀνομάτων, καὶ τῶν προσηγοριῶν, καὶ τῶν μετοχῶν, καὶ συναπτομένων τούτοις ἄρθρων ἐξαλλάττει τοῦ συνήθους, οὕτω σχηματίζει τὴν φράσιν· „Σωφροσύνην γὰρ „λαβοῦσαι αἱ πόλεις, καὶ ἄδειαν τῶν πρασσομένων, „ἐχώρησαν ἐπὶ τὴν ἄντικρυς ἐλευθερίαν, τῆς ἀπὸ „τῶν Ἀθηναίων ὑπούλου εὐνομίας οὐ προτιμήσαν„τες.“ οἱ μὲν γὰρ ἀκολούθως τῇ κοινῇ συνηθείᾳ σχηματίζοντες τὴν φράσιν, τῷ τε θηλυκῷ γένει τῆς προσηγορίας τὸ θηλυκὸν ἀντέζευξαν μόριον, καὶ πτώσιν τῆς μετοχῆς τὴν αἰτιατικὴν ἀντὶ τῆς γενικῆς ἔταξαν, τὸν τρόπον τόνδε· „Σωφροσύνην γὰρ λα„βοῦσαι αἱ πόλεις, καὶ ἄδειαν τῶν πρασσομένων, „ἐχώρησαν ἐπὶ τὴν ἄντικρυς ἐλευθερίαν, τὴν ἀπὸ „τῶν Ἀθηναίων ὕπουλον εὐνομίαν οὐ προτιμήσα„σαι.“ οἱ δὲ τὰ ἀρσενικὰ τοῖς θηλυκοῖς συνέταττον, ὥσπερ οὗτος πεποίηκε, τὰς γενικὰς ἀντὶ τῶν

Digitized by Google

αἰτιατικῶν πτώσεων παραλαμβάνοντες. σολοικίζειν ἂν ὑφ' ἡμῶν λέγοιτο καὶ ἔνι τὰ τοιαῦτα· „Καὶ μὴ „τῷ πλήθει αὐτῶν καταπλαγέντες." σὺ γὰρ ἐπὶ τῆς δοτικῆς πτώσεως ἐσχηματίσθαι τὴν λέξιν ἥρμοττεν, ἀλλ' ἐπὶ τῆς αἰτιατικῆς· „Καὶ μὴ τὸ πλῆθος τῶν „πολεμίων καταπλαγέντες." οὐδὲ γὰρ „Τῇ παρὰ „τῶν θεῶν ὀργῇ φοβεῖσθαι" λέγοις ἄν τις, ἀλλὰ „Τὴν τῶν θεῶν ὀργήν."

12. Ἡ δὲ παρὰ τοὺς χρόνους τῶν ῥημάτων ἐκβεβηκυῖα τὸ κατάλληλον φράσις, τοιαύτη τις ἐστί· „Καίτοι εἰ ῥᾳθυμίᾳ μᾶλλον, ἢ πόνων μελέτῃ, καὶ „μὴ μετὰ νόμων τὸ πλέον, ἢ τρόπων ἀνδρείας, ἐθέ„λομεν κινδυνεύειν, [περιγίγνεται ἡμῖν τοῖς τε „μέλλουσιν ἀλγεινοῖς μὴ προκάμνειν,] καὶ ἐς αὐτὰ „ἐλθοῦσι, μὴ ἀτολμοτέροις τῶν ἀεὶ μοχθούντων, „φαίνεσθαι." Ἐνταῦθα γὰρ τὸ μὲν „Ἐθέλομεν" ῥῆμα τοῦ μέλλοντός ἐστι χρόνου δηλωτικόν· τὸ δὲ „Περιγίνεται" τοῦ παρόντος. ἀκόλουθον δ' ἂν ἦν, εἰ συνέζευξε τῷ „Ἐθέλομεν" τὸ „Περιέσται." „Τοῦ τε γὰρ χωρίου τὸ δυσέμβατον, ἡμέτερον νο„μίζω, ὦ, μενόντων μὲν ἡμῶν, σύμμαχον γίγνεται· „ὑποχωρήσασι δὲ, καίπερ χαλεπὸν ὄν, εὔπορον „ἔσται." τὸ μὲν γὰρ „Γίγνεται" τοῦ παρόντος ἐστὶ, τὸ δὲ „Ἔσται" τοῦ μέλλοντος χρόνου δηλωτικόν. γέγονε δὲ καὶ παρὰ τὰς πτώσεις ὁ σχηματισμὸς ἀκατάλληλος. ἐπὶ μὲν γὰρ τῆς γενικῆς πτώσεως ἐξενήνοχε τό τε μετοχικὸν ὄνομα, τὸ „Μενόντων," καὶ τὸ ἀντωνυμικὸν, τὸ „Ἡμῶν." ἐπὶ δὲ τῆς δοτι-

Digitized by Google

πῆς τὸ „Τποχωρήσασιν." οἰκειότερον δ' ἦν καὶ τοῦτο κατὰ τὴν αὐτὴν ἐξηνηνέχθαι πτῶσιν.

13. Ὅταν δὲ πρὸς τὸ σημαῖνον ἀπὸ τοῦ σημαινομένου πράγματος τὴν ἀποστροφὴν ποιῆται, ἢ πρὸς τὸ σημαινόμενον ἀπὸ τοῦ σημαίνοντος, οὕτω σχηματίζει τὸν λόγον· „Τῶν δὲ Συρακουσίων ὁ „δῆμος ἐν πολλῇ πρὸς ἀλλήλους ἔριδι ἦσαν." προθεὶς γὰρ ἐνικὸν ὄνομα, „Τὸν δῆμον," ἀπέστρεψεν ἀπὸ τούτου τὸν λόγον ἐπὶ τὸ σημαινόμενον πρᾶγμα, πληθυντικὸν ὑπάρχον, „Τοὺς Συρακουσίους." καὶ αὖθις· „Λεοντῖνοι γὰρ, ἀπελθόντων Ἀθηναίων ἐκ „Σικελίας μετὰ τὴν σύμβασιν, πολίτας τε ἐπεγρά„ψαντο πολλοὺς, καὶ ὁ δῆμος ἐπενάει τὴν γῆν ἀνα„δάσασθαι." ἀπὸ γὰρ τοῦ πληθυντικοῦ ὀνόματος, τοῦ „Λεοντῖνοι," ἀπέστρεψε τὸν λόγον ἐπὶ τὸ ἐνικὸν ὄνομα, „Τὸν δῆμον."

14. Πρόσωπα δὲ παρ' αὐτῷ τὰ πράγματα γίνεται, καθάπερ ἐν τῇ Κορινθίων πρὸς Λακεδαιμονίους δημηγορίᾳ γέγονεν. ἀξιῶν γὰρ ὁ Κορίνθιος τὰς προεστηκότας τῆς Πελοποννήσου φυλάττειν αὐτῆς τὸ ἀξίωμα πρὸς τὰς ἔξω πόλεις, οἷον παρὰ τῶν πατέρων παρέλαβον, ταῦτα λέγει· „Πρὸς τάδε „βουλεύεσθε εὖ, καὶ τὴν Πελοπόννησον πειρᾶσθε „μὴ ἔλαττον ἐξηγεῖσθαι, ἢ οἱ πατέρες ὑμῖν παρέ„δοσαν." τὸ γὰρ „Ἐξηγεῖσθαι" νῦν τέθεικεν ἐπὶ τοῦ προάγειν ἔξω τὴν Πελοπόννησον ἡγουμένους αὐτῆς. τοῦτο δὲ τῇ χώρᾳ μὲν ἀδύνατον ἦν συμβῆναι, τῇ δὲ δόξῃ, καὶ τοῖς πράγμασι τοῖς περὶ αὐτὴν ὑπάρχουσι, δυνατὸν, καὶ βούλεται τοῦτο δηλοῦν.

Digitized by Google

πράγματα δὲ ἀντὶ σωμάτων τὰ τοιαῦτα ὑπ' αὐτοῦ γίγνεται. λέγεται δὲ ὑπὸ τοῦ Κορινθίου πρεσβευτοῦ πρὸς Λακεδαιμονίους συγκρίνοντος τά τε Ἀθηναίων καὶ Λακεδαιμονίων· „Οἱ μέν γε, νεωτεροποιοὶ, καὶ ἐπινοῆσαι ὀξεῖς, καὶ ἐπιτελέσαι ἔργῳ, ὃ „ἂν γνῶσιν· ὑμεῖς δὲ, τὰ ὑπάρχοντά τε σώζειν, καὶ „ἐπιγνῶναι μηδὲν, καὶ ἔργῳ οὐδὲ τὰ ἀναγκαῖα ἐξι„κέσθαι.“ μέχρι μὲν οὖν τούτων τὸ σχῆμα τῆς λέξεως σώζει τὴν ἀκολουθίαν, ὡς ἐπὶ προσώπων ἀμφοτέρων κείμενον. ἔπειτα ἀποστρέφεται κατὰ θάτερον τῶν μερῶν ὁ λόγος, καὶ ἀντὶ τῶν σωμάτων πρᾶγμα γίγνεται περὶ τοὺς Λακεδαιμονίους, ὅταν φῇ· „Αὐθις δὲ, οἱ μὲν, καὶ παρὰ δύναμιν τολμη„ταὶ, καὶ παρὰ γνώμην κινδυνευταὶ, καὶ ἐν τοῖς δει„νοῖς εὐέλπιδες· τὸ δὲ ὑμέτερον, τῆς δὲ δυνάμεως „ἐνδεῶ πρᾶξαι, τῆς τε γνώμης μηδὲ τοῖς βεβαίοις „πιστεῦσαι, τῶν δὲ δεινῶν μηδέποτε οἴεσθαι ἀπο„λυθήσεσθαι.“ τὸ γὰρ „Ὑμέτερον“ ἀντὶ τοῦ „Ὑμεῖς“ παρείληπται, πρᾶγμα ὑπάρχον ἀντὶ τοῦ σώματος.

15. Ἐν δὲ τοῖς ἐνθυμήμασί τε καὶ νοήμασιν, εἰ μεταξὺ παρεμπτώσεις πολλαὶ γινόμεναι, καὶ μόλις ἐπὶ τὸ τέλος ἀφικνούμεναι, δι' ἃς ἡ φράσις δυσπαρακολούθητος γίνεται, πλεῖστα μέν εἰσι καθ' ὅλην τὴν ἱστορίαν· ἀρκέσουσι δ' ἐκ τοῦ προοιμίου δύο ληφθεῖσαι μόναι, ἥ τε δηλοῦσα τὴν ἀσθένειαν τῶν ἀρχαίων τῆς Ἑλλάδος πραγμάτων, καὶ τὰς αἰτίας ἀποδιδοῦσα· „Τῆς γὰρ ἐμπορίας οὐκ οὔσης, „οὐδὲ ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις, οὔτε κατὰ γῆν,

Digitized by Google

„οὔτε διὰ θαλάσσης, νεμόμενοί τε τὰ αὐτῶν ἕκα-
„στος, ὅσον ἀποζῆν, καὶ περιουσίαν χρημάτων οὐκ
„ἔχοντες, οὔτε γῆν φυτεύοντες· ἄδηλον ὂν, ὁπότε
„τις ἐπελθὼν, καὶ ἀτειχίστων ἅμα ὄντων, ἄλλος
„ἀφαιρήσεται· τῆς τε καθ' ἡμέραν ἀναγκαίου τρο-
„φῆς παντα χοῦ ἂν ἡγούμενοι ἐπικρατεῖν, οὐ χαλε-
„πῶς ἀπανίσταντο." προστεθὲν ἐῇ πρώτῃ περιόδῳ
καὶ σχηματισθὲν οὕτω· „Τῆς γὰρ ἐμπορίας οὐκ
„οὔσης, οὐδ' ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις, οὔτε
„κατὰ γῆν, νεμόμενοι δὲ τὰ ἑαυτῶν ἕκαστοι, ὅσον
„ἀποζῆν, οὐ χαλεπῶς ἀπανίσταντο·" φανερωτέραν
ἂν ἐποίει τὴν διάνοιαν· τῇ δὲ παρεμβολῇ τῶν μα-
ταξὺ πραγμάτων, πολλῶν ὄντων, ἀσαφῆ καὶ δυσπα-
ρακολούθητον πεποίηκε. καὶ ἡ περὶ τῆς Εὐρυσθέως
στρατιᾶς ἐπὶ τὴν Ἀττικὴν, ἦδε· „Εὐρυσθέως μὲν
„ἐν τῇ Ἀττικῇ ὑπὸ Ἡρακλειδῶν ἀποθανόντος,
„Ἀτρέως δὲ μητρὸς ἀδελφοῦ ὄντος αὐτῷ, καὶ ἐπι-
„τρέψαντος Εὐρυσθέως, ὅτ' ἐστρατεύετο, Μυκήνας τε
„καὶ τὴν ἀρχὴν, κατὰ τὸ οἰκεῖον, Ἀτρεῖ· τυγχάνειν
„δὲ αὐτὸν φεύγοντα τὸν πατέρα, διὰ τὸν Χρυσίπ-
„που θάνατον· καὶ ὡς οὐκέτι ἀνεχώρησεν Εὐρυ-
„σθεὺς, βουλομένων καὶ τῶν Μυκηναίων, φόβῳ τῶν
„Ἡρακλειδῶν, καὶ ἅμα δυνατὸν δοκοῦντα εἶναι,
„καὶ τὸ πλῆθος τεθεραπευκότα, τῶν Μυκηναίων
„τε, καὶ ὅσων Εὐρυσθεὺς ἦρχε, τὴν βασιλείαν Ἀτρέα
„παραλαβεῖν."

16. Ἐν οἷς δὲ σκολιὰ, καὶ πολύπλοκος, καὶ δυσεξέλικτος ἡ τῶν ἐνθυμημάτων κατασκευὴ γίνε-
ται, τοῦτον τὸν τρόπον ἔχει παρ' αὐτῷ. κεῖται δὲ ἐν

Digitized by Google

τῷ ἐπιταφίῳ ἡ λέξις· „Τὴν δὲ τῶν ἐναντίων τιμω-
„ρίαν ποθεινοτέραν αὐτῶν λαβόντες, καὶ κινδύνων
„ἅμα τόνδε κάλλιστον νομίσαντες, ἐβουλήθησαν
„τοὺς μὲν τιμωρεῖσθαι, τῶν δὲ ἐφίεσθαι· ἐλπίδι
„μὲν τὸ ἀφανὲς τοῦ κατορθώσειν ἐπιτρέψαντες,
„ἔργῳ δὲ περὶ τοῦ ἤδη ὁρωμένου σφίσιν αὐτοῖς
„ἀξιοῦντες πεποιθέναι· ἐν τῷ ἀμύνεσθαι παθεῖν
„μᾶλλον ἡγησάμενοι, ἢ τῷ ἐνδόντες σώζεσθαι, τὸ
„μὲν αἰσχρὸν τοῦ λόγου ἔφυγον, τὸ δ' ἔργον τῷ
„σώματι ὑπέμειναν, καὶ δι' ἐλαχίστου καιροῦ τύ-
„χης ἅμα ἀκμῇ τῆς δόξης μᾶλλον, ἢ τοῦ δέους,
„ἀπηλλάγησαν." τοιαῦτά ἐστι καὶ τὰ περὶ Θεμι-
στοκλέους εἰρημένα ἐν τῇ πρώτῃ βίβλῳ· „Ἦν γὰρ
„ὁ Θεμιστοκλῆς βεβαιότατα δὴ φύσεως ἰσχὺν δη-
„λώσας, καὶ διαφερόντως τι ἐς αὐτὸ μᾶλλον ἑτέρου
„ἄξιος θαυμάσαι. οἰκείᾳ γὰρ ξυνέσει, καὶ οὔτε προ-
„μαθὼν ἐς αὐτὴν οὐδέν, οὔτ' ἐπιμαθών, τῶν τε
„παραχρῆμα δι' ἐλαχίστης βουλῆς κράτιστος γνώ-
„μων, καὶ τῶν μελλόντων ἐπὶ πλεῖστον τοῦ γενησο-
„μένου ἄριστος εἰκαστής. καὶ ἃ μὲν μετὰ χεῖρας
„ἔχοι, καὶ ἐξηγήσασθαι οἷός τε· ὧν δὲ ἄπειρος εἴη,
„κρῖναι ἱκανῶς οὐκ ἀπήλλακτο. τό τε ἄμεινον, ἢ
„χεῖρον, ἐν τῷ ἀφανεῖ ἔτι προεώρα, καὶ τὸ ξύμ-
„παν εἰπεῖν, φύσεως μὲν δυνάμει, μελέτης δὲ βρα-
„χύτητι, κράτιστος δὲ οὗτος αὐτοσχεδιάζειν τὰ
„δέοντα ἐγένετο."

17. Οἱ δὲ μειρακιώδεις σχηματισμοὶ τῶν ἀντι-
θέτων τε καὶ παρομοίων καὶ παρισώσεων, ἐν οἷς οἱ
περὶ τὸν Γοργίαν μάλιστα ἐπλεόνασαν, ἥκιστα τῷ

Digitized by Google

χαρακτῆρι τούτῳ προσήκοντες, αὐστηρὰν ἔχοντι τὴν ἀγωγήν, καὶ τοῦ κομψοῦ πλεῖστον ἀφεστηκότι, τοιοῦτοί τινές εἰσι παρὰ τῷ συγγραφεῖ· „Φαίνεται „γὰρ ἡ νῦν Ἑλλὰς καλουμένη, οὐ πάλαι βεβαίως „οἰκουμένη.“ καὶ ἔτι δὲ· „Οἱ μέν, καὶ παρὰ δύνα„μιν τολμηταὶ, καὶ παρὰ γνώμην κινδυνευταὶ, καὶ „ἐν τοῖς δεινοῖς εὐέλπιδες· τὸ δ' ὑμέτερον, τῆς τε „δυνάμεως ἐνδεᾶ πρᾶξαι, τῆς τε γνώμης μηδὲ τοῖς „βεβαίοις πιστεῦσαι, τῶν δὲ δεινῶν μηδέποτε οἴε„σθαι ἀπολυθήσεσθαι.“ καὶ ἐν οἷς τὰς καταλαβούσας τὴν Ἑλλάδα συμφορὰς διὰ τὰς στάσεις ἐπεξέρχεται, τοιάδε γράφων· „Τόλμα μὲν γὰρ ἀλόγιστος, „ἀνδρεία φιλέταιρος ἐνομίσθη· μέλλησις δὲ προμη„θὴς, δειλία εὐπρεπής· τὸ δὲ σῶφρον, πρόσχημα „τοῦ ἀνάνδρου, καὶ τὸ εἰσάπαξ συνετὸν, ἐπίπαν „ἀργόν.“ πολλὰ τοιαῦτά τις ἂν εὕροι δι' ὅλης αὐτοῦ τῆς ἱστορίας λεγόμενα. ἱκανὸν δὲ καὶ ταῦτα δείγματος ἕνεκα εἰρῆσθαι. ἔχεις, ὦ φίλε Ἄμμαῖε, τὰ παρατηρήματα καθ' ἕκαστον αὐτῶν, ἐκ τῆς κοινῆς ἐξητασμένα πραγματείας, ὡς ἐπεζήτεις, εὐτυχῶς Ἀμμαίῳ.

Digitized by Google

ΔΙΟΝΥΣΙΟΥ
ΤΟΥ
ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ
ΠΕΡΙ ΤΟΥ
ΘΟΥΚΥΔΙΔΟΥ ΧΑΡΑΚΤΗΡΟΣ
ΚΑΙ ΤΩΝ
ΛΟΙΠΩΝ ΤΟΥ ΣΥΓΓΡΑΦΕΩΣ ΙΔΙΩΜΑΤΩΝ.

Ἐν ταῖς προεκδοθεῖσι περὶ τῆς μιμήσεως ὑπομνηματισμοῖς ἐπεληλυθὼς, οὓς ὑπελάμβανον ἐπιφανεστάτους εἶναι, ποιητάς τε καὶ συγγραφεῖς, ὦ Κόϊντε Αἴλιε Τουβέρων, καὶ διδηλωκὼς ἐν ὀλίγοις τινὰς, ὧς ἕκαστος αὐτῶν εἰσφέρεται, πραγματικάς τε καὶ λεκτικὰς ἀρετάς· καὶ πῇ μάλιστα χείρων ἑαυτοῦ γίνεται κατὰ τὰς ἀποτυχίας, εἴτε τῆς προαιρέσεως οὐχ ἅπαντα κατὰ τὸν ἀκριβέστατον λογισμὸν ὁρώσης, εἴτε τῆς δυνάμεως οὐκ ἐν ἅπασι τοῖς ἔργοις κατορθούσης· ἵνα τοῖς προαιρουμένοις γράφειν τε καὶ λέγειν εὖ, καλοὶ καὶ δεδοκιμασμένοι κανόνες ὦσιν, ἐφ' ὧν ποιήσονται τὰς κατὰ μέρος γυμνασίας, μὴ πάντα μιμούμενοι τὰ παρ' ἐκείνοις κείμενα τοῖς

Digitized by Google

ἀνδράσιν, ἀλλὰ τὰς μὲν ἀρετὰς αὐτῶν λαμβάνοντες, τὰς δ' ἀποτυχίας φυλαττόμενοι· ἁψάμενός τε τῶν συγγραφέων, ἐδήλωσα καὶ περὶ Θουκυδίδου τὰ δοκοῦντά μοι, συντόμῳ τε καὶ κεφαλαιώδει γραφῇ περιλαβών, οὐ δι' ὀλιγωρίαν καὶ ῥᾳστώνην, οὐδὲ διὰ σπάνιν τῶν δυνησομένων βεβαιῶσαι τὰς προθέσεις, ἀλλὰ τῆς εὐκαιρίας τῶν γραφομένων στοχαζόμενος, ὡς καὶ περὶ τῶν ἄλλων ἐποίησα. οὐ γὰρ ἦν ἀκριβῆ καὶ διεξοδικὴν δήλωσιν ὑπὲρ ἑκάστου τῶν ἀνδρῶν ποιεῖσθαι, προελόμενον εἰς ἐλάχιστον ὄγκον συναγαγεῖν τὴν πραγματείαν. σοῦ δὲ βουληθέντος ἰδίαν συντάξασθαί με περὶ Θουκυδίδου γραφὴν, ἅπαντα περιειληφυῖαν τὰ δεόμενα λόγων, ἀναβαλόμενος τὴν περὶ Δημοσθένους πραγματείαν, ἣν εἶχον ἐν χερσὶν, ὑπεσχόμην τε ποιήσειν, ὡς προῃροῦ· καὶ τελέσας, τὴν ὑπόσχεσιν ἀποδίδωμι.

2. Μέλλων δὲ τῶν κατὰ μέρος ἅπτεσθαι λόγων, ὀλίγα περὶ ἐμαυτοῦ τε καὶ τοῦ γένους τῆς πραγματείας βούλομαι προειπεῖν· οὐ σοῦ, μὰ Δία, καὶ τῶν σοὶ παραπλησίων, ἕνεκα, τῶν ἀπὸ παντὸς τοῦ βελτίστου κρινόντων τὰ πράγματα, καὶ μηδὲν ἡγουμένων χρῆμα τιμιώτερον τῆς ἀληθείας· ἀλλὰ τῶν ἄλλων, ὅσοις τὸ αὐτὸ φιλαίτιον ἔνεστι τῶν ἀρχαίων γνωμένων, εἴτε κατὰ τὴν ταὐτὰ τὰ πάθη, κοινὰ τῆς ἀνθρωπίνης ὄντα φύσεως. ὑποπτεύω γὰρ ἔσεσθαί τινας τῶν ἀναγνωσομένων τὴν γραφὴν, τοὺς ἐπιτιμήσοντας ἡμῖν, ὅτι τολμῶμεν ἀποφαίνειν Θουκυδίδην τὸν ἁπάντων κράτιστον τῶν ἱστοριογράφων, καὶ κατὰ τὴν προαίρεσίν ποτε τῶν λόγων· ἁμαρτά-

Digitized by Google

νοντα, καὶ κατὰ τὴν δύναμιν ἐξασθενοῦντα. καὶ οὐδ' οὗτος ἡμᾶς ὁ λογισμὸς εἰσῆλθεν, ὅτι παράδοξα καινοτομεῖν πράγματα πρῶτοι καὶ μόνοι δόξομεν, εἴ τι τῶν ὑπὸ Θουκυδίδου γραφέντων συκοφαντεῖν ἐπιβαλοίμεθα· οὐ ταῖς κοιναῖς μόναις ἐναντιούμενοι δόξαις, ἃς ἅπαντες, ἐκ τοῦ μακροῦ χρόνου παραλαβόντες, ἀναφαιρέτους ἔχουσιν, ἀλλὰ καὶ ταῖς ἰδίαις τῶν ἐπιφανεστάτων φιλοσόφων τε καὶ ῥητόρων μαρτυρίαις ἀπιστοῦντες· οἳ κανόνα τῆς ἱστορικῆς πραγματείας ἐκεῖνον ὑποτίθενται τὸν ἄνδρα, καὶ τῆς περὶ τοὺς πολιτικοὺς λόγους δεινότητος ὅρον. ὧν οὔτε προαιρέσεις ἰσχυρὰς, ταύτας δὴ τὰς ἐπιτιμήσεις ἀπολύσασθαι βουλόμενος, ἐχούσας τι θεατρικὸν, καὶ τῶν πολλῶν ἄγωγὸν, περὶ μὲν ἐμαυτοῦ τοσοῦτον ἀρκεσθήσομαι μόνον εἰπεῖν, ὅτι τὸ φιλόνεικον τοῦτο καὶ δύσερι, καὶ προσυλακτοῦν εἰκῇ τισιν, ἐν παντὶ πεφυλαγμένος τῷ βίῳ μέχρι τοῦ παρόντος, καὶ οὐδεμίαν ἐκδεδωκὼς γραφὴν, ἐν ᾗ κατηγορῶ τινος, ἔξω μιᾶς πραγματείας, ἣν συνεταξάμην ὑπὲρ τῆς πολιτικῆς φιλοσοφίας πρὸς τοὺς καταιτρέχοντας αὐτῆς ἀδίκως, οὐκ ἂν ἐπεχείρησα νῦν πρῶτον εἰς τὸν ἐπιφανέστατον τῶν συγγραφέων τὴν οὔτ' ἐλευθέροις ἤθεσι πρέπουσαν, οὔτ' ἐμαυτῷ συνήθη κακοήθειαν ἐναποδείκνυσθαι. περὶ δὲ τοῦ γένους τῆς γραφῆς πλείονα μὲν εἶχον λέγειν, ἀρκεσθήσομαι δ' ὀλίγοις. εἰ δὲ ἀληθεῖς καὶ προσήκοντας ἐμαυτῷ προήρημαι λόγους, σύ τε κρινεῖς, καὶ τῶν ἄλλων φιλογόγων ἕκαστος.

3. Ἔστι δὴ τὸ βούλημά μου τῆς πραγματείας

Digitized by Google

οὐ καταδρομὴ τῆς Θουκυδίδου προαιρέσεώς τε καὶ δυνάμεως· οὐδ' ἐκλογισμὸς τῶν ἁμαρτημάτων, οὐδ' ἐξευτελισμὸς, οὐδ' ἄλλο τι τοιοῦτον ἔργον οὐδὲν, ἐν ᾧ τὰ μὲν κατορθώματα καὶ τὰς ἀρετὰς οὐδενὸς ἠξίωκα λόγου, τοῖς δὲ μὴ κατὰ τὸ κράτιστον εἰρημένοις ἐπιφύομαι· ἐκλογισμὸς δέ τις τοῦ χαρακτῆρος τῶν λόγων, ἅπαντα περιειληφὼς, ὅσα συμβέβηκεν αὐτῷ κοινά τε πρὸς ἑτέρους, καὶ διαφέροντα παρὰ τοὺς ἄλλους. ἐν οἷς ἀναγκαῖον ἦν μὴ τὰς ἀρετὰς λέγεσθαι μόνον, ἀλλὰ καὶ τὰς γειτνιώσας αὐταῖς κακίας. οὐδὲ μία γὰρ αὐτάρκης ἀνθρώπου φύσις, οὔτ' ἐν λόγοις, οὔτ' ἐν ἔργοις, ἀναμάρτητος εἶναι· κρατίστη δὲ, ἥ πλεῖστα μὲν ἐπιτυγχάνουσα, ἐλάχιστα δὲ ἀστοχοῦσα· ἐπὶ ταύτην δὴ τὴν ὑπόθεσιν ἀναφέρων ἕκαστος τὰ ῥηθησόμενα, μὴ τῆς προαιρέσεώς μου γενέσθω κατήγορος, ἀλλὰ τῶν ἰδίων τοῦ χαρακτῆρος ἔργων ἐξεταστὴς δίκαιος. ὅτι δ' οὐκ ἐγὼ τοῦτο πρῶτος ἐπιχειρήκα ποιεῖν, ἀλλὰ πολλοὶ, καὶ πάλαι, καὶ καθ' ἡμᾶς, οὐ φιλαπεχθήμονας προκλώμενοι γραφὰς, ἀλλὰ θεωρητικὰς τῆς ἀληθείας, μυρίους παρασχέσθαι δυνάμενος μάρτυρας, ἕνοιν ἀνδράσιν ἀρκεσθήσομαι μόνοις, Ἀριστοτέλει καὶ Πλάτωνι. Ἀριστοτέλης τε γὰρ οὐχ ἅπαντα κατὰ τὸ κράτιστον εἰρῆσθαι πείθεται τῷ καθηγητῇ Πλάτωνι· ὧν ἐστὶ καὶ τὰ περὶ τῆς ἰδέας, καὶ τὰ περὶ τἀγαθοῦ, καὶ τὰ περὶ τῆς πολιτείας. αὐτός τε ὁ Πλάτων Παρμενίδην, καὶ Πρωταγόραν, καὶ Ζήνωνα, καὶ τῶν ἄλλων φυσιολόγων οὐκ ὀλίγους, ἡμαρτηκότας ἀποδεικνύναι βούλεται· καὶ οὐδεὶς

Digitized by Google

αὐτῷ κατ' αὐτό γε τοῦτο ἐπιτιμᾷ· ἐνθυμούμενος, ὅτι τῆς φιλοσόφου θεωρίας σκοπὸς ἐστιν ἡ τῆς ἀληθείας γνῶσις· ἀφ' ἧς καὶ τὸ τοῦ βίου τέλος γίνεται φανερόν. ὅπου δὴ τοὺς περὶ δογμάτων διαφερομένους οὐδεὶς μέμφεται τῆς προαιρέσεως, εἰ μὴ πάντα τὰ τῶν πρεσβυτέρων ἐπαινοῦσιν· ἢ που τούς γε προειλομένους χαρακτῆρων ἰδιότητα δηλῶσαι, μέμψαιτ' ἄν τις, εἰ μὴ πάσας μαρτυροῦσι τοῖς πρὸ αὐτῶν καὶ τὰς μὴ προσούσας ἀρετάς;

4. Ἓν ἔτι λείπεταί μοι μέρος ἀπολογίας δεόμενον, ἐπίφθονον μέν τι κατηγόρημα, καὶ τοῖς πολλοῖς κεχαρισμένον, ῥᾳδίως δ' ἐξελεγχθῆναι δυνησόμενον, ὡς οὐκ ἔστιν ὑγιές. οὐ γάρ, εἰ τῇ δυνάμει λειπόμεθα Θουκυδίδου τε καὶ τῶν ἄλλων ἀνδρῶν, καὶ τὸ θεωρητικὸν αὐτῶν ἀπολωλέκαμεν· οὐδὲ γὰρ τὰς Ἀπέλλου, καὶ Ζεύξιδος, καὶ Πρωτογένους, καὶ τῶν ἄλλων γραφέων τῶν θιασαμασμένων τέχνας, οἱ μὴ τὰς αὐτὰς ἔχοντες ἐκείνοις ἀρετάς, κρίνειν κεκώλυνται· οὐδὲ τὰ Φειδίου, καὶ Πολυκλείτου, καὶ Μύρωνος ἔργα οἱ μὴ τηλικοῦτοι δημιουργοί. ἐῶ γὰρ λέγειν, ὅτι πολλῶν ἔργων οὐχ ἧττων τοῦ τεχνίτου κριτὴς ὁ ἰδιώτης, τῶν τε δι' αἰσθήσεως ἀλόγου τοῖς πάθεσι καταλαμβανομένων· καὶ ὅτι πᾶσα τέχνη τούτων στοχάζεται τῶν κριτηρίων, καὶ ἀπὸ τούτων λαμβάνει τὴν ἀρχήν. ἅλις ἔστω μοι προοιμίων, ἵνα μὴ λάθω περὶ ταῦτα κατατρίψας τὸν λόγον.

5. Μέλλων δὲ ἄρχεσθαι τῆς περὶ Θουκυδίδου γραφῆς, ἐδόκουν βούλομαι περὶ τῶν ἄλλων συγγρα-

Digitized by Google

φέων εἰπεῖν, τῶν τε πρεσβυτέρων, καὶ τῶν κατὰ τοὺς αὐτοὺς ἀκμασάντων ἐκείνῳ χρόνους. ἐξ ὧν ἔσται καταφανὴς ἥ τε προαίρεσις τοῦ ἀνδρὸς, ἣν χρησάμενος διήλλαξε τῶν πρὸ αὐτοῦ, καὶ ἡ δύναμις. ἀρχαῖοι μὲν οὖν συγχραφεῖς πολλοὶ, καὶ κατὰ πολλοὺς τόπους ἐγένοντο πρὸ τοῦ Πελοποννησιακοῦ πολέμου· ἐν οἷς ἐστιν Εὐγέων τε ὁ Σάμιος, καὶ Δηϊόχος ὁ Προικοννήσιος, καὶ Εὔδημος ὁ Ἀθηναῖος, καὶ Δημοκλῆς ὁ Φυγελεὺς, καὶ Ἑκαταῖος ὁ Μιλήσιος, ὅ τε Ἀργεῖος Ἀκουσίλαος, καὶ ὁ Λαμψακηνὸς Χάρων, καὶ ὁ Χαλκηδόνιος Ἀμελησαγόρας. ὀλίγῳ δὲ πρεσβύτεροι τῶν Πελοποννησιακῶν, καὶ μέχρι τῆς Θουκυδίδου παρεκτείναντες ἡλικίας, Ἑλλάνικός τε ὁ Λέσβιος, καὶ Δαμάστης ὁ Σιγεὺς, καὶ Ξενομήδης ὁ Χῖος, καὶ Ξάνθος ὁ Λυδὸς, καὶ ἄλλοι συχνοί. οὗτοι προαιρέσει τε ὁμοίᾳ ἐχρήσαντο περὶ τὴν ἐκλογὴν τῶν ὑποθέσεων καὶ δυνάμεις οὐ πολύ τι διαφερούσας ἔσχον ἀλλήλων. οἱ μὲν, τὰς Ἑλληνικὰς ἀναγράφοντες ἱστορίας· οἱ δὲ, τὰς βαρβαρικάς· καὶ αὐτὰς δὲ ταύτας οὐ συνάπτοντες ἀλλήλαις, ἀλλὰ κατ' ἔθνη καὶ κατὰ πόλεις διαιροῦντες, καὶ χωρὶς ἀλλήλων ἐκφέροντες, ἕνα καὶ τὸν αὐτὸν φυλάττοντες σκοπὸν, ὅσαι διεσώζοντο παρὰ τοῖς ἐπιχωρίοις μνήμαι κατὰ ἔθνη τε καὶ κατὰ πόλεις, εἴτ' ἐν ἱεροῖς, εἴτ' ἐν βεβήλοις ἀποκείμεναι γραφαὶ, ταύτας εἰς τὴν κοινὴν ἁπάντων γνῶσιν ἐξενεγκεῖν, οἷας παρέλαβον· μήτε προστιθέντες αὐταῖς τι, μήτ' ἀφαιροῦντες· ἐν αἷς καὶ μῦθοί τινες ἐνῆσαν ὑπὸ τοῦ πολλοῦ πεπιστευμένοι χρόνου, καὶ θεατρικαί τινες περιπέτειαι, πολὺ

Digitized by Google

τὸ ἡλίθιον ἔχειν τοῖς νῦν δοκοῦσαι. λέξιν τε ὡς ἐπὶ τὸ πολὺ τὴν αὐτὴν ἅπαντες ἐπετήδευσαν, ὅσοι τοὺς αὐτοὺς προείλοντο τῶν διαλέκτων χαρακτῆρας, τὴν σαφῆ καὶ κοινὴν, καὶ καθαρὰν, καὶ σύντομον, καὶ τοῖς πράγμασι προσφυῆ, καὶ μηδεμίαν σκευωρίαν ἐπιφαίνουσαν τεχνικήν· ἐπιτρέχει μέντοι τις ὥρα τοῖς ἔργοις αὐτῶν· καὶ χάρις τοῖς μὲν πλείων, τοῖς δ' ἐλάττων· δι' ἣν ἔτι μένουσιν αὐτῶν αἱ γραφαί. ὁ δ' Ἁλικαρνασσεὺς Ἡρόδοτος, γενόμενος ὀλίγῳ πρότερον τῶν Περσικῶν, παρεκτείνας δὲ μέχρι τῶν Πελοποννησιακῶν, τήν τε πραγματικὴν προαίρεσιν ἐπὶ τὸ μεῖζον ἐξήνεγκε καὶ λαμπρότερον, οὔτε πόλεώς μιᾶς, οὔτ' ἔθνους ἑνὸς ἱστορίαν προελόμενος ἀναγράψαι· πολλὰς δὲ καὶ διαφόρους πράξεις ἔκ τε τῆς Εὐρώπης, ἔκ τε τῆς Ἀσίας, ἐς μίαν περιγραφὴν πραγματείας ἀγαγεῖν. ἀρξάμενος οὖν ἀπὸ τῆς τῶν Λυδῶν δυναστείας, μέχρι τοῦ Περσικοῦ πολέμου κατεβίβασε τὴν ἱστορίαν, πάσας τὰς ἐν τοῖς τεσσαράκοντα καὶ διακοσίοις ἔτεσι γενομένας πράξεις ἐπιφανεῖς Ἑλλήνων τε καὶ βαρβάρων μιᾷ συντάξει περιλαβών· καὶ τῇ λέξει προσεπέδωκε τὰς παραληφθείσας ὑπὸ τῶν πρὸ αὐτοῦ συγγραφέων ἀρετάς.

6. Τούτοις ἐπιγενόμενος Θουκυδίδης, οὔτ' ἐφ' ἑνὸς ἐβουλήθη τόπου καθιδρύσαι τὴν ἱστορίαν, ὡς οἱ περὶ τὸν Ἑλλάνικον ἐποίησαν, οὔτε τὰς ἐξ ἁπάσης χώρας Ἕλλησιν, ἢ βαρβάροις, ἐπιτελεσθείσας πράξεις εἰς μίαν ἱστορίαν συναγαγεῖν, μιμησάμενος Ἡρόδοτον· τῆς μὲν πρότερας ὑπεριδὼν, ὡς εὐτελοῦς καὶ ταπεινῆς, καὶ πολλὰ οὐ δυνησομένης τοὺς

Digitized by Google

ἐναγινώσκοντας ὠφελῆσαι· τῆς δὲ ἱστορίας, ὡς μείζονος, ἢ δυνατῆς πεσεῖν εἰς σύνοψιν ἀνθρωπίνου λογισμοῦ, κατὰ τὸν ἀκριβέστατον τῶν τρόπων· ἕνα δὲ προχειρισάμενος πόλεμον, ὃν ἐπολέμησαν Ἀθηναῖοι καὶ Πελοποννήσιοι πρὸς ἀλλήλους, τοῦτον ἐσπούδασεν ἀναγράψαι· ἐρρωμένος τε τὸ σῶμα, καὶ τὴν διάνοιαν ὑγιαίνων, καὶ μέχρι παντὸς αὐτοῦ βιώσας· καὶ οὐκ ἐκ τῶν ἐπιτυχόντων ἀκουσμάτων τὰς πράξεις συντιθείς· ἀλλ' οἷς μὲν αὐτὸς παρῆν, ἐξ ἐμπειρίας· ὧν δ' ἀπελείφθη διὰ τὴν φυγήν, παρὰ τῶν ἄριστα γιγνωσκόντων πυνθανόμενος. πρῶτον μὲν δὴ κατὰ τοῦτο διήλλαξε τῶν πρὸ αὐτοῦ συγγραφέων, λέγω δὲ κατὰ τὸ λαβεῖν ὑπόθεσιν, μήτε μονόκωλον παντάπασιν, μηδ' εἰς πολλὰ μεμερισμένην καὶ ἀσυνάρτητα κεφάλαια· ἔπειτα κατὰ τὸ μηδὲν αὐτῇ μυθῶδες προσάψαι, μηδ' εἰς ἀπάτην καὶ γοητείαν τῶν πολλῶν ἐκτρέψαι τὴν γραφήν, ὡς οἱ πρὸ αὐτοῦ πάντες ἐποίησαν, λαμίας τινὰς ἱστοροῦντες ἐν ὕλαις καὶ νάπαις ἐκ γῆς ἀνιεμένας, καὶ ναΐδας ἀμφιβίους ἐκ ταρτάρων ἐξιούσας, καὶ διὰ πελάγους νηχομένας καὶ μιξοθήρας, καὶ πῶυτας εἰς ὁμιλίαν ἀνθρώποις συνερχομένας, καὶ ἐκ θνητῶν καὶ θείων συνουσιῶν γαμὰς ἡμιθέους, καὶ ἄλλας τινὰς ἀπίστους τῷ καθ' ἡμᾶς βίῳ, καὶ πολὺ τὸ ἀνέφικτον ἔχειν δοκούσας ἱστορίας.

7. Ταῦτα δ' εἰπεῖν προήχθην, οὐκ ἐπιτιμῶν ἐκείνοις τοῖς ἀνδράσιν, ἀλλὰ καὶ πολλὴν ἔχων συγγνώμην, εἰ καὶ τῶν μυθικῶν ἥψαντο πλασμάτων, ἐθνικὰς καὶ τοπικὰς ἐκφέροντες ἱστορίας· ἐν ἅπασι

Digitized by Google

γὰρ ἀνθρώπους, καὶ κοινῇ κατὰ τόπους, καὶ κατὰ πόλεις ἰδίᾳ, μνῆμαί τινες ἐσώζοντο καὶ τῶν τοιούτων ἀκαυσμάτων, ὥσπερ ἔφην· ἃς διαδεχόμενοι παῖδες παρὰ πατέρων, ἐπιμελῶς ἐποιοῦντο παραδιδόναι τοῖς ἐκγόνοις· καὶ τοὺς βουλομένους αὐτὰς εἰς τὸ κοινὸν ἐνφέρειν, οὕτως ἠξίουν συγγράφειν, ὡς παρὰ τῶν ἀρχαίων ἐδέξαντο, ἐκείνοις μὲν οὖν τοῖς ἀνδράσιν ἀναγκαῖον ἦν ποικίλλειν τοὺς μυθώδεσιν ἐπεισοδίοις τὰς τοπικὰς ἀνηγορφάς. Θουκυδίδῃ δὲ, τῷ προελομένῳ μίαν ὑπόθεσιν, ἣ παρεγίνετο αὐτὸς, οὐχ ἥρμοττεν ἐγκαταμιγνύειν τῇ διηγήσει τὰς θεατρικὰς χορηγίας, οὐδὲ πρὸς τὴν ἀπάτην ἁρμόττεσθαι τῶν ἀναγνωσομένων, ἣν ἐπῖναι πεφύκασι φέρειν αἱ συντάξεις· ἀλλὰ πρὸς τὴν ὠφέλειαν, ἧς αὐτὸς ἐν τῷ προοιμίῳ τῆς ἱστορίας διδήλωκε, κατὰ λέξιν οὕτω γράφων· „Καὶ ἐς μὲν ἀκρόασιν ἴσως τὸ „μὴ μυθῶδες αὐτῶν ἀτερπέστερον φανεῖται· ὅσοι „δὲ βουλήσονται τῶν τε γενομένων τὸ σαφὲς σκο„πεῖν, καὶ τῶν μελλόντων ποτὲ αὖθις κατὰ τὸ ἀν„θρώπινον, τοιούτων καὶ παραπλησίων ἔσεσθαι, „ὠφέλιμα κρῖναι αὐτὰ, ἀρκούντως ἕξει· κτῆμά τε „ἐς αἰεὶ μᾶλλον, ἢ ἀγώνισμα ἐς τὸ παραχρῆμα „ἀκοῦσαι ξύγκειται.“

8. Μαρτυρεῖται δὲ τῷ ἀνδρὶ τάχα μὲν ὑπὸ πάντων φιλοσόφων τε καὶ ῥητόρων, εἰ δὲ μὴ, τῶν γε πλείστων, ὅτι καὶ τῆς ἀληθείας, ἧς ἱερὸν εἶναι τὴν ἱστορίαν βουλόμεθα, πλείστην ἐποιήσατο πρόνοιαν· οὔτε προσυπθεὶς τοῖς πράγμασιν οὐδὲν, ὃ μὴ δίκαιον, οὐδὲ ἀφαιρῶν, οὐδὲ ἐπεξουσιάζων τῇ γρα-

Digitized by Google

φῇ· ἀνέγκλητον δὲ καὶ καθαρὰν τὴν προαίρεσιν ἀπὸ παντὸς φθόνου, καὶ πάσης κολακείας φυλάττων, μάλιστα δ' ἐν ταῖς περὶ τῶν ἀγαθῶν ἀνδρῶν γνώμαις. καὶ γὰρ Θεμιστοκλέους ἐν τῇ πρώτῃ βίβλῳ μνησθεὶς, τὰς ὑπαρχούσας αὐτῷ ἀρετὰς ἀφθόνως ἐπελήλυθε· καὶ τῶν Περικλέους πολιτευμάτων ἅψάμενος ἐν τῇ δευτέρᾳ βίβλῳ, τῆς διαβεβοημένης περὶ αὐτοῦ δόξης ἄξιον εἴρηκεν ἐγκώμιον· περί τε Δημοσθένους τοῦ στρατηγοῦ, καὶ Νικίου τοῦ Νικηράτου, καὶ Ἀλκιβιάδου τοῦ Κλεινίου, καὶ ἄλλων στρατηγῶν τε καὶ ῥητόρων ἀναγκασθεὶς λέγειν, ὅσα προσήκοντα ἦν ἑκάστῳ, διεδήλωσε. παραδείγματα δὲ περὶ αὐτῶν φέρειν οὐ δέομαι τοῖς διεληλυθόσιν αὐτοῦ τὰς ἱστορίας. ταῦτα μὲν οὖν ἂν ἔχοι τις εἰπεῖν, ἃ περὶ τὸν πραγματικὸν τόπον ὁ συγγραφεὺς κατορθοῖ, καλά, καὶ μιμήσεως ἄξια. κράτιστον δὲ πάντων, τὸ μηδὲν ἑκουσίως ψεύδεσθαι, μηδὲ μιαίνειν τὴν αὐτοῦ συνείδησιν.

9. Ἃ δ' ἐλλιπέστερον κατεσκεύασε, καὶ ἐφ' οἷς ἐγκαλοῦσιν αὐτῷ τινὲς, περὶ τὸ τεχνικώτερον μέρος ἐστὶ τοῦ πραγματικοῦ, τὸ λεγόμενον μὲν οἰκονομικὸν, ἐν ἁπάσαις δὲ γραφαῖς ἐπιζητούμενον, ἐάν τε φιλοσόφους προέληταί τις ὑποθέσεις, ἐάν τε ῥητορικάς. ταῦτα δέ ἐστι τὰ περὶ τὴν διαίρεσιν, καὶ τὰ περὶ τὴν τάξιν, καὶ τὰ περὶ τὰς ἐξεργασίας. ἄρξομαι δ' ἀπὸ τῆς διαιρέσεως, προειπὼν, ὅτι τῶν πρὸ αὐτοῦ γενομένων συγγραφέων, ἢ κατὰ τόπους μεριζόντων τὰς ἀναγραφὰς, ἢ κατὰ χρόνους εὐπαρακολουθήτους, ἐκεῖνος οὐδετέραν τούτων τῶν διαιρέ-

Digitized by Google

σεων ἐδοκίμασεν. οὔτε γὰρ τοῖς τόποις, ἐν οἷς αἱ πράξεις ἐπετελέσθησαν, ἀκολουθῶν ἐμέρισε τὰς διηγήσεις, ὡς Ἡρόδοτός τε καὶ Ἑλλάνικος καὶ ἄλλοι τινὲς τῶν πρὸ αὐτοῦ συγγραφέων ἐποίησαν· οὔτε τοῖς χρόνοις, ὡς οἱ τὴν τοπικὴν ἐκδόντες ἱστορίαν, προείλοντο, ἤτοι ταῖς διαδοχαῖς τῶν βασιλέων περιζώντες τὰς ἀναγραφάς, ἢ ταῖς τῶν ἱερέων, ἢ ταῖς περιόδοις τῶν ὀλυμπιάδων, ἢ τοῖς ἀποδεικνυμένοις ἄρχουσιν ἐπὶ τὰς ἐνιαυσίους ἀρχάς. καινήν δέ τινα καὶ ἄτριβῆ τοῖς ἄλλοις πορευθῆναι βουληθεὶς ὁδόν, θερείαις καὶ χειμερίαις ἐμέρισε τὴν ἱστορίαν. ἐκ δὲ τούτου συμβέβηκεν αὐτῷ τοὐναντίον, ἢ προσεδόκησεν. οὐ γὰρ σαφεστέρα γέγονεν ἡ διαίρεσις τῶν χρόνων, ἀλλὰ δυσπαρακολουθητοτέρα κατὰ τὰς ὥρας. ἐφ' ᾧ θαυμάζειν ἄξιον, πῶς αὐτὸν ἔλαθεν, ὅτι, πολλῶν ἅμα πραγμάτων κατὰ πολλοὺς τόπους γινομένων, εἰς μικρὰς καταπερματιζομένη τομὰς ἡ διήγησις, οὐκ ἀπολήψεται τὸ, τηλαυγὲς φῶς ἐκεῖνο καὶ καθαρὸν, ὡς ἐξ αὐτῶν γένεται τῶν πραγμάτων φανερόν. ἐν γοῦν τῇ τρίτῃ βίβλῳ· ταύτῃ γὰρ ἀρκεσθήσομαι μόνον· τὰ περὶ Μιτυληναίους ἀρξάμενος γράφειν, πρὶν ὅλην ἐκπληρῶσαι τὴν διήγησιν, ἐπὶ τὰ Λακεδαιμονίων ἄπεισιν ἔργα· καὶ οὐδὲ ταῦτα συγκορυφώσας, τῆς Πλαταιέων μέμνηται πολιορκίας. ἀφεὶς δὲ καὶ ταύτην ἀτελῆ, τοῦ Μιτυληναϊκοῦ μέμνηται πολέμου· εἶτ' ἐκεῖθεν ἄγει τὴν διήγησιν ἐπὶ τὰ περὶ Κέρκυραν, ὡς ἐστασίασαν, οἱ μὲν Λακεδαιμονίους, οἱ δ' Ἀθηναίους ἐπαγόμενοι. ἀφεὶς δὲ καὶ ταῦτα ἡμιτελῆ, περὶ τῆς εἰς Σικελίαν στρα-

Digitized by Google

τείας τῆς προτέρας Ἀθηναίων ὀλίγα λέγει. εἶτα Ἀθηναίων ἔκπλουν ἐπὶ Πελοπόννησον ἀρξάμενος λέγειν, καὶ Λακεδαιμονίων τὴν ἐπὶ Δωριεῖς στρατείαν, τὰ περὶ Λευκάδα πραχθέντα ὑπὸ Δημοσθένους τοῦ στρατηγοῦ, καὶ τὸν πρὸς Αἰτωλοὺς πόλεμον ἐπιπορεύεται· ἐκεῖθεν δ' ἄπεισιν ἐπὶ Ναύπακτον. ἀτελεῖς δὲ καὶ τοὺς ἠπειρωτικοὺς πολέμους καταλιπὼν, Σικελίας ἅπτεται πάλιν. καὶ μετὰ τοῦτο Δῆλον καθαίρει, καὶ τὸ Ἀμφιλοχικὸν Ἄργος πολεμούμενον ὑπὸ Ἀμβρακιωτῶν καταλείπει. καὶ τί δεῖ πλείω λέγειν; ὅλη γὰρ ἡ βίβλος οὕτω συγκέκοπται, καὶ τὸ διηνεκὲς τῆς ἀπαγγελίας ἀπολώλεκε. πλανώμεθα δὴ, καθάπερ εἰκὸς, καὶ δυσκόλως τοῖς δηλουμένοις παρακολουθοῦμεν, ταραττομένης ἐν τῷ διασπᾶσθαι τὰ πράγματα τῆς διανοίας, καὶ τὰς ἡμιτελεῖς τῶν ἀκουσθέντων μνήμας οὐ ῥᾳδίως, οὐδ' ἀκριβῶς, ἀναφερούσης. χρὴ δὲ τὴν ἱστορικὴν πραγματείαν εἰρομένην καὶ ἀπερίσπαστον εἶναι, ἄλλως τε ἐπειδὴ περὶ πολλῶν γίνηται πραγμάτων καὶ δυσκαταμαθήτων. ὅτι δ' οὐκ ὀρθὸς ὁ καιρὸς οὗτος, οὐδ' οἰκεῖος ἱστορίᾳ, δῆλον· οὐδεὶς γὰρ τῶν μεταγενεστέρων συγγραφέων θερείαις καὶ χειμῶσι διεῖλε τὴν ἱστορίαν· ἀλλὰ πάντες τὰς τετριμμένας ἄγειν ἐπὶ τὴν σαφήνειαν μετῆλθον.

10. Αἰτιῶνται δὲ καὶ τὴν τάξιν αὐτοῦ τινες, ὡς οὔτ' ἀρχὴν τῆς ἱστορίας ἐπιφάτου, ἣν ἔχρῆν, οὔτε τέλος ἐφημοκότος αὐτῇ τὸ πρέπον· οὐκ ἐλάχιστον μέρος εἶναι λέγοντες οἰκονομίας ἀγαθῆς, ἀρχήν τε λαβεῖν, ἧς οὐκ ἂν εἴη τι πρότερον, καὶ

Digitized by Google

τέλει παριλαβεῖν τὴν πραγματείαν, ᾧ δόξῃ μηδὲν ἐνδεῖν· ὧν αὐθετέρου πρόνοιαν αὐτὸν πεποιῆσθαι τὴν προσήκουσαν. τὴν δ' ἀφορμὴν αὐτοῖς τῆς κατηγορίας ταύτης ὁ συγγραφεὺς παρέσχηται· προειπὼν γὰρ, ὡς μέγιστος ἐγένετο τῶν πρὸ αὐτοῦ πολέμων ὁ Πελοποννησιακὸς, χρόνου τε μήκει, καὶ παθημάτων πολλῶν συντυχίαις, τελευτῶν τοῦ προοιμίου τὰς αἰτίας βούλεται πρῶτον εἰπεῖν, ἀφ' ὧν τὴν ἀρχὴν ἔλαβε. δεῖται δὲ ταύτας ὑποθέμενος, τὴν τ' ἀληθῆ μὲν, οὐκ εἰς ἅπαντας δὲ λεγομένην, τὴν αὔξησιν τῆς Ἀθηναίων πόλεως· καὶ τὴν οὐκ ἀληθῆ μὲν, ὑπὸ δὲ Λακεδαιμονίων πλαττομένην, τὴν Ἀθήνηθεν ἀποστασίδσιν Κερκυραίοις κατὰ Κορινθίων συμμαχίαν, οὐκ ἀπὸ τῆς ἀληθοῦς καὶ αὐτῷ δοκούσης, τὴν ἀρχὴν ποιήσατο τῆς διηγήσεως, ἀλλ' ἀπὸ τῆς ἑτέρας, κατὰ λέξιν οὕτω γράφων· „Ἦρξαντο δὲ Ἀθηναῖοι αὐτοῦ καὶ Πελοπον„νήσιοι, λύσαντες τὰς τριακοντούτεις σπονδὰς, αἳ „αὐτοῖς ἐγένοντο μετὰ τὴν Εὐβοίας ἅλωσιν. διότι „δὲ ἔλυσαν, τὰς αἰτίας προέγραψα πρῶτον, καὶ τὰς „διαφορὰς τοῦ μή τινας ζητῆσαί ποτε, ἐξ ὅτου τοσοῦτος πόλεμος τοῖς Ἕλλησι κατέστη. τὴν μὲν γὰρ „ἀληθεστάτην πρόφασιν, ἀφανεστάτην δὲ λόγῳ, „τοὺς Ἀθηναίους ἡγοῦμαι, μεγάλους γιγνομένους, „καὶ φόβον παρέχοντας τοῖς Λακεδαιμονίοις, ἀναγ„κάσαι ἐς τὸ πολεμεῖν. αἱ δὲ ἐς τὸ φανερὸν λεγό„μεναι αἰτίαι, αἵδ' ἦσαν ἑκατέρων· ἀφ' ὧν λύσαν„τες τὰς σπονδὰς, ἐς τὸν πόλεμον κατέστησαν· „Ἐπίδαμνός ἐστι πόλις ἐν δεξιᾷ ἐσπλέοντι τὸν Ἰό-

Digitized by Google

„νιον κόλπον. προσοικοῦσι δ' αὐτὴν Ταυλάντιοι „βάρβαροι, Ἰλλυρικὸν ἔθνος." καὶ μετὰ ταῦτο διεξέρχεται τὰ περὶ Ἐπίδαμνον, καὶ τὰ περὶ Κέρκυραν, καὶ τὰ περὶ Ποτίδαιαν, καὶ τὴν Πελοποννησίων σύνοδον εἰς Σπάρτην, καὶ τοὺς ῥηθέντας ἐκεῖ κατὰ τῆς Ἀθηναίων πόλεως λόγους. ταῦτα δὲ μέχρι δισχιλίων ἐκμηκύνας στίχων, τότε περὶ τῆς ἑτέρας αἰτίας τὸν λόγον ἀποδίδωσι τῆς ἀληθοῦς τε καὶ αὐτῷ δοκούσης, ἐνθένδε ἀρξάμενος· „Ἐψηφίσαντο δὲ „οἱ Λακεδαιμόνιοι τὰς σπονδὰς λελῦσθαι καὶ πολε„μεῖν Ἀθηναίοις, οὐ τοσοῦτον τῶν συμμάχων πει„σθέντες τοῖς λόγοις, ὅσον φοβούμενοι τοὺς Ἀθη„ναίους, μὴ ἐπὶ μεῖζον δυνηθῶσιν, ὁρῶντες αὐτοῖς „τὰ πολλὰ τῆς Ἑλλάδος ὑποχείρια ἤδη ὄντα. οἱ γὰρ „Ἀθηναῖοι τρόπῳ τοιῷδε ἦλθον ἐπὶ τὰ πράγματα, „ἐν οἷς ηὐξήθησαν." οἷς ἐπιτίθησι τὰ ἔργα τῆς πόλεως, ὅσα μετὰ τὸν Περσικὸν πόλεμον ἕως τοῦ Πελοποννησιακοῦ διεπράξαντο, κεφαλαιωδῶς καὶ ἐπιτροχάδην ἐν ἐλάττοσιν, ἢ πεντακοσίοις στίχοις. ἀναμνησθεὶς δ', ὅτι πρότερα τῶν Κερκυραϊκῶν ἦν, καὶ οὐκ ἀπ' ἐκείνων ἔλαβε τὴν ἀρχὴν ὁ πόλεμος, ἀλλ' ἀπὸ τούτων, ταῦτα πάλιν κατὰ λέξιν γράφει· „Μετὰ ταῦτα δὲ ἤδη γίγνεται οὐ πολλοῖς ἔτεσιν „ὕστερον τὰ προειρημένα, τά τε Κερκυραϊκὰ καὶ „τὰ Ποτίδαιατικά, καὶ ὅσα πρόφασις τοῦδε τοῦ „πολέμου κατέστη. ταῦτα δὲ ξύμπαντα, ὅσα ἔπρα„ξαν οἱ Ἕλληνες πρός τε ἀλλήλους καὶ [πρὸς] τὸν „βάρβαρον, ἐγένετο ἐν ἔτεσι πεντήκοντα μάλιστα, „μεταξὺ τῆς τε Ξέρξου ἀναχωρήσεως, καὶ τῆς ἀρχῆς

Digitized by Google

„τοῦδε τοῦ πολέμου· ἐν οἷς οἱ Ἀθηναῖοι τήν τε „ἀρχὴν ἐγκρατεστέραν κατεστήσαντο, καὶ αὐτοὶ ἐπὶ „μέγα ἐχώρησαν δυνάμεως· οἱ δὲ Λακεδαιμόνιοι, „αἰσθόμενοι, οὔτε ἐκώλυον, εἰ μὴ ἐπὶ βραχύ, ἡσυ- „χάζοντες τὸ πλέον τοῦ χρόνου, ὄντες μὲν καὶ πρὸ „τοῦ μὴ ταχεῖς ἰέναι ἐς τοὺς πολέμους, εἰ μὴ ἀναγ- „κάζοιντο, τὸ δέ τι καὶ πολέμοις οἰκείοις ἐξειργό- „μενοι· πρὶν δὴ ἡ δύναμις τῶν Ἀθηναίων σαφῶς „ἤρετο, καὶ τῆς ξυμμαχίας αὐτῶν ἥπτοντο· τότε δὲ „οὐκέτι ἀνασχετὸν ἐποιοῦντο, ἀλλ' ἐπιχειρητέα ἐδό- „κει εἶναι πάσῃ προθυμίᾳ, καὶ καθαιρετέα ἡ „ἰσχύς, ἣν δυνάμενοι, ἄραντες τόνδε τὸν πό- „λεμον."

11. Ἔχρῆν δ' αὐτὸν, ἀρξάμενον τὰς αἰτίας τοῦ πολέμου ζητεῖν, πρώτην ἀποδοῦναι τὴν ἀληθῆ καὶ ἑαυτῷ δοκοῦσαν. ἥ τε γὰρ φύσις ἀπῄτει τὰ πρότερα τῶν ὑστέρων ἄρχειν, καὶ τἀληθῆ πρὸ τῶν ψευδῶν λέγεσθαι· ἥ τε τῆς διηγήσεως εἰσβολὴ κρείττων ἂν ἐγίνετο μακρῷ, τοιαύτης οἰκονομίας τυχοῦσα. οὐδὲ γὰρ ἐκεῖνό τις ἂν εἰπεῖν ἔχοι, τῶν ἀπολογεῖσθαι περὶ αὐτοῦ βουλομένων, ὅτι μικρὰ καὶ οὐκ ἄξια λό- γου τὰ πράγματα ἦν, ἢ κοινὰ καὶ κατημαξευμένα τοῖς πρὸ αὐτοῦ, ὥστε μηδὲν δεῖν ἀπὸ τούτων ἀρχὴν ποιεῖσθαι· αὐτὸς γὰρ ὡς ἐκλειφθέντα τὸν τόπον τοῦτον ὑπὸ τῶν ἀρχαίων, ἄξιον ἱστορίας ὑπέλῃφεν, αὐταῖς λέξεσιν οὕτω γράφων· „Ἔγραψα δὲ αὐτὰ, „καὶ τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην διὰ τόδε, „ὅτι τοῖς πρὸ ἐμοῦ ἅπασιν ἐκλιπὲς τὸ χωρίον τοῦτο „ἦν· καὶ ἦ τὰ πρὸ τῶν Μηδικῶν Ἑλληνικὰ ξυνε-

Digitized by Google

„τίθεσαν, ἢ αὐτὰ τὰ Μηδικά. τούτων δὲ, ὅσπερ „καὶ ἥψατο ἐν τῇ Ἀττικῇ ξυγγραφῇ Ἑλλάνικος, „βραχέως τε καὶ τοῖς χρόνοις οὐκ ἀκριβῶς ἐπεμνή„σθη: ἅμα δὲ καὶ τῆς ἀρχῆς ἀπόδειξιν ἔχει τῆς τῶν „Ἀθηναίων, ἐν οἵῳ τρόπῳ κατέστη."

12. Ἱκανὸν μὲν οὖν καὶ τοῦτο τεκμήριον ἦν τοῦ μὴ κατὰ τὸν ἄριστον τρόπον ᾠκονομῆσθαι τὴν διήγησιν ὑπ' αὐτοῦ· λέγω δὴ τὸ μὴ κατὰ φύσιν ἔχειν· πρόσεστι δὲ τούτῳ καὶ τὸ μὴ, εἰς ἃ δεῖ κεφάλαια, τετελευτηκέναι τὴν ἱστορίαν. ἔτη γὰρ ἑπτὰ καὶ εἴκοσι περιειληφότος τοῦ πολέμου, πάντα τὸν χρόνον τοῦτον ἕως τῆς καταλύσεως αὐτοῦ βιώσας, μέχρι τοῦ δευτέρου καὶ εἰκοστοῦ κατεβίβασεν ἔτους τὴν ἱστορίαν, τῇ περὶ Κυνὸς σῆμα ναυμαχίᾳ τὴν ὀγδόην βίβλον παρεκτείνας· καὶ ταῦτα προειρηκὼς ἐν τῷ προοιμίῳ, πάντα περιλήψεσθαι τὰ πραχθέντα κατὰ τόνδε τὸν πόλεμον· καὶ ἐν τῇ πέμπτῃ βίβλῳ πάλιν συνανακεφαλαιῶν τε τοὺς χρόνους, ἀφ' οἷ τ' ἤρξατο, καὶ μέχρις οὗ προελθὼν κατελύθη, ταῦτα κατὰ λέξιν γέγραφε· „Καὶ τοῖς [ἀπὸ] χρη„σμῶν τι ἰσχυρισαμένοις, μόνον δὲ τοῦτο ὀχυρῶς „ξυμβάν. ἀεὶ γὰρ ἐγὼ μέμνημαι, καὶ ἀρχομένου „τοῦ πολέμου, καὶ μέχρις οὗ ἐτελεύτησε, προφερό„μενον ὑπὸ πολλῶν, ὅτι τρὶς ἐννέα ἔτη δέοι γενέ„σθαι αὐτόν. ἐπεβίων δὲ διὰ παντὸς αὐτοῦ, αἰ„σθανόμενός τε τῇ ἡλικίᾳ, καὶ προσέχων τὴν γνώ„μην, ὅπως ἀκριβῶς τι εἴσομαι· καὶ ξυνέβη μοι „φεύχειν τὴν ἐμαυτοῦ, ἔτη εἴκοσι μετὰ τὴν ἐς Ἀμ„φίπολιν στρατηγίαν· καὶ γενομένῳ παρ' ἀμφοτί-

Digitized by Google

„ρους τοῖς πράγμασι, καὶ οὐχ ἧσσον τοῖς Πελοπον-
„νησίοις διὰ τὴν φυγὴν, καθ' ἡσυχίαν τι αὐτῶν
„μᾶλλον αἰσθέσθαι. τὴν οὖν μετὰ [τὰ] δέκα ἔτη
„διαφορὰν τε καὶ ξύγχυσιν τῶν σπονδῶν, καὶ τὰ
„ἔπειτα, ὡς ἐπολεμήθη, ἐξηγήσομαι."

13. Ὅτι δὲ καὶ περὶ τὰς ἐξεργασίας τῶν κεφα-
λαίων ἧττον ἐπιμελὴς ἐστιν, ἢ πλείονας τοῦ δέοντος
λύγους ἀποδιδοὺς τοῖς ἐλαττόνων δεομένοις, ἢ
ῥᾳθυμότερον ἐπιτρέχων τὰ δεόμενα πλείονος ἐξερ-
γασίας, πολλοῖς τεκμηρίοις βεβαιῶσαι δυνάμενος,
ὀλίγοις χρήσομαι, τὰς μὲν πράξεις Ἀθηναίων καὶ
Πελοποννησίων ναυμαχίας ἀμφοτέρας περὶ τὴν τε-
λευτὴν τῆς δευτέρας βίβλου γράφειν ἀρξάμενος· ἐν
αἷς πρὸς ἑπτὰ καὶ τεσσαράκοντα ναῦς Πελοποννη-
σίων εἴκοσι νανσὶν Ἀθηναῖοι μόνοι πρὸς πολλα-
πλασίους τῶν βαρβάρων ναυμαχήσαντες, ἃς μὲν
διέφθειραν, ἃς δ' αὐτάνδρους ἔλαβον, οὐκ ἐλάτ-
τους, ἢ ὅσας ἔστειλαν ἐπὶ τὸν πόλεμον. θήσω δὲ
καὶ τὴν λέξιν αὐτοῦ· „Ἐγένετο [δὲ] μετὰ ταῦτα
„καὶ ἡ ἐπ' Εὐρυμέδοντι ποταμῷ ἐν Παμφυλίᾳ πεζο-
„μαχία, καὶ ναυμαχία Ἀθηναίων καὶ τῶν ξυμμάχων
„πρὸς Μήδους· καὶ ἐνίκων τῇ αὐτῇ ἡμέρᾳ ἀμφότε-
„ρα Ἀθηναῖοι, Κίμωνος τοῦ Μιλτιάδου στρατη-
„γοῦντος, καὶ εἷλον τριήρεις Φοινίκων, καὶ διέ-
„φθειραν τὰς πάσας ἐς διακοσίας." ὅμοια δ' ἔστι
παρ' αὐτῷ καὶ τὰ κατὰ τὰς πέζικὰς μάχας, ἢ μηκυ-
νόμενα πέρα τοῦ δέοντος, ἢ συναγόμενα εἰς ἔλαττον
τοῦ μετρίου. τὰ μὲν γε περὶ Πύλον Ἀθηναίοις
πραχθέντα, καὶ τὰ περὶ τὴν Σφακτηρίαν καλουμέ-

Digitized by Google

νην νῆσον, ἐν ᾗ Λακεδαιμονίους κατακλείσαντες ἐξεπολιόρκησαν, ἀρξάμενος ἐν τῇ τετάρτῃ βίβλῳ διηχεῖσθαι, καὶ μεταξὺ τοῦ πολέμου τοῦδε πράξεις τινὰς ἑτέρας παραδιηγησάμενος· εἶτ' αὖθις ἐπιστρέψας ἐπὶ τὴν ἀπόδοσιν τῶν ἑξῆς, ἅπαντα τὰ γεγενημένα κατὰ τὰς μάχας ὑπ' ἀμφοτέρων διελήλυθεν ἀκριβῶς καὶ δυνατῶς· πλείους, ἢ τριακοσίους στίχους αὐτὸς ἀποδεδωκὼς ταῖς μάχαις· καὶ ταῦτα οὐ πολλῶν ὄντων, οὔτε τῶν ἀπολομένων, οὔτε τῶν παραδόντων τὰ ὅπλα. αὐτός γέ τοι συγκεφαλαιούμενος τὰ περὶ τὴν μάχην, κατὰ λέξιν οὕτω γράφει· „Ἀπέθανον δὲ ἐν τῇ νήσῳ, καὶ ζῶντες ἐλήφθησαν „τοσοίδε· εἴκοσι μὲν ὁπλῖται διέβησαν καὶ τετρα„κόσιοι οἱ πάντες. τούτων ζῶντες ἐκομίσθησαν „ὀκτὼ ἀποδέοντες τριακόσιοι· οἱ δ' ἄλλοι ἀπέθα„νον. καὶ Σπαρτιάται τούτων ἦσαν τῶν ζώντων „[περὶ] εἴκοσι καὶ ἑκατόν· Ἀθηναίων δὲ οὐ πολλοὶ „διεφθάρησαν."

14. Τῆς δὲ Νικίου στρατηγίας μηνθείς, ὅτι ναῦς ἑξήκοντα καὶ δισχιλίους ὁπλίτας Ἀθηναίων ἐπαγόμενος ἐπὶ Πελοπόννησον ἔπλευσε· κατακλείσας δὲ Λακεδαιμονίους εἰς τὰ φρούρια, τοὺς ἐν Κυθάροις κατοικοῦντας ἐξεπολιόρκησε, καὶ τῆς ἄλλης Πελοποννήσου πολλὴν ἐδήωσεν· ἐξ ἧς αἰχμαλώτων πλῆθος ἐπαγόμενος, ἀπέπλευσεν εἰς τὰς Ἀθήνας· οὕτως εἴρηκεν ἐπιτραχάδην, περὶ μὲν τῶν ἐν Κυθήροις πραγμάτων· „Καὶ μάχης γενομένης, „ὀλίγον μέν τινα χρόνον ὑπέστησαν οἱ Κυθήριοι· „ἔπειτα τραπόμενοι, κατέφυγον εἰς τὴν ἄνω πόλιν·

Digitized by Google

„καὶ ἕτερον ξυνέβησαν πρὸς Νικίαν καὶ τοὺς ξυν-
„άρχοντας, Ἀθηναίοις ἐπιτρέψαι περὶ σφῶν αὐτῶν,
„πλὴν θανάτου.“ περὶ δὲ τῆς Αἰγινητῶν ἁλώσεως
τῶν ἐν Θυρέᾳ· „Ἐν τούτῳ δ' οἱ Ἀθηναῖοι κατα-
„σχόντες, καὶ χωρήσαντες εὐθὺς πάσῃ τῇ στρατιᾷ,
„αἱροῦσι τὴν Θυρέαν· καὶ τὴν τε πόλιν κατέκαυ-
„σαν, καὶ τὰ ἐκόντα ἐξεπόρθησαν. τούς τε Αἰγινή-
„τας, ὅσοι μὴ ἐν χερσὶ διεφθάρησαν, ἄγοντες, ἀφί-
„κοντο εἰς τὰς Ἀθήνας.“ γενομένων δὲ περὶ τὰς
πόλεις ἀμφοτέρας εὐθὺς ἐν ἀρχῇ τοῦ πολέμου μεγά-
λων συμφορῶν, δι' ἃς ἐπεθύμησαν ἀμφότεραι τῆς
εἰρήνης, περὶ μὲν τῆς προτέρας, ὅτε Ἀθηναῖοι, τε-
τμημένης μὲν αὐτοῖς τῆς χώρας, οἰκοφθορημένης δὲ
τῆς πόλεως ὑπὸ λοιμοῦ, πᾶσαν ἀπογνόντες βοήθει-
αν ἄλλην, ἀπέστειλαν πρεσβείαν εἰς Σπάρτην, εἰρή-
νης τυχεῖν δεόμενοι· οὔτε τοὺς ἀποσταλέντας ἄν-
δρας εἴρηκεν, οὔτε τοὺς ῥηθέντας ἐκεῖ λόγους ὑπ'
αὐτῶν, οὔτε τοὺς ἐναντιωθέντας· ὑφ' ὧν πεισθέν-
τες Λακεδαιμόνιοι, τὰς διαλλαγὰς ἀπεψηφίσαντο.
φαύλως δέ πως καὶ ῥᾳθύμως, ὡς περὶ μικρῶν καὶ
ἀδόξων πραγμάτων, ταῦτα εἴρηκε· „Μετὰ δὲ τὴν
„δευτέραν εἰσβολὴν τῶν Πελοποννησίων οἱ Ἀθη-
„ναῖοι, ὡς ἥ τε χῆ αὐτῶν ἐτέτμητο τὸ δεύτερον, καὶ
„ἡ νόσος ἐπέκειτο ἅμα καὶ ὁ πόλεμος, ἠλλοίωντο
„τὰς γνώμας· καὶ τὸν Περικλέα ἐν αἰτίᾳ εἶχον, ὡς
„πείσαντα σφᾶς πολεμεῖν, καὶ δι' ἐκεῖνον ταῖς συμ-
„φοραῖς περιπεπτωκότες· πρὸς δὲ τοὺς Λακεδαιμο-
„νίους ὥρμηντο συγχωρεῖν. καὶ πρέσβεις τινὰς
„πέμψαντες πρὸς αὐτοὺς, ἄπρακτοι ἐγένοντο.“

Digitized by Google

περὶ δὲ τῆς ὑστέρας, ὅτε Λακεδαιμόνιοι τοὺς περὶ Πύλον ἁλόντας τριακοσίους κομίσασθαι προθέμενοι, πρεσβείας ἀπέστειλαν εἰς τὰς Ἀθήνας· καὶ τοὺς λόγους εἴρηκε τοὺς ὑπὸ τοῦ Λακεδαιμονίου ῥηθέντας τότε, καὶ τὰς αἰτίας ἐπελήλυθε, δι' ἃς οὐκ ἐπετελέσθησαν αἱ σπονδαί.

15. Εἰ μὲν οὖν ἡ ἐπὶ τῆς Ἀθηναίων πρεσβείας τὰ κεφάλαια τῶν γινομένων περιειλήφυῖα δήλωσις ἦρκει· λόγων δὲ καὶ παρακλήσεων, αἷς ἐχρήσαντο οἱ πρέσβεις, οὐδὲν ἔδει, μήτε πεισθέντων, μήτε δεξαμένων τὰς σπονδὰς Λακεδαιμονίων· αἱ δή ποτε οὖ τὴν αὐτὴν προαίρεσιν ἐφύλαξε καὶ ἐπὶ τῶν ἐκ τῆς Σπάρτης ἀφικομένων εἰς τὰς Ἀθήνας; οὐδὲ γὰρ ἐκεῖνοι διαπραξάμενοι τὴν εἰρήνην ἀπῆλθον. εἰ δ' ἀκριβῶς δεῖ ταῦτα εἰρῆσθαι, διά τί παρέλιπε ῥᾳθύμως ἐκεῖνα; οὐ γάρ δή γε ἀσθενείᾳ δυνάμεως ἐξείργετο περὶ ἀμφοτέρων τοὺς ἐνόντας εὑρεῖν τε καὶ ἐξειπεῖν λόγους. εἰ δὲ δὴ κατὰ λογισμόν τινα τὴν ἑτέραν προείλετο πρεσβείαν ἐξεργάσασθαι, οὐκ ἔχω συμβαλεῖν, κατὰ τί τὴν Λακωνικὴν πρεσβείαν τῆς Ἀττικῆς μᾶλλον, τὴν ὑστέραν τοῖς χρόνοις ἀντὶ τῆς προτέρας, καὶ τὴν ἀλλοτρίαν ἀντὶ τῆς ἰδίας, καὶ τὴν ἐπ' ἐλάττοσι κακοῖς γενομένην, ἀντὶ τῆς ἐπὶ μείζοσι. πόλεων δὲ ἁλώσεις καὶ καταστροφάς, καὶ ἀνδραποδισμούς, καὶ ἄλλας τοιαύτας συμφορὰς πολλάκις ἀναγκασθεὶς γράφειν, ποτὲ μὲν οὕτως ὠμὰ, καὶ δεινὰ, καὶ οἰκτων ἄξια φαίνεσθαι ποιεῖ τὰ πάθη, ὥστε μηδεμίαν ὑπερβολὴν μήτε ἱστοριογράφοις, μήτε ποιηταῖς, καταλιπεῖν· ποτὲ δὲ οὕτω ταπεινὰ

Digitized by Google

καὶ μικρά, ὥστε μηδ' εἰς αἴσθησιν ἡμῶν τὶ πεσεῖν γνώρισμα τοῖς ἀναγινώσκουσι τὸν ἄνδρα. λέγων τε, ἃ περὶ τῆς Πλαταιέων πόλεως εἴρηκε, καὶ περὶ τῆς Μιτυληναίων, καὶ περὶ τῆς Μηλίων, οὐδὲν δέομαι τὰς λέξεις ἐκείνας φέρειν, ἐν αἷς ἀπὸ τῆς ἄκρας δυνάμεως ἐξείργασται τὰς συμφορὰς αὐτῶν· ἐν αἷς δ' ἐπιτρέχει καὶ μικρὰ ποιεῖ τὰ πάθη αὐτῶν, κατὰ πολλοὺς τόπους τῆς ἱστορίας, τούτων μνησθήσομαι· „Περὶ δὲ τοὺς αὐτοὺς χρόνους τούτους Σκιωναίους „Ἀθηναῖοι ἐκπολιορκήσαντες, ἀπέκτειναν τοὺς „ἡβῶντας· παῖδας δὲ καὶ γυναῖκας ἠνδραπόδισαν· „καὶ τὴν γῆν Πλαταιεῦσιν ἔδωκαν νέμεσθαι." „Καὶ Ἀθηναῖοι πάλιν ἐς Εὔβοιαν διαβάντες, Περι„κλέους στρατηγοῦντος, κατεστρέψαντο πᾶσαν· καὶ „τὴν μὲν ἄλλην ὁμολογίᾳ κατέστησαν· Ἑστιαιεῖς „δ' ἐξοικίσαντες, αὐτοὶ τὴν γῆν ἔσχον." „Ἀνέστη„σαν δὲ Αἰγινήτας τῷ αὐτῷ χρόνῳ τούτῳ ἐξ Αἰγίνης „Ἀθηναῖοι, αὐτούς τε, καὶ γυναῖκας, καὶ παῖδας· „ἐπικαλέσαντες, οὐχ ἥκιστα τοῦ πολέμου σφίσιν „αἰτίους εἶναι· καὶ τὴν Αἴγιναν ἀσφαλέστερον ἂν „φαίνοντο, τῇ Πελοποννησίων ἐπικειμένην, αὐτῶν „πέμψαντες ἐποίκους, ἔχειν."

16. Πολλὰ καὶ ἄλλα τις ἂν εὕροι δι' ὅλης τῆς ἱστορίας, ἢ τῆς ἄκρας ἐξεργασίας τετυχηκότα, καὶ μήτε πρόσθεσιν δεχόμενα, μήτ' ἀφαίρεσιν· ἢ φαθύμως ἐπιτετροχασμένα, καὶ οὐδὲ τὴν ἐλαχίστην ἔμφασιν ἔχοντα τῆς δεινότητος ἐκείνης, μάλιστα δ' ἐν ταῖς δημηγορίαις, καὶ ἐν τοῖς διαλόγοις, καὶ ἐν ταῖς ἄλλαις ῥητορείαις. ὧν προνοούμενος, ἔοικεν ἀτελῆ

Digitized by Google

τὴν ἱστορίαν καταλιπεῖν, ὡς καὶ Κρατιππος, ὁ συνακμάσας αὐτῷ, καὶ τὰ παραλειφθέντα ὑπ' αὐτοῦ συναγαγὼν, ἔγραφεν· οὐ μόνον ταῖς πράξεσιν αὐταῖς ἐμποδὼν γεγενῆσθαι λέγων, ἀλλὰ καὶ τοῖς ἀκούουσιν ὀχληρὰς εἶναι. τοῦτό γέ τοι συνέντα αὐτὸν, ἐν τοῖς τελευταίοις τῆς ἱστορίας φησὶ μηδεμίαν τάξαι ῥητορείαν, πολλῶν μὲν κατὰ τὴν Ἰωνίαν γενομένων, πολλῶν δ' ἐν ταῖς Ἀθήναις, ὅσα διὰ λόγων καὶ δημηγοριῶν ἐπράχθη. εἴ γέ τοι τὴν πρώτην καὶ τὴν ὀγδόην βίβλον ἀντιπαρεξετάζοι τις ἀλλήλαις, οὔτε τῆς αὐτῆς ἂν προαιρέσεως δόξειεν ἀμφοτέρας ὑπάρχειν, οὔτε τῆς αὐτῆς δυνάμεως· ἡ μὲν γὰρ, ὀλίγα πράγματα καὶ μικρὰ περιέχουσα, πληθύει τῶν ῥητορειῶν· ἡ δὲ, περὶ πολλὰς καὶ μεγάλας συνταχθεῖσα πράξεις, δημηγορικῶν σπανίζει λόγων.

17. Ἔπαθε δ' ἔγωγε καὶ ἐν αὐταῖς ἔδοξα ταῖς ῥητορείαις τοῦτο συμβεβηκέναι τῷ ἀνδρὶ τὸ πάθος, ὥστε περὶ τὴν αὐτὴν ὑπόθεσιν, καὶ ἐν τῷ αὐτῷ καιρῷ τιθέναι μὲν, ἃς οὐκ ἔδει, παραλιπεῖν δὲ, ἃς ἔδει λέγεσθαι. οἷόν τι καὶ περὶ τῆς Μιτυληναίων πόλεως ἐν τῇ τρίτῃ βίβλῳ πεποίηκε. μετὰ γὰρ τὴν ἅλωσιν αὐτῆς, καὶ τὴν τῶν αἰχμαλώτων ἄφιξιν, οὓς ἀπέστειλεν ὁ στρατηγὸς Πάχης, διττῶν ἐκκλησιῶν γενομένων ἐν ταῖς Ἀθήναις, τοὺς μὲν ἐν τῇ προτέρᾳ ῥηθέντας ὑπὸ τῶν δημαγωγῶν λόγους παρέλειπεν, ὡς οὐκ ἀναγκαίους· ἐν ᾗ τοὺς τ' αἰχμαλώτους ἀποκτεῖναι ὁ δῆμος ἐψηφίσατο, καὶ τοὺς ἄλλους Μιτυληναίους ἠβηδὸν, γυναῖκας δὲ καὶ παῖδας ἀν-

Digitized by Google

δραποδίσαι· τοὺς δ' ἐν τῇ ὑστεραίᾳ πάλιν ὑπὸ τῶν αὐτῶν ἡθέντας, ἐν ᾗ μετάνοιά τις ὑπεισῆλθε τοὺς πολλοὺς, περὶ τὴν αὐτὴν συντυχθέντας ὑπόθεσιν, παρέλαβεν ὡς ἀναγκαίους.

18. Ὁ δὲ περιβόητος ἐπιτάφιος, ὃν ἐν τῇ δευτέρᾳ βίβλῳ διελήλυθε, κατὰ τίνα δή ποτε λογισμὸν ἐν τούτῳ κεῖται τῷ τόπῳ μᾶλλον, ἢ οὐκ ἐν ἑτέρῳ; εἴτε γὰρ ἐν ταῖς μεγάλαις συμφοραῖς τῆς πόλεως, ἐν αἷς Ἀθηναίων πολλοὶ καὶ ἀγαθοὶ μαχόμενοι διεφθάρησαν, τοὺς εἰωθότας ὁλοφυρμοὺς ἐπ' αὐτοῖς ἐχρῆν λέγεσθαι· εἴτ' ἐπὶ ταῖς μεγάλαις εὐπραγίαις, ἐξ ὧν δόξα τις ἐπιφανὴς, ἢ δύναμις, ἐγένετο τῇ πόλει, τιμᾶσθαι τοῖς ἐπιταφίοις ἐπαίνοις τοὺς ἀποθανόντας· ἐν ᾗ βούλεταί τις μᾶλλον βίβλῳ, ἢ ἐν ταύτῃ, τὸν ἐπιτάφιον ἥρμοττεν εἰρῆσθαι· ἐν ταύτῃ μὲν γὰρ οἱ κατὰ τὴν πρώτην τῶν Πελοποννησίων εἰσβολὴν πεσόντες Ἀθηναῖοι κομιδῇ τινες ἦσαν ὀλίγοι, καὶ οὐδ' οὗτοι λαμπρόν τι πράξαντες ἔργον, ὡς αὐτὸς ὁ Θουκυδίδης γράφει. προειπὼν γὰρ περὶ τοῦ Περικλέους, ὅτι τὴν πόλιν ἐφύλασσε, καὶ δι' ἡσυχίας μάλιστα, ὅσον ἐδύνατο, εἶχεν· „Ἱππέας μέντοι [τινὰς] ἐξέπεμπεν ἀεὶ, τοῦ μὴ προ„δρόμους, ἀπὸ τῆς στρατιᾶς ἐπιπίπτοντας ἐς τοὺς „ἀγροὺς τοὺς ἐγγὺς τῆς πόλεως, καπουργεῖν· καὶ „ἱππομαχίαν, φησὶ, γενέσθαι βραχεῖαν ἐν τῷ πρου„γίοις, τῶν τε Ἀθηναίων τέλος ἐνὶ τῶν ἱππέων, καὶ „Θεσσαλοῖς μετ' αὐτῶν, πρὸς τοὺς Βοιωτῶν ἱππέας· „ἐν ᾗ οὐκ ἔλαττον ἔσχον οἱ Θεσσαλοὶ καὶ Ἀθηναῖοι, „μέχρις οὗ, προσβοηθησάντων τοῖς Βοιωτοῖς τῶν

Digitized by Google

„ἁλιτῶν, τροπὴ ἐγένετο αὐτῶν· καὶ ἀπέθανον „τῶν Θεσσαλῶν καὶ Ἀθηναίων οὐ πολλοί· ἀνείλοντο „μέντοι αὐτοὺς αὐθημερὸν ἀσπόνδους· καὶ οἱ Πε„λοποννήσιοι τρόπαιον τῇ ὑστεραίᾳ ἔστησαν.“ ἐν δὲ τῇ τετάρτῃ βίβλῳ οἱ μετὰ Δημοσθένους, περὶ Πύλον, ἀγωνισάμενοι πρὸς Λακεδαιμονίων δύναμιν καὶ ἐκ γῆς καὶ ἐκ θαλάττης, καὶ νικήσαντες ἐν ἀμφοτέραις ταῖς μάχαις, δι' οὓς ἡ πόλις αὐχήματος ἐπληρώθη, πολλῷ πλείους τε καὶ κρείττους ἦσαν ἐκείνων. τί δή ποτ' οὖν ἐπὶ μὲν τοῖς ὀλίγοις ἐπαινοῦσι, καὶ οὐδεμίαν οὔτε δόξαν, οὔτε δύναμιν, τῇ πόλει κτησαμένοις, τάς τε ταφὰς ἀνοίγει τὰς δημοσίας ὁ συγγραφεὺς, καὶ τὸν ἐπιφανέστατον τῶν δημαγωγῶν, Περικλέα, τὴν ὑμνῳδὸν τραγῳδίαν ἐκείνην εἰσάγει διατιθέμενον· ἐπὶ δὲ τοῖς πλείοσι καὶ κρείττοσι, δι' οὓς ὑπέπεσον Ἀθηναίοις οἱ τὸν πόλεμον ἐξενέγκαντες κατ' αὐτῶν, ἐπιτηδειοτέροις οὖσι ταύτης τῆς τιμῆς τυγχάνειν, οὐκ ἐποίησε τῶν ἐπιτάφιον; ἵνα δὲ πάσας ἀφῶ τὰς ἄλλας μάχας, τάς τε κατὰ γῆν καὶ κατὰ θάλατταν, ἐν αἷς πολλοὶ διεφθάρησαν, οὓς πολὺ δικαιότερον ἦν νομίζεσθαι τοῖς ἐπιταφίοις ἐπαίνοις, ἢ τοὺς πολλοὺς τῆς Ἀττικῆς, ἱππεῖς δέκα, ἢ πεντεκαίδεκα ὄντας· οἱ ἐν Σικελίᾳ μετὰ Νικίου καὶ Δημοσθένους ἀποθανόντες Ἀθηναίων καὶ τῶν συμμάχων, ἔν τε ταῖς ναυμαχίαις, ἔν τε ταῖς κατὰ γῆν ἀγῶσι, καὶ τὸ τελευταῖον ἐν τῇ δυστήνῳ φυγῇ μυριάκις μυρίων οὐκ ἐλάττους ὄντες, καὶ οὐδὲ ταφῆς δυνηθέντες τυχεῖν τῆς νομίμου, πόσῳ μᾶλλον ἦσαν

Digitized by Google

ἐπιτηδειότεροι τυγχάνειν οἴκτων τε καὶ κόσμων ἐπιταφίων; ὁ δ' οὕτως ἠμέλησε τῶν ἀνδρῶν, ὥστε μηδὲ τοῦτ' αὐτὸ εἰπεῖν, ὅτι πένθος δημοσίᾳ προὔθητο ἡ πόλις, καὶ τοὺς εἰωθότας ἐναγισμοὺς τοῖς ἐπὶ ξένης ἀποθνοῦσιν, ἐπετέλεσε, καὶ τὸν ἐροῦντα ἐπ' αὐτοῖς ἀπέδειξεν, ὃς τῶν τότε ῥητόρων λέγειν ἦν ἱκανώτατος. οὐ γὰρ δὴ εἰκὸς ἦν Ἀθηναίους ἐπὶ μὲν τοῖς πεντεκαίδεκα ἱππεῦσι δημοσίᾳ πενθεῖν· τῶν δ' ἐκ καταλόγου πλείους διαφθαρέντας, ἢ πεντακισχιλίους, μηδὲ μιᾶς ἀξιῶσαι τιμῆς. ἀλλ' ἔοικεν ὁ συγγραφεὺς· εἰρήσεται γάρ, ἃ φρονῶ· τῷ Περικλέους προσώπῳ βουλόμενος ἀποχρήσασθαι, καὶ τὸν ἐπιτάφιον ἔπαινον ὡς ὑπ' ἐκείνου ῥηθέντα συνθεῖναι· ἐπεὶ δὲ κατὰ τὸ δεύτερον ἔτος ἐτελεύτησεν ἀνὴρ τοῦδε τοῦ πολέμου, καὶ οὐδὲ μιᾷ τῶν μετὰ ταῦτα γενομένων τῇ πόλει συμφορῶν παρεγένετο, εἰς ἐκεῖνο τὸ μικρόν, καὶ οὐκ ἄξιον σπουδῆς ἔργον, τὸν ὑπὲρ τὴν ἀξίαν τοῦ πράγματος ἔπαινον ἀποθέσθαι.

19. Ἔτι δὲ μᾶλλον ἴδοι τις ἂν τὸ περὶ τὰς ἐξεργασίας τοῦ συγγραφέως ἀνώμαλον, ἐπιλογισάμενος, ὅτι πολλὰ καὶ μεγάλα πράγματα παραλιπών, προοίμιον τῆς ἱστορίας μέχρι πεντακοσίων ἐκμηκύνει στίχων, τὰ πρὸ τοῦδε τοῦ πολέμου πραχθέντα τοῖς Ἕλλησι, μικρὰ βουλόμενος ἀποδεῖξαι, καὶ οὐκ ἄξια τῷδε παραβάλλεσθαι. οὔτε γὰρ ταληθὲς οὕτως εἶχεν, ὡς ἐκ πολλῶν ἐστι παραδεῖξαι πραγμάτων· οὔτε ὁ τῆς τέχνης ὑπαγορεύει λόγος, οὕτω μεθοδεύειν τὰς αὐξήσεις· οὐ

Digitized by Google

γὰρ, εἴ τι τῶν μικρῶν μεῖζόν ἐστι, διὰ τοῦτό ἐστιν ἤδη μέγα· ἀλλ' εἴ τι τῶν μεγάλων ὑπερέχει. γέγονέ τε αὐτῷ τὸ προοίμιον τοσαύτας εἰληφὸς ἀποδεικτικὰς τῆς προθέσεως ἐξεργασίας, ἱστορία τις αὐτὴ καθ' αὑτήν. οἱ δὲ τὰς ῥητορικὰς συνταξάμενοι τέχνας, παραγγέλλουσι δείγματα τῶν λόγων τὰ προοίμια ποιεῖν, αὐτὰ τὰ κεφάλαια τῶν μελλόντων δηλοῦσθαι προσλαμβάνοντας. ὃ δὴ καὶ πεποίηκεν ὁ ἀνὴρ ἐπὶ τῷ τέλει τοῦ προοιμίου, μέλλων ἄρχεσθαι τῆς διηγήσεως, ἐν ἐλάττοσιν, ἢ πεντήκοντα, στίχοις. ὥστε τὰ πολλὰ ἐκεῖνα καὶ καταβλητικὰ τοῦ μεγέθους τῆς Ἑλλάδος, οὐκ ἀναγκαίως αὐτῷ παρέλκεσθαι· ὅτι κατὰ τὸν Τρωϊκὸν πόλεμον οὔπω σύμπασα ἐκαλεῖτο ἐκ᾽ ὀνόματι ἡ Ἑλλάς· καὶ ὅτι περαιοῦσθαι χαυσὶν ἐπ᾽ ἀλλήλους οἱ τροφῆς ἀπορρύμενοι ἤρξαντο· καὶ προσπίπτοντες πόλεσιν ἀτειχίστοις καὶ κατὰ κώμας οἰκουμέναις, ἥρπαζον, καὶ τὸ πλεῖστον τοῦ βίου ἐντεῦθεν ἐποιοῦντο. τί δ᾽ ἦν ἀναγκαῖον περὶ τῆς Ἀθηναίων τρυφῆς, ἣ τὸ παλαιὸν ἐχρῶντο, λέγειν; ὅτι χρυσοῦς τε ἀνεπλέκοντο, καὶ χρυσοῦς τέττιγας εἶχον ἐπὶ ταῖς κεφαλαῖς· καὶ ὅτι Λακεδαιμόνιοι ἐγυμνώθησάν τε πρῶτοι, καὶ εἰς τὸ φανερὸν ἀποδύντες, λίπα μετὰ τοῦ γυμνάζεσθαι ἠλείψαντο; ὁ δὲ δὴ ναυπηγὸς ὁ Κορίνθιος, Ἀμεινοκλῆς, ὁ κατασκευάσας Σαμίοις πρῶτος τέτταρας τριήρεις· καὶ ὁ Σάμου τύραννος, Πολυκράτης, ὁ Ῥήνειαν ἑλὼν, καὶ ἀναθεὶς τῷ Ἀπόλλωνι τῷ Δηλίῳ· καὶ οἱ Φωκαεῖς οἱ Μασσαλίαν οἰκίσαντες, ὅτι ναυμαχίαν

Digitized by Google

Καρχηδονίους ἐνίκων· καὶ τὰ ἄλλα, ὅσα τοῦτοις ἐστὶν ὅμοια, τίνα καιρὸν εἶχε πρὸ τῆς διηγήσεως λέγεσθαι;

20. Εἰ δ' ἔστιν ὅσιόν μοι καὶ θεμιτὸν εἰπεῖν, ἃ φρονῶ, δοκεῖ μοι κράτιστον ἂν γενέσθαι προοίμιον, εἰ τὸ τελευταῖον αὐτοῦ μέρος τῇ προθέσει προσήρμοσε, πάντα τὰ ἐν μέσῳ παραλιπών· καὶ τοῦτον τὸν τρόπον αὐτὸ κατεσκεύασε· „Θουκυδί-„δης Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν Πελο-„ποννησίων καὶ Ἀθηναίων, ὡς ἐπολέμησαν πρὸς „ἀλλήλους· ἀρξάμενος εὐθὺς καθισταμένου, καὶ „ἐλπίσας μέγαν τε ἔσεσθαι καὶ ἀξιολογώτατον τῶν „προγεγενημένων· τεκμαιρόμενος, ὅτι ἀκμάζοντές „τε ἦσαν ἐς αὐτὸν ἀμφότεροι παρασκευῇ τῇ πάσῃ, „καὶ τὸ ἄλλο Ἑλληνικὸν ὁρῶν ξυνιστάμενον πρὸς „ἑκατέρους, τὸ μὲν εὐθὺς, τὸ δὲ καὶ διανοούμενον. „κίνησις γὰρ αὕτη μεγίστη δὴ τοῖς Ἕλλησιν ἐγένετο, „καὶ μέρει τινὶ τῶν βαρβάρων, ὡς δ' εἰπεῖν, καὶ „ἐπιπλεῖστον ἀνθρώπων. τὰ γὰρ πρὸ αὐτῶν, καὶ „τὰ ἔτι παλαιότερα, σαφῶς μὲν εὑρεῖν διὰ χρόνου „πλῆθος ἀδύνατον ἦν· ἐκ δὲ τεκμηρίων, ὧν ἐπὶ „μακρότατον σκοποῦντί μοι πιστεῦσαι ξυμβαίνει, „οὐ μεγάλα νομίζω γενέσθαι, οὔτε κατὰ τοὺς πο-„λέμους, οὔτε ἐς τὰ ἄλλα· οὔτε, ὡς ποιηταὶ „ὑμνήκασι περὶ αὐτῶν, ἐπὶ τὸ μεῖζον κοσμοῦντες, „μᾶλλον πιστεύων· οὔτε, ὡς λογογράφοι ξυνέθε-„σαν ἐπὶ τὸ προσαγωγότερον τῇ ἀκροάσει, ἢ ἀλη-„θέστερον, ὄντα ἀνεξέλεγκτα, καὶ τὰ πολλὰ ὑπὸ „χρόνου αὐτῶν ἀπίστως ἐπὶ τὸ μυθῶδες ἐκνενικη-

Digitized by Google

„κότα· εὑρῆσθαι δὲ ἡγησάμενος ἐκ τῶν ἐπιφανε-
„στάτων σημείων, ὡς παλαιὰ εἶναι, ἀποχρώντως.
„καὶ ὁ πόλεμος οὗτος, καίπερ τῶν ἀνθρώπων, ἐν
„ᾧ μὲν ἂν πολεμῶσι, τὸν παρόντα ἀεὶ μέγιστον
„κρινόντων, παυσαμένων δὲ, τὰ ἀρχαῖα μᾶλλον θαυ-
„μαζόντων, ἀπ' αὐτῶν τῶν ἔργων σκοπῶσι, δη-
„λώσει ὅμως μείζων γεγενημένος αὐτῶν. καὶ ὅσα
„μὲν λόγῳ εἶπον ἕκαστοι, ἢ μέλλοντες πολεμήσειν,
„ἢ ἐν αὐτῷ ἤδη ὄντες, χαλεπὸν τὴν [ἀκρίβειαν] αὐ-
„τὴν τῶν λεχθέντων [διαμνημονεῦσαι] ἦν, ἐμοί τε
„ὧν αὐτὸς ἤκουσα, καὶ τοῖς ἄλλοθέν ποθεν ἐμοὶ
„ἀπαγγέλλουσιν. ὡς δ' ἂν ἐδόκουν μοι ἕκαστοι
„περὶ τῶν ἀεὶ παρόντων τὰ δέοντα μάλιστα εἰπεῖν,
„ἐχομένῳ ὅτι ἐγγύτατα τῆς ξυμπάσης γνώμης τῶν
„ἀληθῶς λεχθέντων, οὕτως εἴρηται. τὰ δ' ἔργα τῶν
„πραχθέντων ἐν τῷ πολέμῳ, οὐκ ἐκ τοῦ παρατυ-
„χόντος πυνθανόμενος ἠξίωσα γράφειν, οὐδ' ὡς
„ἐμοὶ ἐδόκει· ἀλλ' οἷς τε αὐτὸς παρῆν, καὶ παρὰ
„τῶν ἄλλων, ὅσον δυνατόν, ἀκριβείᾳ περὶ ἑκάστου
„ἐπεξελθών. ἐπιπόνως δὲ εὑρίσκετο, διότι οἱ παρ-
„όντες τοῖς ἔργοις ἑκάστοις οὐ ταὐτὰ περὶ τῶν αὐ-
„τῶν ἔλεγον, ἀλλ' ὡς ἑκατέρων τις εὐνοίας, ἢ μνή-
„μης, ἔχοι· καὶ ἐς μὲν ἀκρόασιν ἴσως τὸ μὴ μυθώ-
„δες αὐτῶν ἀτερπέστερον φανεῖται· ὅσοι δὲ βουλή-
„σονται τῶν τε γενομένων τὸ σαφὲς σκοπεῖν, καὶ
„τῶν μελλόντων ποτὲ αὖθις κατὰ τὸ ἀνθρώπινον,
„τοιούτων καὶ παραπλησίων ἔσεσθαι, ὠφέλιμα
„κρίνειν αὐτὰ, ἀρκούντως ἕξει· κτῆμά τε ἐς αἰεὶ
„μᾶλλον, ἢ ἀγώνισμα ἐς τὸ παραχρῆμα, ἀκούειν

Digitized by Google

„ξύγκειται. τῶν δὲ πρότερον ἔργων μέγιστον ἐπρά-
„χθη τὸ Μηδικόν· καὶ τοῦτο ὅμως δυεῖν ναυμαχί-
„αιν [καὶ πεζομαχίαιν ταχείαν] τὴν κρίσιν ἔσχε·
„τούτου δὲ τοῦ πολέμου μῆκός τε μέγα προύβη, πα-
„θήματά τε ξυνηνέχθη γενέσθαι ἐν αὐτῷ τῇ Ἑλ-
„λάδι, οἷα οὐχ ἕτερα ἐν ἴσῳ χρόνῳ. οὔτε γὰρ πόλεις
„τοσαίδε ληφθεῖσαι ἠρημώθησαν, αἱ μὲν ὑπὸ βαρ-
„βάρων, αἱ δ' ὑπὸ σφῶν αὐτῶν ἀντιπολεμούντων·
„εἰσὶ δὲ αἳ καὶ οἰκήτορας μετέβαλον ἁλισκόμεναι·
„οὔτε φυγαὶ τοσαίδε ἀνθρώπων, καὶ φόνος, ὃ μὲν
„κατ' αὐτὸν [τὸν] πόλεμον, ὃ δὲ διὰ τὸ στασιάζειν.
„τά τε πρότερον ἀκοῇ μὲν λεγόμενα, ἔργῳ δὲ σπα-
„νιώτερον βεβαιούμενα, οὐκ ἄπιστα κατέστη, σει-
„σμῶν τε περι, οἳ ἐπὶ πλεῖστον ἅμα μέρος γῆς καὶ
„ἰσχυρότεροι οἱ αὐτοὶ ἔπεσχον, ἡλίου τε ἐκλείψεις,
„αἳ πυκνότεραι παρὰ τὰς ἐκ τοῦ πρὶν χρόνου μνη-
„μονευομένας ξυνέβησαν· αὐχμοί τε ἔστι παρ' οἷς
„μεγάλοι, καὶ ἀπ' αὐτῶν καὶ λιμοί· καὶ ἡ οὐχ
„ἥκιστα βλάψασα, καὶ μέρος τε φθείρασα, ἡ λοι-
„μώδης νόσος· ταῦτα γὰρ πάντα μετὰ τοῦδε τοῦ
„πολέμου ἅμα ξυνεπέθετο. ἦρξαντο δὲ αὐτοῦ Ἀθη-
„ναῖοι καὶ Πελοποννήσιοι, λύσαντες τὰς τριακον-
„ταετεῖς σπονδάς, αἳ αὐτοῖς ἐγένοντο μετὰ Εὐ-
„βοίας ἅλωσιν. διότι δὲ ἔλυσαν, τάς αἰτίας προέ-
„γραψα πρῶτον, καὶ τὰς διαφοράς τοῦ μή τινας
„ζητῆσαί ποτε, ἐξ οὗπερ τοσοῦτος πόλεμος τοῖς Ἕλ-
„λησι κατέστη."

21. Τὰ μὲν δὴ περὶ τὸ πραγματικὸν μέρος ἁμαρτήματά τε καὶ κατορθώματα τοῦ συγγραφέως,

Digitized by Google

ταῦτα ἐστι. τὰ δὲ περὶ τὸ λεκτικὸν, ἐν ᾧ μάλιστα ὁ χαρακτὴρ αὐτοῦ διάδηλός ἐστι, μέλλω νυνὶ λέγειν. ἀνάγκη δ' ἴσως καὶ περὶ ταύτης τῆς ἰδέας προειπεῖν, εἰς πόσα μέρη διαιρεῖσθαι πέφυκεν ἡ λέξις, καὶ τίνας περιείληφεν ἀρετάς· ἔπειτα δηλῶσαι, πῶς ἔχουσαν αὐτὴν ὁ Θουκυδίδης παρὰ τῶν πρὸ αὐτοῦ γενομένων συγγραφέων παρέλαβε· καὶ τίνα μέρη πρῶτος ἁπάντων ἐκαίνισεν, εἴτ' ἐπὶ τὸ κρεῖττον, εἴτ' ἐπὶ τὸ χεῖρον, μηδὲν ἀποκρυψάμενον.

22. Ὅτι μὲν οὖν ἅπασα λέξις εἰς δύο μέρη διαιρεῖται τὰ πρῶτα, εἴς τε τὴν ἐκλογὴν τῶν ὀνομάτων, ὑφ' ὧν δηλοῦνται τὰ πράγματα, καὶ εἰς τὴν σύνθεσιν τῶν ἐλαττόνων τε καὶ μειζόνων μορίων· καὶ ὅτι τούτων αὖθις ἑκάτερον εἰς ἕτερα μόρια διαιρεῖται· ἡ μὲν ἐκλογὴ τῶν στοιχειωδῶν μορίων, ὀνοματικῶν λέγω καὶ ῥηματικῶν καὶ συνδετικῶν, εἴς τε τὴν κυρίαν φράσιν, καὶ εἰς τὴν τροπικήν· ἡ δὲ σύνθεσις εἴς τε τὰ κῶλα, καὶ τὰ κῶλα, καὶ τὰς περιόδους· καὶ ὅτι τούτοις ἀμφοτέροις συμβέβηκε, λέγω δὴ τοῖς τε ἁπλοῖς καὶ ἀτόμοις ὀνόμασι, καὶ τοῖς ἐκ τούτων συνθέτοις, τὰ καλούμενα σχήματα· καὶ ὅτι τῶν καλουμένων ἀρετῶν αἱ μὲν εἰσιν ἀναγκαῖαι, καὶ ἐξ ἁπάσων ὀφείλουσι παρεῖναι τοῖς λόγοις· αἱ δ' ἐπίθετοι· καὶ ὅταν ὑφεστῶσιν αἱ πρῶται, τότε τὴν ἑαυτῶν ἰσχὺν λαμβάνουσιν, εἴρηται πολλοῖς πρότερον. ὥστ' οὐδὲν δεῖ περὶ αὐτῶν ἐμὲ νυνὶ λέγειν· οὐδ' ἐξ ὧν θεωρημάτων τε καὶ πραγμάτων τούτων τῶν ἀρετῶν ἑκάστη γίνεται, πολλῶν ὄντων· καὶ γὰρ ταῦτα τῆς ἀκριβεστάτης τέτευχεν ἐξεργασίας.

Digitized by Google

23. Τίσι δ' αὐτῶν ἐχρήσαντο πάντες οἱ πρὸ Θουκυδίδου γενόμενοι συγγραφεῖς, καὶ τίνων ἐπὶ μικρὸν ἥψαντο, ἐξ ἀρχῆς ἀναλαβὼν ὥσπερ ὑπεσχόμην, κεφαλαιωδῶς διέξειμι. ἀκριβέστερον γὰρ οὕτω γνώσεταί τις τὸν ἴδιον τοῦ ἀνδρὸς χαρακτῆρα. οἱ μὲν οὖν ἀρχαῖοι πάνυ, καὶ ἀπ' αὐτῶν μόνον γινωσκόμενοι τῶν ὀνομάτων, ποίαν τε λέξιν ἐπετήδευσαν, οὐκ ἔχω συμβαλεῖν, πότερα τὴν λιτὴν, καὶ ἀκόσμητον, καὶ μηδὲν ἔχουσαν περιττὸν, ἀλλ' αὐτὰ τὰ χρήσιμα καὶ ἀναγκαῖα· ἢ τὴν πομπικὴν καὶ ἀξιωματικὴν, καὶ ἐγκατάσκευον, καὶ τοῖς ἐπιθέτοις προσειληφυῖαν κόσμους. οὔτε γὰρ διασῴζονται τῶν πλείονων αἱ γραφαὶ μέχρι τῶν καθ' ἡμᾶς χρόνων· οὔθ' αἱ διασωζόμεναι παρὰ πᾶσιν, ὡς ἐκείνων οὖσαι τῶν ἀνδρῶν, πιστεύονται· ἐν αἷς εἰσιν αἵ τε Κάδμου τοῦ Μιλησίου, καὶ Ἀριστέου τοῦ Προικοννησίου, καὶ τῶν παραπλησίων τούτοις. οἱ δὲ πρὸ τοῦ Πελοποννησιακοῦ γενόμενοι πολέμου, καὶ μέχρι τῆς Θουκυδίδου παρεκτείναντες ἡλικίας, ὁμοίας ἔσχον ἅπαντες ὡς ἐπὶ τὸ πολὺ προαιρέσεις· οἵ τε τὴν Ἰάδα προελόμενοι διάλεκτον, τήν τε τοῖς τότε χρόνοις μάλιστ' ἀνθοῦσαν, καὶ οἱ τὴν ἀρχαίαν Ἀτθίδα, μικράς τινας ἔχουσαν διαφορὰς παρὰ τὴν Ἰάδα. πάντες γὰρ οὗτοι, καθάπερ ἔφην, περὶ τὴν κυρίαν λέξιν μᾶλλον ἐσπούδασαν, ἢ περὶ τὴν τροπικήν· ταύτην δὲ ὥσπερ ἥδυσμα παρελάμβανον. σύνθεσίν τε ὀνομάτων ὁμοίαν ἅπαντες ἐπετήδευσαν, τὴν ἀφελῆ καὶ ἀνεπιτήδευτον· καὶ οὐδ' ἐν τῷ σχηματίζειν τὰς λέξεις, τὰς νοήσεις ἐξέβησαν

Digitized by Google

ἐπὶ πολὺ τῆς τετριμμένης καὶ κοινῆς καὶ συνήθους ἅπασι διαλέκτου. τὰς μὲν οὖν ἀναγκαίας ἀρετὰς ἡ λέξις αὐτῶν πάντων ἔχει· καὶ γὰρ καθαρά, καὶ σαφής, καὶ σύντομός ἐστιν, ἀποχρώντως σώζουσα τὸν ἴδιον ἑκάστης διαλέκτου χαρακτῆρα· τὰς δ' ἐπιθέτους, ἐξ ὧν μάλιστα διάδηλος ἡ τοῦ ῥήτορος γίνεται δύναμις, οὔτε ἁπάσας, οὔτ' εἰς ἄκρον ἠκούσας, ἀλλ' ὀλίγας καὶ ἐπὶ βραχύ· ὕψος λέγω, καὶ παλιλῤῥημοσύνην, καὶ σεμνολογίαν, καὶ μεγαλοπρέπειαν· οὐδὲ δὴ τόνον, οὐδὲ βάρος, οὐδὲ πάθος, διαγείροντα τὸν νοῦν· οὐδὲ τὸ ἐῤῥωμένον καὶ ἐναγώνιον πνεῦμα, ἐξ ὧν ἡ καλουμένη γίνεται δεινότης, πλὴν ἑνὸς Ἡροδότου. οὗτος δὲ κατὰ τὴν ἐκλογὴν τῶν ὀνομάτων, καὶ κατὰ τὴν σύνθεσιν, καὶ κατὰ τὴν τῶν σχηματισμῶν ποικιλίαν, μακρῷ δή τινι τοὺς ἄλλους ὑπερβάλλετο, καὶ παρασκευάσει τῇ κρατίστῃ ποιήσει τὴν πεζὴν φράσιν ὁμοίαν γενέσθαι, πιθανός τε, καὶ χαρίτων, καὶ τῆς εἰς ἄκρον ἠκούσης ἡδονῆς ἕνεκα· ἀρετάς τε τὰς μεγίστας καὶ λαμπροτάτας ἔξω τῶν ἐναγωνίων οὐδὲν ἐν ταύταις ἐκάλιπεν· εἶτ' αὖ εὖ πεφυκὼς πρὸς αὐτάς, εἴτε κατὰ λογισμόν τινα ἀκουσίως ὑπῳδὸν, ὡς οὐχ ἁρμοττουσῶν ἱστορίαις. οὐδὲ γὰρ δημηγορίαις πολλαῖς ὁ ἀνὴρ, οὐδ' ἐναγωνίοις κέχρηται λόγοις, οὐδ' ἐν τῷ παθαίνειν καὶ δεινοποιεῖν τὰ πράγματα, τὴν ἀλκὴν ἔχει.

24. Τούτῳ δὲ δὴ τῷ ἀνδρὶ Θουκυδίδης ἐπιβαλὼν, καὶ τοῖς ἄλλοις, οὓς πρότερον ἐμνήσθην, καὶ συνιδὼν, ὃς ἕκαστος αὐτῶν ἔσχεν ἀρετάς, ἰδιάν τινα

Digitized by Google

χαρακτῆρα, καὶ παρεωραμένον ἅπασι, πρῶτος εἰς τὴν ἱστορικὴν πραγματείαν ἐσπούδασεν εἰσαγαγεῖν· ἐπὶ μὲν τῆς ἐκλογῆς τῶν ὀνομάτων τὴν τροπικὴν, καὶ γλωττηματικὴν, καὶ ἀπηρχαιωμένην, καὶ ξένην λέξιν προελόμενος ἀντὶ τῆς κοινῆς καὶ συνήθους τοῖς κατ' αὐτὸν ἀνθρώποις· ἐπὶ δὲ τῆς συνθέσεως τῶν τ' ἐλαττόνων καὶ τῶν μειζόνων μορίων, τὴν ἀξιωματικὴν, καὶ αὐστηρὰν, καὶ στιβαρὰν, καὶ βεβηκυῖαν, καὶ τραχύνουσαν ταῖς τῶν γραμμάτων ἀντιτυπίαις τὰς ἀκοὰς, ἀντὶ τῆς λιγυρᾶς, καὶ μαλακῆς, καὶ συνεξεσμένης, καὶ μηδὲν ἐχούσης ἀντίτυπον· ἐπὶ δὲ τῶν σχηματισμῶν, ἐν οἷς μάλιστα ἐβουλήθη διενέγκαι τῶν πρὸ αὐτοῦ, πλείστην εἰσενεγκάμενος σπουδήν. διετέλεσέ γέ τοι τὸν ἑπταπαιεικοσαετῆ χρόνον τοῦ πολέμου ἀπὸ τῆς ἀρχῆς ἕως τῆς τελευτῆς, τὰς ὅλας βίβλους, ἃς μόνας κατέλιπεν, στρέφων ἄνω καὶ κάτω, καὶ καθ' ἓν ἕκαστον τῶν τῆς φράσεως μορίων φινῶν καὶ τορεύων· καὶ τοτὲ μὲν λόγον ἐξ ὀνόματος ποιῶν, τοτὲ δ' εἰς ὄνομα συνάγων τὸν λόγον· καὶ νῦν μὲν τὸ ῥηματικὸν ὀνομαστικῶς ἐκφέρων, αὖθις δὲ τοὔνομα ῥῆμα ποιῶν, καὶ αὐτῶν γε τούτων ἀνεστρέφων τὰς χρήσεις, ἵνα τὸ μὲν ὀνομαστικὸν προσηγορικὸν γένηται, τὸ δὲ προσηγορικὸν ὀνομαστικῶς λέγηται· καὶ τὰ μὲν παθητικὰ ῥήματα, δραστήρια, τὰ δὲ δραστήρια, παθητικά· πλήθυντικῶν τε καὶ ἑνικῶν ἐναλλάττων τὰς φύσεις, καὶ ἀντιπαπηγορῶν τοῦτα ἀλλήλων· θηλυκὰ τ' ἀρσενικοῖς, καὶ ἀρσενικὰ θηλυκοῖς, καὶ οὐδέτερα τούτων τοῖς συνάπτων, ἐξ ὧν ἡ κατὰ φύ-

Digitized by Google

σιν ἀκολουθία πλανᾶται· τὰς δὲ τῶν ὀνοματικῶν, ἢ μετοχικῶν, πτώσεις ποτὲ μὲν πρὸς τὸ σημαινόμενον ἀπὸ τοῦ σημαίνοντος ἀποστρέφων, ποτὲ δὲ πρὸς τὸ σημαῖνον ἀπὸ τοῦ σημαινομένου· ἐν δὲ τοῖς συνδετικοῖς καὶ τοῖς προθετικοῖς μορίοις, καὶ ἔτι μᾶλλον ἐν τοῖς διαρθροῦσι τὰς τῶν ἑκομάτων δυνάμεις, ποιητοῦ τρόπον ἐνεξουσιάζων. πλεῖστα δ' ἄν τις εὕροι παρ' αὐτῷ σχήματα, προσώπων τ' ἀποστροφαῖς, καὶ χρόνων ἐναλλαγαῖς, καὶ τοπικῶν σημειώσεων μεταφοραῖς ἐξηλλαγμένα τῶν συνήθων, καὶ σολοικισμῶν λαμβάνοντα φαντασίας· ὁπόσα τε γίγνεται πράγματα ἀντὶ σωμάτων, ἢ σώματα ἀντὶ πραγμάτων· καὶ ἐφ' οἷς ἐνθυμημάτων αἱ μεταξὺ παρεμπτώσεις πολλαὶ γινόμεναι, διὰ πολλοῦ τὴν ἀκολουθίαν κομίζονται· τά τε σκολιὰ, καὶ πολύπλοκα, καὶ δυσεξίλικτα, καὶ τἆλλα τὰ συγγενῆ τούτοις. εὕροι δ' ἄν τις οὐκ ὀλίγα καὶ τῶν θεατρικῶν σχημάτων κείμενα παρ' αὐτῷ· τὰς παρισώσεις λέγω, καὶ παρονομασίας, καὶ ἀντιθέσεις· ἐν αἷς ἐπτέανσε Γοργίας ὁ Λεοντῖνος, καὶ οἱ περὶ Πῶλον, καὶ Λικύμνιον, καὶ πολλοὶ ἄλλοι τῶν κατ' αὐτὸν ἀκμασάντων. ἐκδηλότατα δ' αὐτοῦ καὶ χαρακτηριστικώτατά ἐστι, τό τε πειρᾶσθαι δι' ἐλαχίστων ὀνομάτων πλεῖστα σημαίνειν πράγματα, καὶ πολλὰ συντιθέναι νοήματα εἰς ἕν, καὶ ἔτι προσδεχόμενόν τι τὸν ἀκροατὴν ἀκούσεσθαι, καταλιπεῖν· ὑφ' ὧν ἄσαφὴς γίνεται τὸ βραχύ. ἵνα δὲ συνελὼν εἴπω, τέτταρα μέν ἐστιν ὥσπερ ὄργανα τῆς Θουκυδίδου λέξεως· τὸ ποιητικὸν τῶν ὀνομάτων, τὸ πολυειδὲς τῶν σχημά-

Digitized by Google

των, τὸ τραχὺ τῆς ἁρμονίας, τὸ τάχος τῶν σχημάτων. χρώματα δ' αὐτῆς, τό τε στρυφνόν, καὶ τὸ πυκνόν, καὶ τὸ πικρόν, καὶ τὸ αὐστηρόν, καὶ τὸ ἐμβριθές, καὶ τὸ δεινόν, καὶ τὸ φοβερόν· ὑπὲρ ἅπαντα δὲ ταῦτα τὸ παθητικόν. τοιοῦτος μὲν δή τίς ἐστιν ὁ Θουκυδίδης κατὰ τὸν τῆς λέξεως χαρακτῆρα, ᾧ παρὰ τοὺς ἄλλους διήνεγκεν. ὅταν μὲν οὖν ἥ τε προαίρεσις αὐτοῦ καὶ ἡ δύναμις συνεκδράμῃ, τέλεια γίνεται κατορθώματα καὶ δαιμόνια· ὅταν δ' ἐλλείπῃ τὸ τῆς δυνάμεως, οὐ παραμείναντος μέχρι πάντων τοῦ τόνου διὰ τὸ τάχος τῆς ἀπαγγελίας, ἀσαφὴς τὸ ἡ λέξις γίνεται, καὶ ἄλλας τινὰς ἐπιφέρει κῆρας οὐκ εὐπρεπεῖς. τὸ γὰρ ἐν ᾧ δεῖ τόπῳ τὰ ξένα καὶ πεποιημένα λέγεσθαι, καὶ μέχρι πόσου προελθόντα πεπαῦσθαι, καλὰ καὶ ἀναγκαῖα θεωρήματα ἐν πᾶσιν ὄντα τοῖς ἔργοις, οὐ διὰ πάσης τῆς ἱστορίας φυλάττει.

25. Πρειρημένων δὲ ταύτων κεφαλαιωδῶς, ἐπὶ τὰς ἀποδείξεις αὐτῶν ὥρα τρέπεσθαι· ποιήσομαι δ' οὐ χωρὶς ὑπὲρ ἑκάστης ἰδέας τὸν λόγον, ὑποτάττων αὐταῖς τὴν Θουκυδίδου λέξιν, ἀλλὰ κατὰ περιοχάς τινας καὶ τόπους, μέρη λαμβάνων τῆς τε διηγήσεως καὶ τῶν ῥητορειῶν, καὶ παρατιθεὶς τοῖς τε πραγματικοῖς καὶ τοῖς λεκτικοῖς κατορθώμασιν, ἢ ἁμαρτήμασι, τὰς αἰτίας, δι' ἃς τοιαῦτά ἐστι· δεηθείς σου πάλιν, καὶ τῶν ἄλλων φιλολόγων, τῶν ἐντευξομένων τῇ γραφῇ, τὸ βούλημά μου τῆς ὑποθέσεως, ἧς προῄρημαι, ὑποπεῖν, ὅτι χαρακτῆρός ἐστι δήλωσις, ἅπαντα περιειληφυῖα τὰ συμβεβηκότα

Digitized by Google

αὐτῷ καὶ δεόμενα λόγου, σκοπὸν ἔχουσα τὴν ὠφέλειαν αὐτῶν τῶν βουλησομένων μιμεῖσθαι τὸν ἄνδρα. ἐν ἀρχῇ μὲν οὖν τοῦ προοιμίου προθέσει χρησάμενος, ὅτι μέγιστος ἐγένετο τῶν πρὸ αὐτοῦ πολέμων ὁ Πελοποννησιακὸς, κατὰ λέξιν οὕτω γράφει· „Τὰ γὰρ πρὸ αὐτῶν, καὶ τὰ ἔτι παλαιότερα, σαφῶς „μὲν εὑρεῖν διὰ χρόνου πλῆθος ἀδύνατον ἦν· ἐκ δὲ „τεκμηρίων, ἃν ἐπὶ μακρότατον σκοποῦντί μοι πι„στεῦσαι ξυμβαίνει, οὐ μεγάλα νομίζω γενέσθαι, „οὔτε κατὰ τοὺς πολέμους, οὔτε ἐς τὰ ἄλλα. φαίνε„ται γὰρ ἡ νῦν Ἑλλὰς καλουμένη, οὐ πάλαι βεβαίως „οἰκουμένη· ἀλλὰ μεταναστάσεις τε οὖσαι τὰ πρό„τερα, καὶ ῥᾳδίως ἕκαστοι τὴν ἑαυτῶν ἀπολείποντες, βιαζόμενοι ὑπό τινων ἀεὶ πλειόνων. τῆς γὰρ „ἐμπορίας οὐκ οὔσης, οὐδ' ἐπιμιγνύντες ἀδεῶς „ἀλλήλοις, οὔτε κατὰ γῆν, οὔτε διὰ θαλάσσης, „νεμόμενοί τε τὰ αὑτῶν ἕκαστοι, ὅσον ἀποζῆν, „καὶ περιουσίαν χρημάτων οὐκ ἔχοντες, οὐδὲ γῆν „φυτεύοντες . . . . . „. . . . . [τῶν δὲ Λακεδαιμονίων „οὐκέτι ὀξέως ἐπακθεῖν, ἢ προσπίπτουσιν, δυναμένων, „γνόντες αὐτοὺς οἱ ψιλοὶ βραδυτέρους ἤδη ὄντας „τῷ ἀμύνασθαι, καὶ αὐτοὶ τῇ ὄψει τοῦ θαρσεῖν „τὸ πλεῖστον εἰληφότες, πολλαπλάσιοι φαινόμενοι, „καὶ ξυνειθισμένοι μᾶλλον μηκέτι δεινοὺς αὐτοὺς „ὁμοίως σφίσι φαίνεσθαι, ὅτι οὐκ εὐθὺς ἄξια τῆς „προσδοκίας ἐπεπόνθεσαν, ὥσπερ ὅτε πρῶτον ἐπέ„βαινον τῇ γνώμῃ] δεδουλωμένοι ἐς ἐπὶ Λακεδαι„μονίους, καταφρονήσαντες [οὖν αὐτῶν,] καὶ ἐμ-

Digitized by Google

„βαήσαντες, ἀθρόοι ὥρμησαν ἐπ' αὐτούς." ἦν δ' ἡ περιοχὴ ὠφελίμη κατεσκευάσθαι μὴ τοῦτον ὑπ' αὐτοῦ τὸν τρόπον, ἀλλὰ πολὺ πρότερον μᾶλλον καὶ ὠφελιμώτερον, τοῦ τελευταίου μορίου τῷ πρώτῳ προστεθέντος, τῶν δὲ διὰ μέσου, τὴν μετὰ ταῦτα χώραν λαβόντων. ἀγκυλωτέρα μὲν οὖν ἡ φρύσις οὕτω σχηματισθεῖσα γέγονε, καὶ δεινοτέρα· ἀσφαλεστέρα δὲ καὶ ἡδίων ἐκείνως ἂν κατασκευασθεῖσα· „Τῶν δὲ Λακεδαιμονίων οὐκέτι ἀπελθεῖν, ἢ προσ„πίπτειν, δυναμένων, γνόντες αὐτοὺς οἱ ψιλοὶ βρα„δυτέρους ἤδη, συστραφέντες καὶ ἐμβοήσαντες, ὥρ„μησαν ἐπ' αὐτοὺς ἀθρόοι· ἔκ τε τῆς ὄψεως τὸ „θαρρεῖν προσειληφότες, ὅτι παλλακιδίσιοι ἦσαν· „καὶ, ἐκ τοῦ μηκέτι δεινοὺς αὐτοὺς ὁμοίως σφίσιν „φαίνεσθαι, καταφρονήσαντες, ἐπειδὴ οὐκ εὐθὺς „ἄξια τῆς προσδοκίας ἐπεπόνθεσαν, ἣν ἔσχον ὑπό„ληψιν, ὅτε πρῶτον ἐπέβαινον, τῇ γνώμῃ δεδουλω„μένοι, ὡς ἐπὶ Λακεδαιμονίους."

26. Ὑπεξαιρουμένης δὲ τῆς περιγραφῆς πάσης, τἄλλα πάντα ὠνόμασταί τε τοῖς προσφυεστάτοις ὀνόμασι, καὶ περιείληπται τοῖς ἐπιτηδειοτάτοις σχηματισμοῖς. ἀρετῆς τ' οὐδεμιᾶς, ὡς εἰπεῖν, οὔτε λεπτικῆς, οὔτε πραγματικῆς, ἐνδεῶς ἔσχηκεν· ἃς οὐδὲν δέομαι πάλιν ἐξαριθμεῖσθαι. ἐν δὲ τῇ ἑβδόμῃ βίβλῳ τὴν ἑκκαίδεκα ναυμαχίαν Ἀθηναίων καὶ Συρακουσίων ἀφηγούμενος, οὕτως ὠνόμακέ τε καὶ εσχημάτικε τὰ πραχθέντα· „Ὁ δὲ Δημοσθένης καὶ „Μένανδρος καὶ Εὐθύδημος· οὗτοι γὰρ ἐπὶ τὰς „ναῦς τῶν Ἀθηναίων στρατηγοὶ ἐπέβησαν· ἄραντες

Digitized by Google

„ἀπὸ τοῦ ἑαυτῶν στρατοπέδου, εὐθὺς ἔπλεον πρὸς
„τὸ ζεῦγμα τοῦ λιμένος· καὶ τὸν παραλειφθέντα
„διέκπλουν βουλόμενοι βιάσασθαι ἐς τὸ ἔξω· προεξ-
„αναγόμενοι δὲ οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι
„ναυσὶ παραπλησίαις τὸν ἀριθμὸν, καὶ πρότερον
„κατά τε τὸν ἔκπλουν, μέρει αὐτῶν ἐφύλασσον, καὶ
„κατὰ τὸν ὅλον κύκλῳ λιμένα, ὅπως πανταχόθεν
„ἅμα προσπίπτοιεν τοῖς Ἀθηναίοις· καὶ ὁ πεζὸς
„αὐτοῖς ἅμα παρεβοήθει, ἦπερ καὶ αἱ νῆες κατί-
„σχοιεν. ἦρχον δὲ τοῦ ναυτικοῦ τοῖς Συρακουσίοις
„Σικανὸς μὲν καὶ Ἀγάθαρχος, κέρας ἑκάτερος τοῦ
„παντὸς ἔχων, Πυθὴν δὲ καὶ οἱ Κορίνθιοι τὸ μέ-
„σον. ἐπειδὴ καὶ οἱ ἄλλοι Ἀθηναῖοι προσέμισγον
„τῷ ζεύγματι, τῇ μὲν πρώτῃ ξύμῃ ἐπιπλέοντες,
„ἐκράτουν τῶν τεταγμένων νεῶν πρὸς αὐτῷ, καὶ
„ἐπειρῶντο λύειν τὰς πλείσεις· μετὰ δὲ τοῦτο, παν-
„ταχόθεν σφίσι τῶν Συρακουσίων καὶ τῶν ξυμμά-
„χων ἐπιφερομένων, οὐ μόνον πρὸς τῷ ζεύγματι ἡ
„ναυμαχία, ἀλλὰ καὶ κατὰ τὸν λιμένα ἐγίγνετο· καὶ
„ἦν καρτερὰ, καὶ οἵα οὐχ ἑτέρα τῶν πρότερον. πολ-
„λὴ μὲν γὰρ ἑκατέροις προθυμία ἀπὸ τῶν ναυτῶν
„ἐς τὸ ἐπιπλεῖν, ὁπότε κελευσθείη, ἐγίγνετο, πολλὴ
„δ' ἡ ἀντιτέχνησις τῶν κυβερνητῶν, καὶ ἀγωνισμὸς
„πρὸς ἀλλήλους. οἵ τε ἐπιβάται εὐθερμότατοι, ὅτε
„προσπέσοι ναῦς νηΐ, μὴ λειπεσθαι τὰ ἀπὸ τοῦ
„καταστρώματος τῆς ἄλλης τέχνης· πᾶς τέ τις, ἐν ᾧ
„προσετέτακτο, αὐτὸς ἕκαστος ἠπείγετο πρῶτος
„φαίνεσθαι. ξυμπεσούσῶν δ' ἐν ὀλίγῳ πολλῶν
„νεῶν· πλεῖσται γὰρ δὴ αὗται ἐν ἐλαχίστῳ ἐναυμά-

Digitized by Google

„χησαν· βραχὺ γὰρ ἀπέλιπον ξυναμφότεραι διακό-
„σιαι γενέσθαι· αἱ μὲν ἐμβολαὶ, διὰ τὸ μὴ εἶναι
„τὰς ἀναπρούσεις καὶ διέπλους, ὀλίγαι ἐγίγνοντο·
„αἱ δὲ πρόσβολαὶ, ὡς τύχοι ναῦς νηῒ προσπεσοῦσα,
„ἢ διὰ τὸ φυγεῖν, ἢ ἄλλη ἐπιπλέουσα, πυκνότεραι
„ἦσαν. καὶ ὅσον μὲν χρόνον προσφέροιτο ναῦς, οἱ
„ἀπὸ τῶν καταστρωμάτων τοῖς ἀκοντίοις καὶ τοξεύ-
„μασι καὶ λίθοις ἀφθόνως ἐπ' αὐτὴν ἐχρῶντο·
„ἐπειδὴ δὲ προσμίξειαν, οἱ ἐπιβάται εἰς χεῖρας ἰόν-
„τες ἐπειρῶντο ταῖς ἀλλήλων νανσὶν ἐπιβαίνειν.
„ξυνετύγχανέ τε πολλαχοῦ, διὰ τὴν στενοχωρίαν,
„τὰ μὲν ἄλλαις ἐμβεβληκέναι, τὰ δὲ αὐτοὺς ἐμβε-
„βλῆσθαι, δύο τε περὶ μίαν, καὶ ἔστιν ἣ καὶ πλεί-
„ους ναῦς κατ' ἀνάγκην ξυνηρτῆσθαι· καὶ τοῖς
„κυβερνήταις τῶν μὲν φυλακὴν, τῶν δ' ἐπιβουλὴν,
„μὴ καθ' ἓν ἕκαστον, κατὰ πολλὰ δὲ πανταχόθεν
„περιεστάναι. καὶ τὸν κτύπον [μέγαν] ἀπὸ πολ-
„λῶν [τῶν] νεῶν ξυμπιπτουσῶν, ἔκπληξίν τε ἅμα
„καὶ ἀποστέρησιν τῆς ἀκοῆς, ὧν οἱ κελευσταὶ
„ἐφθέγγοντο, παρέχειν. πολλὴ γὰρ δὴ παράκέλευσις
„καὶ [ἡ] βοὴ ἀφ' ἑκατέρων τοῖς κελευσταῖς κατά
„τε τὴν τέχνην καὶ πρὸς τὴν αὐτίκα φιλονεικίαν
„ἐγίγνετο· τοῖς μὲν Ἀθηναίοις βιάζεσθαί τε τὸν
„ἔκπλουν ἐπιβοῶντες, καὶ περὶ τῆς ἐς τὴν πατρίδα
„σωτηρίας νῦν, εἴ ποτε καὶ αὖθις, προθύμως ἀντι-
„λαμβάνεσθαι· τοῖς δὲ Συρακουσίοις καὶ ξυμμά-
„χοις καλὸν εἶναι κωλύσαι τε αὐτοὺς διαφυγεῖν,
„καὶ τὴν οἰκείαν ἑκάστου πατρίδα νικήσαντας
„ἐπανελθεῖν. καὶ οἱ στρατηγοὶ πρόσθεν ἑκατέρων, εἴ

Digitized by Google

„τινά που ὁρῶσιν μὴ κατ' ἀνάγκην πρύμναν κρουό-
„μενον, ἀναβαλοῦντες ὀνόματι τὸν τριήραρχον, ἠρώ-
„των· οἱ μὲν Ἀθηναῖοι, εἰ τὴν πολεμιωτάτην [γῆν]
„οἰκειοτέραν ἤδη τῆς οὐ δι' ὀλίγου [πόνου] κεκτη-
„μένης θαλάσσης ἡγούμενοι ἀποχωροῦσιν· οἱ δὲ
„Συρακούσιοι, εἰ οὓς σαφῶς ἴσασι προθυμουμένους
„Ἀθηναίους παντὶ τρόπῳ διαφυγεῖν, τούτους αὐτοὶ
„φεύγοντας φεύγουσιν. ὅ τ' ἐκ τῆς γῆς παλὸς ἀμ-
„φοτέρων, ἰσορρόπου τῆς ναυμαχίας καθεστηκυίας,
„πολὺν τὸν ἀγῶνα καὶ ξύστασιν τῆς γνώμης εἶχε·
„φιλονεικῶν μὲν ὁ αὐτόθεν περὶ τοῦ πλείονος ἤδη
„καλοῦ· δεδιότες δὲ οἱ ἐπελθόντες, μὴ τῶν παρόν-
„των ἔτι χείρω πράξωσι. πάντων γὰρ δὴ ἀνακειμέ-
„νων τοῖς Ἀθηναίοις ἐς τὰς ναῦς, ἃ τε φόβος ἦν
„ὑπὲρ τοῦ μέλλοντος οὐδενὶ ἐοικώς, καὶ διὰ τὸ,
„ἀνώμαλον καὶ τὴν ἔκφυξιν τῆς ναυμαχίας ἐκ τῆς
„γῆς ἠναγκάζοντο ἔχειν· δι' ὀλίγου γὰρ οὔσης τῆς
„θέας, καὶ οὐ πάντων ἅμα ἐς τὸ αὐτὸ σκοπούντων,
„εἰ μέν τινες ἴδοιέν πη τοὺς σφετέρους ἐπικρατοῦν-
„τας, ἀνεθάρσησάν τε ἄν, καὶ πρὸς ἀνάκλησιν
„θεῶν, μὴ στερῆσαι σφᾶς τῆς σωτηρίας, ἐτρέποντο·
„οἱ δὲ, ἐπὶ τὸ ἡσσώμενον βλέψαντες, ὀλοφυρμῷ τε
„ἅμα μετὰ βοῆς ἐχρῶντο· καὶ ἀπὸ τῶν ὁρωμένων
„τῆς ὄψεως, καὶ τὴν γνώμην μᾶλλον τῶν ἐν τῷ ἔργῳ
„ἐδουλοῦντο· ἄλλοι δὲ, καὶ πρὸς ἀντιπάλου τι τῆς
„ναυμαχίας ἀπιδόντες, διὰ τὸ ἀρίτως ξυνεχὲς τῆς
„ἰμίλλης, καὶ τοῖς σώμασιν αὐτοῖς ἴσα τῇ δόξῃ
„περιδεῶς ξυναπονεύοντες, ἐν τοῖς χαλεπώτατα διῆ-
„γον· ἀεὶ γὰρ παρ' ὀλίγον ἢ διέφευγον, ἢ ἀπώλ-

Digitized by Google

„λυντο· ἦν τε ἐν τῷ στρατεύματι τῶν Ἀθηναίων, „ἕως ἀγχώμαλα ἐναυμάχουν, πάντα ὁμοῦ ἀκοῦσαι, „ὀλοφυρμὸς, βοὴ, νικῶντες, κρατούμενοι, ἄλλα, ὅσα „ἐν μεγάλῳ κινδύνῳ μέγα στρατόπεδον πολυειδῆ „ἀναγκάζοιτο φθέγγεσθαι. παραπλήσια δὲ καὶ οἱ „ἐπὶ τῶν νεῶν αὐτοῖς ἔπασχον· πρὶν γε δὴ οἱ Συ- „ρακούσιοι καὶ οἱ ξύμμαχοι, ἐπὶ πολὺ ὑπτιαχούσης „τῆς ναυμαχίας, ἔτρεψάν τε τοὺς Ἀθηναίους, καὶ „ἐπικείμενοι λαμπρῶς, πολλῇ κραυγῇ καὶ διακελευ- „σμῷ χρώμενοι, κατεδίωκον ἐς τὴν γῆν. τότε δὴ ὁ „μὲν ναυτικὸς στρατὸς, πᾶς ἄλλῃ, ὅσοι μὴ μετέω- „ροι ἐάλωσαν, κατεπλαγέντες, ἐξέπεσον ἐς τὸ στρα- „τόπεδον. ὁ δὲ πεζὸς, οὐκέτι διαφόρως, ἀλλ' ἀπὸ „μιᾶς ὁρμῆς, οὐρανῷ τε καὶ στόνῳ, πάντες δυσανα- „σχετοῦντες τὰ γιγνόμενα, οἱ μὲν ἐπὶ τὰς ναῦς „παρεβοήθουν, οἱ δὲ πρὸς τὸ λοιπὸν τοῦ τείχους ἐς „φυλακήν· ἄπλοι δὲ, καὶ οἱ πλεῖστοι ἤδη, περὶ „σφᾶς αὐτοὺς καὶ ὅπη σωθήσονται διεσκόπουν. ἦν „τε ἐν τῷ παραυτίκα οὐδὲ μιᾶς δὴ τῶν ξυμπασῶν „ἐλάσσων ἔκπληξις· παραπλήσιά τε ἐπεπόνθεσαν „καὶ ἔδρασαν αὐτοὶ ἐν Πύλῳ. διαφθαρεισῶν γὰρ „τῶν νεῶν τοῖς Λακεδαιμονίοις, προσαπώλλυντο „αὐταῖς καὶ οἱ ἐν τῇ νήσῳ ἄνδρες διαβεβηκότες. „καὶ τότε τοῖς Ἀθηναίοις ἀνέλπιστον ἦν τὸ καιὰ „γῆν σωθήσεσθαι, ἢν μή τι παρὰ λόγον γίγνηται. „γενομένης δ' ἰσχυρᾶς τῆς ναυμαχίας, καὶ πολλῶν „νεῶν ἀμφοτέροις καὶ ἀνδρῶν ἀπολομένων, οἱ „Συρακούσιοι καὶ οἱ ξύμμαχοι ἐπικρατοῦντες, „τά τε ναυάγια καὶ τοὺς νεκροὺς ἀνείλοντο·

Digitized by Google

„καὶ ἀποπλεύσαντες πρὸς τὴν πόλιν, τρόπαιον „ἔστησαν."

27. Ἐμοὶ μὲν δὴ ταῦτα καὶ τὰ παραπλήσια τούτοις ἄξια ζήλου τε καὶ μιμήσεως ἐφάνη· τήν τε μεγαληγορίαν τοῦ ἀνδρὸς, καὶ τὴν καλλιλογίαν, καὶ τὴν δεινότητα, καὶ τὰς ἄλλας ἀρετὰς, ἐν τούτοις τοῖς ἔργοις ἐπείσθην τελειοτάτας εἶναι τεκμαιρόμενος, ὅτι πᾶσα ψυχὴ τούτῳ τῷ γένει τῆς λέξεως ἄγεται, καὶ οὔτε τὸ ἄλογον τῆς διανοίας κριτήριον, ᾧ πεφύκαμεν ἀντιλαμβάνεσθαι τῶν ἡδέων, ἢ ἀνιαρῶν, ἀλλοτριοῦται πρὸς αὐτό· οὔτε τὸ λογικὸν, ὑφ' οὗ διαγιγνώσκεται τὸ ἐν ἑκάστῃ τέχνῃ καλόν· οὐδ' ἂν ἔχοιεν οὔθ' οἱ μὴ πάνυ λόγων ἔμπειροι πολιτικῶν εἰπεῖν, ἐφ' ὅτῳ δυσχεραίνουσιν ὀνόματι, ἢ σχήματι· οὔθ' οἱ πάνυ περιττοὶ, καὶ τῆς τῶν πολλῶν ὑπερορῶντες ἀμαθίας, μέμψασθαι τὴν κατασκευὴν ταύτης τῆς λέξεως· ἀλλὰ καὶ τὸ τῶν πολλῶν καὶ τῶν ἀλόγων τὴν αὐτὴν ὑπόληψιν ἕξει. ὁ μέν γε πολὺς ἐκεῖνος ἰδιώτης οὐ δυσχεραίνει τὸ φορτικὸν τῆς λέξεως καὶ σκολιὸν καὶ δυσπαρακολούθητον· ὁ δὲ σπάνιος, καὶ οὐδ' ἐκ τῆς τυχούσης ἀγωγῆς γιγνόμενος τεχνίτης, οὐ μέμψεται τὸ ἀγενὲς καὶ χαμαιτυπὲς καὶ ἀκατάσκευον· ἀλλὰ συνῳδὸν ἔσται τό τε λογικὸν καὶ τὸ ἄλογον κριτήριον· ὑφ' ὧν ἀμφοτέρων ἀξιοῦμεν ἅπαντα κρίνεσθαι καπὶ τὰς τέχνας ἐργάσηται θάτερον οὐκέτι καλὸν, οὐδὲ τέλειον, ἀποδίδωσι τὸ ἕτερον.

28. Ἐγὼ γοῦν οὐκ ἔχω, πῶς ἐκεῖνα ἐπαινέσω τὰ δοκοῦντα μεγάλα καὶ θαυμαστὰ εἶναί τισιν, ὅσα

Digitized by Google

μηδὲ τὰς πρώτας ἀρετὰς ἔχει καὶ κοινοτάτας, ἀλλ' ἐνενίκηται τῷ περιέργῳ καὶ περιττῷ, μήτε ἡδέα εἶναι, μήτ' ὠφέλιμα· ὧν ὀλίγα παρέξομαι δείγματα, παραπιθεὶς εὐθὺς ἑκάστοις τὰς αἰτίας, δι' ἃς περιέστηκεν εἰς τὰς ἐναντίας ταῖς ἀρεταῖς κακίας. ἐν μὲν οὖν τῇ τρίτῃ βίβλῳ τὰ περὶ Κέρκυραν ὠμὰ καὶ ἀνόσια ἔργα διὰ τὴν στάσιν εἰς τοὺς δυνατωτάτους ἐκ τοῦ δήμου γενόμενα διεξιὼν, ἕως μὲν ἐν τῷ κοινῷ καὶ συνήθει τῆς διαλέκτου τρόπῳ τὰ πραχθέντα δηλοῖ, σαφῶς τε καὶ συντόμως καὶ δυνατῶς ἅπαντα εἴρηκεν· ἀρξάμενος δ' ἐπιτραγῳδεῖν τὰς κοινὰς τῶν Ἑλλήνων συμφορὰς, καὶ τὴν διάνοιαν ἐξαλλάττειν ἐκ τῶν ἐν ἔθει, μακρῷ τινι γίγνεται χείρων αὐτὸς ἑαυτοῦ. ἔστι δὲ τὰ μὲν πρῶτα, ὧν οὐδεὶς ἂν ὡς ἡμαρτημένων ἐπιλάβοιτο, ταῦτα· „Κερκυραῖοι δὲ, „αἰσθανόμενοι τάς τε Ἀττικὰς ναῦς προσπλεούσας, „τάς τε τῶν πολεμίων οἰχομένας, λαβόντες τοὺς τε „Μεσηνίους ἐς τὴν πόλιν ἤγαγον, πρότερον ἔξω ὄν- „τας· καὶ τὰς ναῦς περιπλεῦσαι κελεύσαντες, ἃς „ἐπλήρωσαν, ἐς τὸν Ὑλλαϊκὸν λιμένα, ἐν ὅσῳ περιε- „κομίζοντο, τῶν ἐχθρῶν εἴ τινα λάβοιεν, ἀπέκτεινον. „καὶ ἐκ τῶν νεῶν οὓσους ἔπεισαν ἐσβῆναι, ἐκβιβά- „ζοντες, ἀνεχώρησαν· ἐς τὸ Ἡραιόν τε ἐλθόντες, „τῶν ἱκετῶν ὡς πεντήκοντα ἄνδρας δίκην ὑποσχεῖν „ἔπεισαν, καὶ κατέγνωσαν ἁπάντων θάνατον. οἱ δὲ „πολλοὶ τῶν ἱκετῶν, ὅσοι οὐκ ἐπείσθησαν, ὡς ἑώρων „τὰ γιγνόμενα, διέφθειραν αὐτοῦ ἐν τῷ ἱερῷ ἀλλή- „λους· καὶ ἐκ τῶν δένδρων τινὲς ἀπήγχοντο· οἱ δ', „ὡς ἕκαστοι ἐδύναντο, ἀνηλοῦντο. ἡμέρας τε ἑπτὰ,

Digitized by Google

„ὰς ἀφικόμενος ὁ Εὐρυμέδων ταῖς ἑξήκοντα ναυσὶ
„παρέμεινεν, οἱ Κερκυραῖοι σφῶν αὐτῶν τοὺς
„ἐχθροὺς δοκοῦντας εἶναι ἐφάνευον, τὴν μὲν αἰτίαν
„ἐπιφέροντες τοῖς τὸν δῆμον καταλύουσιν· ἀπέθα-
„νον δέ τινες καὶ ἰδίας ἔχθρας ἕνεκα, καὶ ἄλλοι
„χρημάτων σφίσιν ὀφειλομένων ὑπὸ τῶν λαβόντων.
„πᾶσά τε ἰδέα κατέστη θανάτου· καὶ, οἷον φιλεῖ ἐν
„τῷ τοιούτῳ γίγνεσθαι, οὐδὲν, ὅ τι οὐ ξυνέβη, καὶ
„ἔτι περαιτέρω. καὶ γὰρ πατὴρ παῖδα ἀπέκτεινε,
„καὶ ἀπὸ τῶν ἱερῶν ἀπεσπῶντα, καὶ πρὸς αὐτοῖς
„ἐκτείνοντο· οἱ δέ τινες καὶ περιοικοδομηθέντες ἐν
„τοῦ Διονύσου τῷ ἱερῷ ἀπέθανον. οὕτως ὠμὴ στά-
„σις προὐχώρησε, καὶ ἔδοξε μᾶλλον, διότι ἐν τοῖς
„πρώτη ἐγένετο· ἐπεὶ ὕστερόν γε καὶ πᾶν, ὡς εἰ-
„πεῖν, τὸ Ἑλληνικὸν ἐκινήθη, διαφορῶν οὐσῶν
„ἑκασταχοῦ, τοῖς τε τῶν δήμων προστάταις τοὺς
„Ἀθηναίους ἐπάγεσθαι, καὶ τοῖς ὀλίγοις τοὺς Λα-
„κεδαιμονίους.“

29. Ἃ δὲ τούτοις ἐπιφέρει, σκολιὰ καὶ δυσπα-
ρακολούθητα, καὶ τὰς τῶν σχηματισμῶν πλοκὰς
σολοικοφανεῖς ἔχοντα· καὶ οὔτε τοῖς κατ' ἐκεῖνον
τὸν βίον γενομένοις ἐπιτῆδευθέντα, οὔτε τοῖς ὕστε-
ρον, ὅτε μάλιστα ἤκμασεν ἡ πολιτικὴ δύναμις· ἃ
μέλλω νυνὶ λέγειν· „Ἐστασίαζόν τε οὖν κατὰ τῶν
„πόλεων, καὶ τὰ ἐφυστερίζοντά που, κύστει τῶν
„προγενομένων, πολλὴν ἐπέφερε τὴν ὑπερβολὴν τοῦ
„καινοῦσθαι τὰς διανοίας, τῶν τ' ἐπιχειρήσεων
„περιτεχνήσει, καὶ τῶν τιμωριῶν ἀτοπίᾳ.“ ἐν τού-
τοις τὸ μὲν πρῶτον τῶν κώλων περιπέφρασται πρὸς

Digitized by Google

οὐδὲν ἀναγκαῖον· „Ἐστασιάζετο οὖν τὰ τῶν πό-
„λεων.“ ὑγιέστερον γὰρ ἦν εἰπεῖν· „Ἐστασίαζον
„αἱ πόλεις.“ τὸ δ' ἐπὶ τούτῳ λεγόμενον· „Καὶ τὰ
„ἐφυστερίζοντά που.“ δυσείκαστόν ἐστι. σαφέστε-
ρον δ' ἂν ἐγένετο ῥηθὲν οὕτω· „Αἱ δ' ὑστεροῦσαι
„πόλεις.“ οἷς ἐπίκειται· „Ἐπὶ πύστει τῶν προγε-
„γενημένων, πολλὴν ἐπέφερε τὴν ὑπερβολὴν ἐς τὸ
„καινοῦσθαι τὰς διανοίας.“ βούλεται μὲν γὰρ λέ-
γειν· Οἱ δὲ ὑστερίζοντες, ἐπιπυνθανόμενοι τὰ γεγε-
νημένα παρ' ἑτέρων, ἐλάμβανον ὑπερβολὴν ἐπὶ τὸ
διανοεῖσθαί τι καινότερον. χωρὶς δὲ τῆς πλοκῆς,
οὐδὲ οἱ τῶν ὀνομάτων σχηματισμοὶ ταῖς ἀκοαῖς εἰ-
σὶν ἡδεῖς. τούτοις ἐπιφέρει κεφάλαιον ἄλλο ποιητι-
κῆς, μᾶλλον δὲ διθυραμβικῆς, σκευωρίας οἰκειότε-
ρον· „Τῶν τ' ἐπιχειρήσεων ἐπιτεχνήσει, καὶ τῶν τι-
„μωριῶν ἀτοπίᾳ· καὶ τῇ εἰωθυίᾳ τῶν ὀνομάτων
„ἀξίωσιν ἐς τὰ ἔργα ἀντηλλάξαν τῇ δικαιώσει.“
ὃ γὰρ βούλεται δηλοῦν ἐν τῇ δυσεξελίκτῳ πλοκῇ,
τοιοῦτόν ἐστι· „Πολλὴν τὴν ἐπίδοσιν ἐλάμβανον
„εἰς τὸ διανοεῖσθαί τι καινότερον περὶ τὰς τέχνας
„τῶν ἐγχειρημάτων, καὶ περὶ τὰς ὑπερβολὰς τῶν
„τιμωριῶν· τὰ τ' εἰωθότα ὀνόματα ἐπὶ τοῖς πρά-
„γμασι λέγεσθαι μετατιθέντες, ἄλλως ἠξίουν αὐτὰ
„καλεῖν.“ ἡ δ' „Ἐπιτέχνησις“ καὶ ἡ „Τῶν τιμωριῶν
ἀτοπία,“ καὶ ἡ „Εἰωθυῖα τῶν ὀνομάτων ἀξίωσις,“
καὶ ἡ „Εἰς τὰ ἔργα ἀντηλλαγμένη δικαίωσις,“
περιφράσεως ποιητικῆς ἐστιν οἰκειοτέρα· οἷς ἐπι-
τίθησι τὰ θεατρικὰ σχήματα ταυτί· „Τόλμα μὲν
„γὰρ ἄλογιστος, ἀνδρία φιλέταιρος ἐνομίσθη· μέλ-

Digitized by Google

„λησις δὲ προμηθὴς, δειλία εὐπρεπής.“ παρομοιώσεις γὰρ ἀμφότεραί ταῦτα καὶ παρισώσεις περιέχει, καὶ τὰ ἐπίθετα καλλωπισμοῦ χάριν κεῖται· τὸ γὰρ οὔτε θεατρικὸν, ἀλλ' ἀναγκαῖον, τῆς λέξεως σχῆμα, τοιοῦτ' ἂν ἦν· „Τὴν μὲν γὰρ τόλμαν ἀνδρίαν ἐκάλουν· τὴν δὲ μέλλησιν δειλίαν.“ ὅμοια δὲ τούτοις ἐστὶ καὶ τὰ συναπτόμενα· „Τὸ δὲ σῶφρον, τοῦ „ἀνάνδρου πρόσχημα· καὶ τὸ πρὸς ἅπαν ξυνετὸν, „ἐπίπαν ἀργόν·“ κυριώτερον δ' ἂν οὕτως ἐλέχθη· „Οἱ δὲ σώφρονες, ἄνανδροι· καὶ οἱ συνετοὶ πρὸς „ἅπαντα, ἐν ἅπασιν ἀργοί.“

30. Εἰ μέχρι τούτων προελθὼν ἐπαύσατο, τὰ μὲν καλλωπίζων, τὰ δὲ σκληραγωγῶν τὴν λέξιν, ἧττον ἂν ὀχληρὸς ἦν. νῦν δ' ἐπιτίθησιν ἀσφαλείᾳ· „Ἀσφάλεια δὲ τὸ ἐπιβουλεύσασθαι, ἀποτροπῆς πρό„φασις εὔλογος. καὶ ὁ μὲν χαλεπαίνων, πιστὸς ἀεί, „ὁ δ' ἀντιλέγων αὐτῷ, ὕποπτος.“ καὶ γὰρ ἐν τούτοις πάλιν ἄδηλον μέν ἐστι, τίνα βούλεται δηλοῦν τὸν χαλεπαίνοντα καὶ περὶ τίνος· τίνα δὲ τὸν ἀντιλέγοντα, καὶ ἐφ' ὅτῳ. „Ἐπιβουλεύσας δέ τι, φησὶ, τυχών τε, ξυνετός· καὶ ὑπονοήσας, ἔτι δεινότερος· „προβουλεύσας δὲ, ὅπως μηδὲν αὐτῶν δεήσει, τῆς τε „ἑταιρίας διαλυτὴς, καὶ τοὺς ἐναντίους ἐκπεπλη„γμένος.“ οὔτε γὰρ ὁ „Τυχὼν“ ἐμφαίνει μᾶλλον, ὃ βούλεται δηλοῦν, οὔτε ὁ αὐτὸς „Τυχὼν“ τε καὶ „Ἐπινοήσας“ ἅμα νοῆσθαι δύναται· εἴ γε ὁ μὲν „Τυχὼν“ ἐπὶ τοῦ κατορθώσαντος καὶ ἐπιτυχόντος, ὃ ἤλπισε, λέγεται· ὁ δὲ „Νοήσας“ ἐπὶ τοῦ προαισθομένου τὸ μήπω πραχθὲν, ἀλλ' ἔτι μέλλον κακόν.

Digitized by Google

καθαρὸς δὲ καὶ τηλαυγὴς ὁ νοῦς οὕτως ἂν ἦν· „Οἵ τ' ἐπιβουλεύοντες ἑτέροις, εἰ κατορθώσειαν, „δεινοί· καὶ οἱ τὰς ἐπιβουλὰς προεπινοοῦντες, εἰ „φυλάξαιντο, ἔτι δεινότεροι· ὁ δὲ προειδόμενος, „ὅπως μηδὲν αὐτῷ δεήσει μήτ' ἐπιβουλῆς, μήτε φυ„λακῆς, τάς τε ἑταιρίας διαλύειν ἐδόκει, καὶ τοὺς „ἐναντίους ἐκπεπλῆχθαι."

31. Μίαν δὲ τούτοις ἐπιθεὶς περιοδον ἀγκύλως εἰρημένην καὶ δυνατῶς μετὰ τοῦ σαφῶς· „Ἁπλῶς „δὲ ὁ φθάσας τὸν μέλλοντα κακόν τι δρᾶν, ἐπῃνεῖ„το. καὶ ὁ ἐπικελεύσας τὸν μὴ διανοούμενον·" ποιητικῇ πάλιν ἐχρήσατο μεταλήψει· „Καὶ μὴν καὶ „τὸ ξυγγενὲς τοῦ ἑταιρικοῦ ἀλλοτριώτερον ἐγένετο, „διὰ τὸ ἑτοιμότερον εἶναι ἀπροφασίστως τολμᾶν." τὸ γὰρ „Συγγενὲς" καὶ τὸ „Ἑταιρικὸν" κείμενον μετείληπται· τό τε „Ἀπροφασίστως τολμᾶν," ἄδηλον, εἴτε ἐπὶ τῶν φίλων κεῖται νῦν, εἴτε ἐπὶ τῶν συγγενῶν. αἰτίαν γὰρ ἀποδιδοὺς, δι' ἣν τοὺς συγγενεῖς ἀλλοτριωτέρους ἔκρινον τῶν φίλων, ἐπιτίθησιν, ὅτι τόλμαν ἀπροφάσιστον παρείχοντο. σαφὴς δ' ἂν ἦν λόγος, εἰ τοῦτον ἐξήνεγκε τὸν τρόπον, κατὰ τὴν ἑαυτοῦ βούλησιν σχηματίζων· „Καὶ μὴν καὶ „τὸ ἑταιρικὸν, οἰκειότερον ἐγένετο τοῦ συγγενοῦς, „διὰ τὸ ἑτοιμότερον εἶναι ἀπροφασίστως τολμᾶν." περιπέφρασται δὲ καὶ τὰ ἐπὶ τούτοις, καὶ οὔτ' ἰσχυρῶς, οὔτε σαφῶς, ἀπήγγελται· „Οὐ γὰρ μετὰ „τῶν κειμένων νόμων ὠφελείας αἱ τοιαῦται ξύνοδοι, „ἀλλὰ παρὰ τοὺς καθεστῶτας πλεονεξίᾳ." ὁ μὲν νοῦς ἐστὶ τοιόσδε· „Οὐ γὰρ ἐπὶ ταῖς κατὰ νόμον

Digitized by Google

„ὠφελείαις αἱ τῶν ἑταιριῶν ἐγίγνοντο σύνοδοι, ἀλλ' „ἐπὶ τῷ παρὰ τοὺς νόμους τι πλεονεκτεῖν." „Καὶ „ὅρκοι, φησὶν, εἴ που ἄρα ἐγίγνοντο ξυναλλαγῆς, ἐν „τῷ αὐτίκα πρὸς τὸ ἄπορον ἑκατέρῳ διδόμενοι, „ἴσχυον, οὐκ ἐχόντων ἄλλοθεν δύναμιν." ἐν τούτοις ὑπέρβατόν τε καὶ περίφρασις· οἱ μὲν γὰρ „Ὅρκοι τῆς συναλλαγῆς" τὸ σημαινόμενον ἔχουσι τοιοῦτον· „Οἱ δὲ περὶ τῆς φιλίας ὅρκοι εἴ που ἄρα „γένοιτο." τὸ δὲ „Ἴσχυον," δι' ὑπερβάτου κείμενον, τῷ „Αὐτίκα" ἕπεται· βούλεται γὰρ δηλοῦν· „Ἐν τῷ παραυτίκα ἴσχυον" τὸ δὲ, „Πρὸς τὸ „ἄπορον ἑκατέρῳ διδόμενοι, οὐκ ἐχόντων ἄλλοθεν „δύναμιν," σαφέστερον ἂν ἦν οὕτως ἐξενεχθέν· „Διὰ τὸ μηδὲ μίαν ἄλλην ἔχειν δύναμιν, κατὰ τὸ „ἄπορον ἑκατέρῳ διδόμενοι." τὸ δὲ κατάλληλον τῆς διανοίας ἦν ἂν τοιοῦτο· „Οἱ δὲ περὶ τῆς φιλίας „ὅρκοι, εἴ που ἄρα γένοιντο, ἀπορίᾳ πίστεως ἄλ„λης, ἑκατέρῳ διδόμενοι, ἐν τῷ παραχρῆμα ἴσχυον."

32. Σκολιώτερα δὲ τούτων ἐστὶ καὶ ἃ μετὰ ταῦτα τίθησιν· „Ἐν δὲ τῷ παρατυχόντι ὁ φθάσας „θαρρῆσαι, εἰ ἴδοι ἄφρακτον, ἥδιον διὰ τὴν πίστιν „ἐτιμωρεῖτο, ἢ ἀπὸ τοῦ προφανοῦς· καὶ τό τε „ἀσφαλὲς ἐλογίζετο, καὶ ὅτι ἀπάτῃ περιγενόμενος, „ξυνέσεως ἀγώνισμα προσελάμβανε." τὸ δὲ „Παρά„τυχόν" ἀντὶ τοῦ „Παραχρῆμα" κεῖται· τό τε „Ἄφρακτον" ἀντὶ τοῦ „Ἀφυλάκτου·" καὶ τὸ, „Ἥδιον τιμωρεῖσθαι διὰ τὴν πίστιν μᾶλλον, ἢ ἀπὸ „τοῦ προφανοῦς," σκοτεινῶς περιπέφρασται, καὶ ἐλλείπει τὶ μόριον εἰς τὸ συμπληρωθῆναι τὴν νόησιν.

Digitized by Google

εἰκάζειν δέ ἐστιν, ὅτι τοῦτο βούλεται λέγειν· „Εἰ „δέ που παρατύχοι τινὶ καιρὸς, καὶ μάθοι τὸν „ἐχθρὸν ἀφύλακτον, ἥδιον ἐτιμωρεῖτο, ὅτι πιστεύ„σαντι ἐπέθετο μᾶλλον, ἢ φυλαττομένῳ· καὶ συνέ„σεως δόξαν προσελάμβανε, τό τε ἀσφαλὲς λογιζό„μενος, καὶ ὅτι διὰ τὴν ἀπάτην αὐτοῦ περιεγέ„το." „Ῥᾷον δ' οἱ πολλοὶ κακοῦργοι, φησὶν, ὄντες, „δεξιοὶ κέκληνται, ἢ ἀμαθεῖς ἀγαθοί· καὶ τῷ μὲν „αἰσχύνονται· ἐπὶ δὲ τῷ ἀγάλλονται." ταῦτα γὰρ ἀγαθῶς μὲν εἴρηται καὶ βραχέως, ἐν ἀφανεῖ δὲ κείμενον ἔχει τὸ σημαινόμενον. χαλεπὸν γὰρ μαθεῖν, τίνας δή ποτε νοεῖ τοὺς ἀμαθεῖς τε καὶ ἀγαθούς. εἴτε γὰρ ἀντιδιαστέλλεται πρὸς τοὺς κακούργους, οὐκ ἂν εἴησαν ἀμαθεῖς οἱ μὴ κακοί· εἴτ' ἐπὶ τῶν ἀνοήτων καὶ ἀφρόνων τίθησι τοὺς ἀμαθεῖς, κατὰ τί δή ποτε τούτους ἀγαθοὺς καλεῖ; „Καὶ τῷ „μὲν αἰσχύνονται," τίνες; ἄδηλον γάρ, πότερον ἀμφότεροι, ἢ οἱ ἀμαθεῖς. „Ἐπὶ δὲ τῷ ἀγάλλονται" κἀνταῦθα ἄδηλον, τίνες. εἰ μὲν γὰρ ἐπ' ἀμφοτέρων τίθησιν, οὐκ ἔχει νοῦν· οὔτε γὰρ ἐπὶ τοῖς κακούργοις οἱ ἀγαθοὶ ἀγάλλονται, οὔτ' ἐπὶ τοῖς ἀμαθέσιν οἱ κακοῦργοι αἰσχύνονται.

33. Οὗτος ὁ χαρακτὴρ τῆς ἀσαφοῦς καὶ πεπλεγμένης λέξεως, ἐν ᾗ πλείων ἔνεστι τῆς λέξεως ἡ σκοτίζουσα τὴν διάνοιαν ἔχλησις, ἕως ἑκατὸν ἐκμηκύνεται στίχων· θήσω δὴ καὶ τὰ ἑξῆς, οὐδὲ μίαν ἔτι λέξιν ἐμαυτοῦ προστιθείς· „Πάντων δ' αὐτῶν αἴ„τιον ἡ ἀρχὴ ἡ διὰ πλεονεξίαν καὶ φιλοτιμίαν· ἐκ „δ' αὐτῶν καὶ ἐς τὸ φιλονεικεῖν καθισταμένων τὸ

Digitized by Google

„πρόθυμον. οἱ γὰρ ἐν ταῖς πόλεσι προστάντες, μετ'
„ὀνόματος ἑκάτεροι, εὐπρεποῦς, πλήθους τε ἀσφα-
„λείας πολιτικῆς, καὶ ἀριστοκρατίας σώφρονος πρό-
„νοιαν ποιήσει, τὰ μὲν κοινὰ λόγῳ θεραπεύοντες ἆθλα
„ἐποιοῦντο· παντὶ δὲ τρόπῳ ἀγωνιζόμενοι ἀλλήλων
„περιγίγνεσθαι, ἐτόλμησάν τε τὰ δεινότατα, ἐπ-
„εξῆσαν τε, τὰς τιμωρίας ἔτι μείζους, οὐ μέχρι τοῦ
„δικαίου καὶ τῇ πόλει ξυμφόρου, προστιθέντες, ἐς
„δὲ τὸ ἑκατέροις που αἰεὶ ἡδονὴν ἔχον ὁρίζοντες·
„καὶ ἢ μετὰ ψήφου ἀδίκου καταχνώσεως, ἢ χειρὶ
„κτώμενοι τὸ κρατεῖν, ἕτοιμοι ἦσαν τὴν αὐτίκα φι-
„λονεικίαν ἐκπιμπλάναι. ὥστ' εὐσεβείᾳ μὲν οὐδέτε-
„ροι ἐνόμιζον, εὐπρεπείᾳ δὲ λόγου, οἷς ξυμβαίη
„ἐπιφθόνως τι διαπράξασθαι, ἄμεινον ἦχουν· τὰ
„δὲ μέσα τῶν πολιτῶν ὑπ' ἀμφοτέρων, ἢ ὅτι οὐ
„ξυνηγωνίζοντο, ἢ φθόνῳ τοῦ περιεῖναι, διεφθεί-
„ροντο. οὕτω πᾶσα ἰδέα κατέστη κακοτροπίας, διὰ
„τὰς στάσεις, τῷ Ἑλληνικῷ· καὶ τὸ εὐήθες, οὗ τὸ
„γενναῖον πλεῖστον μετέχει, καταγελασθὲν ἠφανί-
„σθη· τὸ δὲ ἀντιτετάχθαι ἀλλήλοις τῇ γνώμῃ ἀπί-
„στως, ἐπὶ πολὺ διήνεγκεν. οὐ γὰρ ἦν ὃ διαλύσων
„οὔτε λόγος ἐχυρός, οὔτε ὅρκος φοβερός, πρεῖττους
„δὲ ὄντες ἅπαντες λογισμῷ ἐς τὸ ἀνέλπιστον τοῦ
„βεβαίου, μὴ παθεῖν μᾶλλον προεσκόπουν, ἢ πι-
„στεῦσαι ἐδύναντο. καὶ οἱ φαυλότεροι γνώμην, ὡς
„τὰ πλείω περιεγίγνοντο· τῷ γὰρ δεδιέναι τό τε αὐ-
„τῶν ἐνδεὲς, καὶ τὸ τῶν ἐναντίων ξυνετὸν, μὴ λόγοις
„τε ἥττονες ὦσι, καὶ ἐκ τοῦ πολυτρόπου αὐτῶν τῆς
„γνώμης φθάσαντες προεπιβουλεύωσι, τολμηρῶς

Digitized by Google

ἀ, πρὸς τὰ ἔργα ἐχώρουν· οἱ δὲ καταφρονοῦντες κἂν „προαισθέσθαι, καὶ ἔργῳ οὐδὲν σφᾶς δεῖν λαμβά„νειν, ἃ γνώμῃ ἔξεστιν, ἄφρακτοι μᾶλλον διεφθεί„ροντο.“ ἐκ πολλῶν ἔτι δυνάμενος παραδειγμάτων ποιῆσαι φανερὸν, ὅτι κρείττων ἐστὶν ἐν τοῖς δημηγήμασιν, ὅταν ἐν τῷ συνήθει καὶ κοινῷ τῆς διαλέκτου χαρακτῆρι μένῃ, χείρων δὲ, ὅταν ἐκτρέψῃ τὴν διάλεκτον ἐκ τῆς συνήθους ἐπὶ τὰ ξένα ὀνόματα, καὶ βεβιασμένα σχήματα, ὧν ἅπια σολοικισμῶν παρέχεται δόξαν, ἀρκεσθήσομαι τούτοις, ἵνα μὴ περαίτερω τοῦ δέοντος ἡ γραφή μοι προβῇ.

34. Ἐπεὶ δὲ καὶ περὶ τῶν δημηγοριῶν αὐτοῦ τὰ δοκοῦντά μοι φανερὰ ποιήσειν ὑπεσχόμην, ἐν αἷς οἴονταί τινες τὴν ἄκραν τοῦ συγγραφέως εἶναι δύναμιν, διελόμενος καὶ ταύτην διχῇ τὴν θεωρίαν, εἴς τε τὸ πραγματικὸν μέρος, καὶ εἰς τὸ λεκτικὸν, χωρὶς ὑπὲρ ἑκατέρου ποιήσομαι τὸν λόγον· ἀρξάμενος ἀπὸ τοῦ πραγματικοῦ. ἐν ᾧ πρώτην μὲν ἔχει μοῖραν ἡ τῶν ἐνθυμημάτων τε καὶ νοημάτων εὕρεσις, δευτέραν δὲ ἡ τῶν εὑρεθέντων χρῆσις· ἐκείνη μὲν ἐν τῇ φύσει μᾶλλον ἔχουσα τὴν ἰσχύν, αὕτη δὲ ἐν τῇ τέχνῃ. τούτων ἡ μὲν πλέον ἔχουσα τοῦ τεχνικοῦ τὸ φυσικὸν, καὶ διδαχῆς ἐλάττονος δεομένη, θαυμαστή τις ἐστὶ παρὰ τῷ συγγραφεῖ· φέρει γὰρ, ὥσπερ ἐκ πηγῆς πλουσίας, ἄπειρόν τι χρῆμα νοημάτων καὶ ἐνθυμημάτων περιττῶν καὶ ξένων καὶ παραδόξων. ἡ δὲ πλεῖον ἔχουσα τὸ τεχνικὸν, καὶ λαμπροτέραν ποιοῦσα φαίνεσθαι τὴν ἑτέραν, ἐνδεεστέρα τοῦ δέοντος ἐπὶ πολλῶν. ὅσον μὲν οὖν ἐκτε-

Digitized by Google

θαυμάσασιν αὐτὸν ὑπὲρ τὸ μέτριον, ὡς μηδὲν τῶν θεοφορήτων διαφέρειν, διὰ τὸ πλῆθος ἐοικασι τῶν ἐνθυμημάτων τοῦτ' ἐσχηκέναι τὸ πάθος. οὓς ἐὰν διδάσκῃ τις ἐφ' ἑκάστῳ πράγματι παρατιθεὶς τὸν λόγον, ὅτι ταυτὶ μὲν οὐκ ἦν ἐπιτήδεια ἐν τούτῳ τῷ καιρῷ, καὶ ὑπὸ τούτων τῶν προσώπων λέγεσθαι, ταυτὶ δ' οὐκ ἐπὶ τούτοις τοῖς πράγμασιν, οὐδὲ μέχρι τούτου, δυσχεραίνουσιν, ὅμοιόν τι πάσχοντες τοῖς κεκρατημένοις ὑφ' οἵας δή τινος ὄψεως ἔρωτι, μὴ πολὺ ἀπέχοντι μανίας. ἐκεῖνοί τε γὰρ πάσας τὰς ἀρετὰς, ὁπόσαι γίνονται περὶ μορφὰς εὐπρεπεῖς, ταῖς καταδεδουλωμέναις αὐτοὺς προσεῖναι νομίζουσι, καὶ τοὺς ἐξονειδίζειν ἐπιχειροῦντας, εἴ τις περὶ αὐτὰς ὑπάρχει σῖκος, ὡς βασκάνους καὶ συκοφάντας προβέβληνται· οὗτοί τε ὑπὸ τῆς μιᾶς ταύτης ἀρετῆς κεκαρωμένοι τὴν διάνοιαν, ἅπαντα καὶ τὰ μὴ προσόντα τῷ συγγραφεῖ μαρτυροῦσιν. ἃ γὰρ ἕκαστος εἶναι βούλεται περὶ τὸ φιλούμενόν τε καὶ θαυμαζόμενον ὑφ' ἑαυτοῦ, ταῦτα οἴεται. ὅσοι δ' ἀδέκαστον τὴν διάνοιαν φυλάσσουσι, καὶ τὴν ἐξέτασιν τῶν λόγων ἐπὶ τοὺς ὀρθοὺς κανόνας ἀναφέρουσιν, εἴτε φυσικῆς τινος κρίσεως μετειληφότες, εἴτε καὶ διδαχῆς ἰσχυρὰ τὰ κριτήρια κατασκευάσαντες, οὔτε ἅπαντα ἐπαινοῦσιν ἐπίσης, οὔτε πρὸς ἅπαντα δυσχεραίνουσιν· ἀλλὰ τοῖς μὲν κατορθώμασι τὴν προσήκουσαν μαρτυρίαν ἀπονέμουσιν· εἰ δέ τι διημάρτηται μέρος ἐν αὐτοῖς, οὐκ ἐπαινοῦσιν.

35. Οὔτ' οὖν ἐπὶ πάντων ἐγὼ τῶν ἐμαυτοῦ θεωρημάτων κανόνας ὑποτιθέμενος, οὔτε πρότερον

Digitized by Google

ὤκνησα τὰ δοκοῦντά μοι φέρειν εἰς μέσον, οὔτε νῦν ἀποστρέψομαι. διδοὺς δὴ τὸ πρῶτον, ὥσπερ κατ' ἀρχὰς ἔφην, τὸ περὶ τὴν εὕρεσιν τοῦ συγγραφέως εὔστοχον, [καὶ εἴ τις ἄλλως προσυπείληφεν, εἴτε διὰ φιλονεικίαν, εἴτε δι' ἀναισθησίαν, ἁμαρτάνειν αὐτὸν οἰόμενος,] θάτερον οὐκέτι δίδωμι, τὸ περὶ τὰς οἰκονομίας αὐτῷ τεχνικόν, πλὴν ἐπ' ὀλίγων πάνυ δημηγοριῶν. ὁρῶ δὲ καὶ περὶ τὴν λέξιν ἐλαττώματα, περὶ ὧν ἤδη προείρηκα, πλεῖστα καὶ μέγιστα ταύταις συμβεβηκότα ταῖς ἰδέαις· καὶ γὰρ αἱ γλωττηματικαὶ καὶ ξέναι καὶ πεποιημέναι λέξεις ἐν ταύταις μάλιστα ἐπιπολάζουσι, καὶ τὰ πολύπλοκα καὶ ἀγκύλα καὶ βεβιασμένα σχήματα, πλεῖστα περὶ ταύτας ἐστίν. εἰ δὲ τὰ εἰκότα ἔγνωκα, οὐ τεκμηρίοις, καὶ τῶν ἄλλων ἕκαστος, ἐπὶ τὴν ἐξέτασιν ἀγόμενος τῶν ἔργων. ἔστω δὲ κατὰ ταὐτὰ ἡ παράθεσις αὐτῶν ἀντιπαρεξεταζομένων τοῖς ἄριστά μοι δοκοῦσιν ἔχειν τῶν οὔτε κατὰ τὰς οἰκονομίας κατορθουμένων, οὔτε κατὰ τὴν φράσιν ἀνεγκλήτων.

36. Ἐν μὲν οὖν τῇ δευτέρᾳ βίβλῳ ἐπὶ Πλαταιὰς Λακεδαιμονίων τε καὶ τῶν συμμάχων ἔλασιν ἀρξάμενος γράφειν, ὑποτίθεται, τοῦ βασιλέως τῶν Λακεδαιμονίων, Ἀρχιδάμου, μέλλοντος δῃώσειν τὴν γῆν, πρέσβεις παρὰ τῶν Πλαταιέων ἀφιγμένους πρὸς αὐτόν, καὶ λόγους ἀποδίδωσιν, οὓς εἰκὸς ἦν ὑπ' ἀμφοτέρων εἰρῆσθαι τοῖς προσώποις πρέποντας, καὶ τοῖς πράγμασιν οἰκείους· καὶ μήτε λείποντας τοῦ μετρίου, μήτε ὑπεραίροντας· λέξει τε κεκόσμηκεν αὐτοὺς καθαρᾷ καὶ σαφεῖ καὶ συντόμῳ, καὶ

Digitized by Google

τὰς ἄλλας ἀρετὰς ἐχούσῃ· τήν τε ἁρμονίαν οὕτως ἔναυλον ἀποδέδωκεν ἅμα τοῖς ἡδίστοις παρεξετάζεσθαι· „Τοῦ δ' ἐπιχωμένου θέρους, οἱ Πελο„ποννήσιοι καὶ οἱ ξύμμαχοι ἐς μὲν τὴν Ἀττικὴν οὐκ „ἐσέβαλον· ἐστράτευσαν δ' ἐπὶ Πλάταιαν. ἡγεῖτο „δ' Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασι„λεύς· καὶ καθίσας τὸν στρατὸν, ἔμελλε δηώσειν „τὴν γῆν. οἱ δὲ Πλαταιεῖς, εὐθὺς πρέσβεις πέμψαν„τες πρὸς αὐτὸν, ἔλεγον τοιάδε· “ „Ἀρχίδαμε, καὶ „Λακεδαιμόνιοι, οὐ δίκαια ποιεῖτε, οὔτε ἄξια οὔθ' „ὑμῶν, οὔτε πατέρων, ὧν ἐστε, ἐς γῆν τὴν Πλα„ταιέων στρατεύοντες. Παυσανίας γὰρ ὁ Κλεομβρό„του Λακεδαιμόνιος, ἐλευθερώσας τὴν Ἑλλάδα ἀπὸ „τῶν Μήδων, μετὰ Ἑλλήνων τῶν ἐθελησάντων „ξυνέρασθαι τὸν κίνδυνον τῆς μάχης, ἣ παρ' ἡμῖν „ἐγένετο, θύσας ἐν τῇ Πλαταιέων ἀγορᾷ Διὶ ἐλευθε„ρίῳ ἱερὰ, καὶ ξυγκαλέσας πάντας τοὺς ξυμμάχους, „ἀπέδιδου Πλαταιεῦσι, γῆν καὶ πόλιν τὴν σφετέραν „ἔχοντας, αὐτονόμους οἰκεῖν, στρατεῦσαί τε μηδένα „ποτὲ ἀδίκως ἐπ' αὐτοὺς, μηδ' ἐπὶ δουλείᾳ· εἰ δὲ „μὴ, ἀμύνειν τοὺς παρόντας ξυμμάχους κατὰ δύ„ναμιν. τάδε μὲν ἡμῖν πατέρες οἱ ὑμέτεροι ἔδοσαν, „ἀρετῆς ἕνεκα, καὶ προθυμίας τῆς ἐν ἐκείνοις τοῖς „κινδύνοις γενομένης. ὑμεῖς δὲ, τἀναντία [ἐκείνοις] „δράτε· μετὰ γὰρ Θηβαίων τῶν ἡμῖν ἐχθίστων, „ἐπὶ δουλείᾳ τῇ ἡμετέρᾳ ἥκετε. μάρτυρας δὲ θεοὺς, „τούς τε ὁρκίους τότε γενομένους ποιούμενοι, καὶ „τοὺς ἡμετέρους πατρῴους, καὶ ἡμετέρους ἐγχω„ρίους, λέγομεν ὑμῖν, γῆν τὴν Πλαταιΐδα μὴ ἀδι-

Digitized by Google

„κεῖν, μηδὲ παραβαίνειν τοὺς ὅρκους· ἐᾶν δὲ οἰκεῖν
„αὐτονόμους, καθάπερ Παυσανίας ἐδικαίωσε.“
„τοσαῦτα εἰπόντων [τῶν] Πλαταιέων, Ἀρχίδαμος
„ὑπολαβὼν εἶπεν· „Δίκαια λέγετε, ὦ ἄνδρες Πλα-
„ταιεῖς, ἢν ποιῆτε ὅμοια τοῖς λόγοις· καθάπερ γὰρ
„Παυσανίας ὑμῖν παρέδωκεν, αὐτοί τε αὐτονομεῖ-
„σθε, καὶ τοὺς ἄλλους ξυνελευθεροῦτε, ὅσοι μετα-
„σχόντες τῶν τότε κινδύνων, ὑμῖν τε ξυνώμοσαν,
„καὶ εἰσὶ νῦν ὑπὸ Ἀθηναίοις· παρασκευὴ τε τοσήδε
„καὶ πόλεμος γεγένηται αὐτῶν ἕνεκα καὶ τῶν ἄλλων
„ἐλευθερώσεως. ἧς μάλιστα μὲν μετασχόντες καὶ
„αὐτοὶ ἐμμείνατε τοῖς ὅρκοις· εἰ δὲ μή, ἅπερ καὶ
„τὸ πρότερον ἤδη προὐκαλεσάμεθα, ἡσυχίαν ἄγετε,
„νεμόμενοι τὰ ὑμέτερα αὐτῶν· καὶ ἔστε μηδὲ μεθ'
„ἑτέρων· δέχεσθε δ' ἀμφοτέρους φίλους, ἐπὶ πολέ-
„μῳ δὲ μηδ' ἑτέρους· καὶ ταῦτα ἡμῖν ἐφκέτω.“ „ὁ
„μὲν Ἀρχίδαμος τοσαῦτα εἶπεν· οἱ δὲ Πλαταιέων
„πρέσβεις, ἀκούσαντες ταῦτα, ἐσῆλθον ἐς τὴν πό-
„λιν· καὶ τῷ πλήθει καὶ βηθέντα κοινώσαντες, ἀπε-
„κρίναντο αὐτῷ· “ „Ὅτε οὐδύναντο σφίσιν εὖ ποιεῖν,
„ἃ προκαλεῖται, ἄνευ Ἀθηναίων· παῖδες γὰρ σφῶν
„καὶ γυναῖκες παρ' ἐκείνοις εἰσὶν, δεινὸν καὶ
„περὶ πάσῃ τῇ πόλει, μὴ, ἐκείνων ἀποχωρησάντων,
„Ἀθηναῖοι ἐλθόντες σφίσιν οὐκ ἐπιτρέπωσιν· ἢ
„Θηβαῖοι, ὡς ἔγγυθεν ὄντες, κατὰ τὸ ἀμφοτέρους
„δέχεσθαι, αὖθις σφῶν τὴν πόλιν πειράσωσι κατα-
„λαβεῖν.“ „ὁ δὲ, θαρσύνων αὐτοὺς, πρὸς ταῦτα
„ἔφη· “ „Ἡμεῖς δὲ πόλιν μὲν καὶ οἰκίας παράδοτε
„ἡμῖν τοῖς Λακεδαιμονίοις· καὶ γῆς ὅρους ἀπο-

Digitized by Google

„δείξατε, καὶ δένδρα ἀριθμῷ τὰ ὑμέτερα, καὶ ἄλλο „εἴ τι δυνατὸν εἰς ἀριθμὸν ἐλθεῖν· αὐτοὶ δὲ μετα„χωρήσατε, ὅποι βούλεσθε, ἕως ἂν ὁ πόλεμος ᾖ· „ἐπειδὰν δὲ παρέλθῃ, ἀποδώσομεν [ὑμῖν, ἃ ἂν „παραλάβωμεν.] μέχρι δὲ ταῦδε ἕξομεν παρακα„θήκην, ἐργαζόμενοι καὶ φορὰν φέροντες, ἣ ἂν „ὑμῖν μέλλῃ ἱκανὴ ἔσεσθαι.“ „οἱ δὲ, ἀκούσαντες, „αὖθις ἐσῆλθον ἐς τὴν πόλιν, καὶ βουλευσάμενοι „μετὰ τοῦ πλήθους, ἔλεξαν·“ „Ὅτι βούλονται, ἃ „προκαλεῖται, Ἀθηναίοις κοινῶσαι πρῶτον· καὶ, ἢν „πείθωσιν αὐτοὺς, ποιεῖν ταῦτα.“ „μέχρι δὲ τού„του σπείσασθαι σφίσιν ἐκέλευον, καὶ τὴν γῆν μὴ „δῃοῦν. ὁ δ' ἡμέρας τε ἐσπείσατο, ἐν αἷς εἰκὸς ἦν „κομισθῆναι, καὶ τὴν γῆν οὐκ ἔτεμεν. ἐλθόντες δὲ „οἱ Πλαταιεῖς πρέσβεις ἐς τοὺς Ἀθηναίους, καὶ „βουλευσάμενοι μετ' αὐτῶν, πάλιν ἦλθον ἀπαγγέλ„λοντες τοῖς ἐν τῇ πόλει τοιάδε·“ „Οὔτ' ἐν τῷ „προτοῦ χρόνῳ, [ὦ] ἄνδρες Πλαταιεῖς, ἀφ' οὗ „ξυμμαχοι ἐγενόμεθα, Ἀθηναῖοι φασὶν ἐν οὐδενὶ „ἡμᾶς προέσθαι ἀδικουμένους, οὔτε νῦν περιόψε„σθαι, βοηθήσειν δὲ κατὰ δύναμιν· ἐπεσκήπτουσί „τε ὑμῖν πρὸς τῶν ὅρκων, οὓς οἱ πατέρες ὤμοσαν, „μηδὲν νεωτερίζειν περὶ τὴν ξυμμαχίαν.“ „Τοι„αῦτα τῶν πρέσβεων ἀπαγγειλάντων, οἱ Πλαταιεῖς „ἐβουλεύσαντο Ἀθηναίους μὴ προδιδόναι, ἀλλ' „ἀνέχεσθαι καὶ γῆν τεμνομένην, εἰ δέοι, ὁρῶντας, „καὶ ἄλλο πάσχοντας, ὅ τι ἂν ξυμβαίνῃ· ἐξελθεῖν „τε μηδένα ἔτι, ἀλλ' ἀπὸ τοῦ τείχους ἀποκρίνα„σθαι,“ „Ὅτι ἀδύνατα σφίσι ποιεῖν ἐστιν, ἃ Λα-

Digitized by Google

„κεδαιμόνιοι προκαλοῦνται.“ „ὡς δ' ἀπεκρίναντο, „ἐντεῦθεν δὴ πρῶτον μὲν ἐς ἐπιμαρτυρίαν καὶ „θεῶν καὶ ἡρώων τῶν ἐγχωρίων Ἀρχίδαμος ὁ βασι„λεὺς κατέστη, λέγων ὧδε·“ „Θεοί, ὅσοι γῆν τὴν „Πλαταιΐδα ἔχετε, καὶ ἥρωες, ξυνίστορές ἐστε, ὅτι „οὔτε τὴν ἀρχὴν ἀδίκως ἐκλιπόντων τῶνδε πρότερον „τὸ ξυνώμοτον, ἐπὶ γῆν τήνδε ἤλθομεν· ἐν ᾗ οἱ πα„τέρες ἡμῶν εὐξάμενοι ὑμῖν Μήδων ἐκράτησαν, καὶ „παρέσχετε αὐτὴν εὐμενῆ ἐναγωνίσασθαι τοῖς Ἕλ„ληση· οὔτε νῦν, ἤν τι ποιῶμεν, ἀδικήσομεν· προ„καλεσάμενοι γὰρ πολλὰ καὶ εἰκότα, οὐ τυγχάνομεν. „ξυγγνώμονες δὲ ἐστε, τῆς μὲν ἀδικίας καλάζεσθαι „τοῖς ὑπάρχουσι προτέροις, τῆς δὲ τιμωρίας τυγχά„νειν τοῖς ἐπιφέρουσι νομίμως.“ „τοσαῦτα ἐπι„θειάσας, καθίστη ἐς πόλεμον τὸν στρατόν.“

37. Ἐξεταίσωμεν δὴ παρὰ τοῦτον τὸν διάλογον, οὕτω καλῶς καὶ περιττῶς ἔχοντα, ἕτερον αὐτοῦ διάλογον, ὃν μάλιστα ἐπαινοῦσιν οἱ τοῦ χαρακτῆρος τούτου θαυμασταί. ὑποτίθεται δὴ στρατιὰν ἀποστειλάντων Ἀθηναίων ἐπὶ Μηλίους Λακεδαιμονίων ἀποίκους, πρὶν ἄρξασθαι τοῦ πολέμου, τὸν στρατηγὸν τῶν Ἀθηναίων, καὶ τοὺς προβούλους τῶν Μηλίων, συνιόντας εἰς λόγους περὶ καταλύσεως τοῦ πολέμου· καὶ κατ' ἀρχὰς μὲν ἐκ τοῦ ἰδίου προσώπου δηλοῖ τὰ λεχθέντα ὑφ' ἑκατέρων· ἐπὶ μιᾶς δ' ἀποκρίσεως τοῦτο τὸ σχῆμα διατηρήσας, τὸ διηγηματικόν, προσωποποιεῖ τὸν μετὰ ταῦτα διάλογον καὶ δραματικόν. ἄρχει δ' ὁ Ἀθηναῖος τάδε λέγων· „Ἐπειδὴ οὐ πρὸς τὸ πλῆθος οἱ λόγοι γίγνονται,

Digitized by Google

„ὅπως δὴ μὴ ξυνεχεῖ ῥήσει οἱ πολλοὶ ἐπαγωγὰ καὶ „ἀνέλεγκτα ἑσάπαξ ἀκούσαντες ἡμῶν, ἀπατηθῶσι· „γινώσκομεν γὰρ, ὅτι τοῦτο φρονεῖ ἡμῶν ἡ ἐς τοὺς „ὀλίγους ἀγωγὴ, ὑμεῖς δὲ καθήμενοι, ἔτι ἀσφαλέ„στερον ποιήσατε. καθ' ἕκαστον γὰρ καὶ μηδ' ὑμεῖς „ἑνὶ λόγῳ, ἀλλὰ πρὸς τὸ μὴ δοκοῦν ἐπιτηδείως λέ„γεσθαι, εὐθὺς ὑπολαμβάνοντες, κρίνετε· καὶ πρῶ„τον, εἰ ἀρέσκει, ὡς λέγομεν, εἴπατε." „οἱ δὲ τῶν „Μηλίων ξύνδροι ἀπεκρίναντο·" „Ἡ μὲν ἐπιεί„κεια τοῦ διδάσκειν καθ' ἡσυχίαν ἀλλήλους, οὐ „ψέγεται· τὰ δὲ τοῦ πολέμου, παρόντα ἤδη, καὶ οὐ „μέλλοντα, διαφέροντα αὐτοῦ φαίνεται." τοῦτο τὸ τελευταῖον εἴ τις ἐν τοῖς σχήμασιν ἀξιώσει φέρειν, οὐκ ἂν φθάνοι πάντας τοὺς σολοικισμοὺς, ὅσοι γίγνονται παρὰ τοὺς ἀριθμοὺς καὶ παρὰ τὰς πτώσεις, σχήματα καλῶν. πρωθεῖς γὰρ· „Ἡ μὲν ἐπιεί„κεια τοῦ διδάσκειν καθ' ἡσυχίαν, οὐ ψέγεται·" ἔπειτα συνάψας τῷ ἑνικῷ καὶ κατὰ τὴν ὀρθὴν ἐξενηνεγμένα πτῶσιν· „Τὰ δὲ τοῦ πολέμου, παρόν„τα ἤδη, καὶ οὐ μέλλοντα·" ἐπιζεύγνυσι τούτοις ἑνικὸν, καὶ κατὰ τὴν γενικὴν ἐσχηματισμένον πτῶσιν, εἴτε ἄρθρον θηλυκὸν βούλεταί τις αὐτὸ καλεῖν, εἴτε ἀντωνυμίαν, τὸ „Αὐτοῦ·" τοῦτο δ' οὔτε τῷ θηλυκῷ καὶ ἑνικῷ καὶ ὀνομαστικῷ προσαρμοττόμενον σώζει τὴν ἀκολουθίαν, οὔτε τῷ πληθυντικῷ καὶ οὐδετέρῳ κατὰ τὴν αἰτιατικὴν ἐσχηματισμένῳ πτῶσιν. ἦν δ' ἂν ὁ λόγος κατάλληλος, οὕτως σχηματισθείς· „Ἡ μὲν ἐπιείκεια τοῦ διδάσκειν καθ' „ἡσυχίαν ἀλλήλους, οὐ ψέγεται· τὰ δὲ τοῦ πολέμου

Digitized by Google

„παρόντα ἤδη, καὶ οὐ μέλλοντα, διαφέροντα αὐτῆς „φαίνεται.“ τούτοις ἐπιτίθησιν ἐνθύμημα νενοημένον μὲν οὐκ ἀτόπως, ἡρμηνευμένον δὲ οὐκ εὐπαρακολουθήτως· „Εἰ μὲν τοίνυν ὑπονοίας τῶν μελ„λόντων λογιούμενοι, ἢ ἄλλο τι, ξυνήμετε, ἢ ἐκ τῶν „παρόντων, καὶ ὧν ὁρᾶτε, περὶ σωτηρίας βουλεύ„σοντες τῇ πόλει, παυοίμεθ' ἄν· εἰ δ' ἐπὶ τοῦτο, „λέγοιμεν ἄν.“

38. Καὶ μετὰ τοῦτο ἀποστρέψας τοῦ διηγήματος τὸν διάλογον, ἐπὶ τὸ δραματικόν, ταῦτα τὸν Ἀθηναῖον ἀποκρινόμενον ποιεῖ· „Εἰκὸς μὲν καὶ „ξυγγνώμη, ἐν τῷ τοιῷδε καθεστῶτας, ἐπὶ πολλὰ „καὶ λέγοντας καὶ δοκοῦντας τρέπεσθαι.“ ἔπειτα εὐσχήμονα πρόθεσιν ὑποθέμενος· „Ἢ μέντοι ξύνο„θος καὶ περὶ σωτηρίας ἥδε παρέστι· καὶ ὁ λόγος, „ᾧ προκαλεῖσθε τρόπῳ, εἰ δοκεῖ, γιγνέσθω.“ πρῶτον μὲν εὗρηκεν ἐνθύμημα οὔτε τῆς Ἀθηναίων πόλεως ἄξιον, οὔτ' ἐπὶ τοιούτοις πράγμασιν ἁρμόττον λέγεσθαι· „Ἡμεῖς τοίνυν οὔτε αὐτοὶ μετ' ὀνομά„των καλῶν, ὡς ἢ δικαίως τὸν Μῆδον καταλύσαν„τες ἄρχομεν, ἢ ἀδικούμενοι νῦν ἐπεξερχόμεθα, „λόγων μῆκος ἄπιστον παρέξομεν.“ τοῦτο δέ ἐστιν ὁμολογοῦντος τὴν ἐπὶ τοὺς μηδὲν ἀδικοῦντας στρά„τευσιν· ἐπειδὴ περὶ μηδετέρου τούτων βούλεται τὸν λόγον ὑπέχειν. οἷς ἐπιτίθησιν· „Οὔθ' ὑμᾶς „ἀξιοῦμεν, ἢ ὅτι Λακεδαιμονίων ἄποικοι ὄντες, οὐ „ξυνεστρατεύσατε· ἢ ὡς ἡμᾶς οὐδὲν ἠδικήκατε, λέ„γοντας, οἴεσθαι πείσειν· τὰ δυνατὰ δ' ἐξ ὧν ἑκά„τεροι ἀληθῶς φρονοῦμεν διαπράσσεσθαι.“ τοῦτο

Digitized by Google

δὲ ἐστιν· „Ὑμεῖς μὲν ἀληθῶς φρονοῦντες, ὅτι ἀδι-„κεῖσθε, τὴν ἀνάγκην φέρετε, καὶ εἴκετε· ἡμεῖς δὲ, „οὐκ ἀγνοοῦντες, ὅτι ἀδικοῦμεν ὑμᾶς, τῆς ἀσθε-„νείας ὑμῶν περισόμεθα τῇ βίᾳ.“ ταῦτα γὰρ ἑκα-τέροις δυνατά. ἔπειτα τὴν αἰτίαν ἀποδοῦναι τοῦ-„του βουληθεὶς, ἐπιλέγει· „Ὅτι δίκαια μὲν ἐν τῷ „ἀνθρωπείῳ λόγῳ ἀπὸ τῆς ἴσης ἀνάγκης κρίνεται· „δυνατὰ δὲ οἱ προὔχοντες πράσσουσι, καὶ οἱ ἀσθε-„νεῖς ξυγχωροῦσι.“

39. Βασιλεῦσι γὰρ βαρβάροις ταῦτα πρὸς Ἕλ-ληνας ἥρμοττε λέγειν· Ἀθηναίοις δὲ πρὸς τοὺς Ἕλ-ληνας, οὓς ἠλευθέρωσαν ἀπὸ τῶν Μήδων, οὐκ ἦν προσήκοντα εἰρῆσθαι, ὅτι τὰ δίκαια τοῖς ἴσοις ἐστὶ πρὸς ἀλλήλους, τὰ δὲ βίαια τοῖς ἰσχυροῖς πρὸς τοὺς ἀσθενεῖς. ὀλίγα δὲ πρὸς ταῦτα τῶν Μηλίων ἀπο-κρινομένων, ὅτι καλῶς ἂν ἔχοι τοῖς Ἀθηναίοις προ-νοεῖν τοῦ δικαίου, μὴ καὶ αὐτοὶ ποτὲ, σφαλέντες ὑπ' ἄλλων, ἐν ἐξουσίᾳ γένωνται, καὶ τὰ αὐτὰ πά-σχωσιν ὑπὸ τῶν ἰσχυροτέρων, ἀποκρινόμενον ποιεῖ τὸν Ἀθηναῖον· „Ἡμεῖς δὲ τῆς ἡμετέρας ἀρχῆς, ἢν „καὶ παυθῇ, οὐκ ἀθυμοῦμεν τὴν τελευτήν.“ τοὺ-του δ' αἰτίαν ἀποδιδόντα, ὅτι, κἂν καταλύσωσιν αὐτῶν Λακεδαιμόνιοι τὴν ἀρχὴν, συγχωρήσειν ἔξου-σι, καὶ αὐτοὶ πολλὰ τοιαῦτα πράσσοντες. θήσω δὲ καὶ τὴν λέξιν αὐτοῦ· „Οὐ γὰρ οἱ ἄρχοντες ἄλλων, „ὥσπερ καὶ Λακεδαιμόνιοι, οὗτοι δεινοὶ τοῖς νικη-„θεῖσι.“ τοῦτο δὲ ὅμοιόν ἐστι τῷ λέγειν, ὅτι παρὰ τοῖς τυράννοις οὐ μισοῦνται τύραννοι. οἷς ἐπιτίθη-σι· „Καὶ περὶ μὲν τούτου ἡμῖν ἀφείσθω κίνδυ-

Digitized by Google

„νεύεσθαι.“ ὃ μόλις ἄν εἰπετῶν καταπεντιστῶν τις, ἢ λῃστῶν, οὐδὲν ἐπιστρεφόμενος τῆς μετὰ ταῦτα τιμωρίας, χαρισάμενος ἐπιθυμίαις ἐν τῷ παρόντι. ἔπειτ' ὀλίγων τῶν μεταξὺ γενομένων ἀμοιβαίων, καὶ τῶν Μηλίων εἰς ἐπιεικῆ συγκαταβαινόντων αἱρεσιν· „Ὥστε δὲ ἡσυχίαν ἄγοντας ἡμᾶς, φίλους μὲν εἶναι „ἀντὶ πολεμίων, ξυμμάχους δὲ μηδετέρων, οὐκ ἂν „δέξοισθε;“ ἀποκρινόμενον ποιεῖ τὸν Ἀθηναῖον· „Οὐ γὰρ τοσοῦτον ἡμᾶς βλάπτει ἡ ἔχθρα ὑμῶν, „ὅσον ἡ φιλία μὲν, ἀσθενείας· τὸ δὲ μῖσος, δυ„νάμεως παράδειγμα τοῖς ἀρχομένοις δηλούμενον.“ ἐνθύμημα πονηρὸν καὶ σκολιῶς ἀπηγγελμένον. εἰ δὲ τὸ νόημα βούλεταί τις αὐτοῦ σκοπεῖν, τοιόνδε ἐστίν· „Ὅτι φιλοῦντες μὲν ἡμᾶς, ἀσθενεῖς φαί„νεσθαι πρὸς τοὺς ἄλλους ποιήσετε· μισοῦντες δὲ, „ἰσχυροὺς. οὐ γὰρ ζητοῦμεν εὐνοίᾳ τῶν ὑπηκόων „ἄρχειν, ἀλλὰ φόβῳ.“

40. Τούτοις ἕτερα προσθεὶς πάλιν ἀμοιβαῖα περίεργα καὶ πικρὰ, τοὺς Μηλίους ὑποτίθεται λέγοντας, ὅτι κοινὰς τὰς τύχας φέρουσιν οἱ πολέμιοι· καὶ τὸ μὲν εἶξαι εὐθὺς, ἀνέλπιστον, μετὰ δὲ τοῦ δρωμένου ἔτι καὶ σῳῆναι ἐλπὶς ὀρθῶς. πρὸς ταῦτα ποιεῖ τὸν Ἀθηναῖον ἀποκρινόμενον λαβυρίνθων σκολιώτερα περὶ τῆς ἐλπίδος ἐπὶ κακῷ τοῖς ἀνθρώποις γινομένης, κατὰ λέξιν οὕτως γράφων· „Ἐλ„πὶς δὲ, κινδύνῳ παραμύθιον οὖσα, τοὺς μὲν ἀπὸ „περιουσίας χρωμένους αὐτῇ, κἂν βλάψῃ, οὐ καθ„ῖλε· τοῖς δὲ ἐσάπαν τὸ ὑπάρχον ἀναρρίπτουσι· „δάπανος γὰρ φύσει, ἅμα τε γινώσκεται σφαλέν-

Digitized by Google

„των· καὶ ἐν ὅτῳ ἔτι φυλάξεταί τις αὐτὴν γνωρι-
„σθεῖσαν, οὐκ ἐλλείπει. ὦ ὑμεῖς, ἀσθενεῖς τε καὶ
„ἐπὶ ῥοπῆς μιᾶς ὄντες, μὴ βούλησθε παθεῖν, μηδ'
„ὁμοιωθῆναι τοῖς πολλοῖς, οἷς παρὸν ἀνθρωπείως
„ἔτι σώζεσθαι, ἐπειδὰν πιεζομένους αὐτοὺς ἐπιλεί-
„πωσιν αἱ φανεραὶ ἐλπίδες, ἐπὶ τὰς ἀφανεῖς καθί-
„στανται, μαντικήν τε καὶ χρησμοὺς, καὶ ὅσα τοι-
„αῦτα μετ' ἐλπίδων λυμαίνεται." ταῦτα οὐκ οἶδα
πῶς ἄν τις ἐπαινέσειεν ὡς πρόσηκοντα εἰρῆσθαι
στρατηγοῖς Ἀθηναίων, ὅτι λυμαίνεται τοὺς ἀνθρώ-
πους ἡ παρὰ τῶν θεῶν ἐλπὶς, καὶ οὔτε χρησμῶν
ὄφελος, οὔτε μαντικῆς, τοῖς εὐσεβῆ καὶ δίκαιον
προῃρημένοις τὸν βίον. εἰ γάρ τι ἄλλο τῆς Ἀθη-
ναίων πόλεως, καὶ τοῦτ' ἐν πρώτοις ἐστὶν ἐγκώ-
μιον, τὸ περὶ παντὸς πράγματος, καὶ ἐν παντὶ
καιρῷ, τοῖς θεοῖς ἕπεσθαι, καὶ μηθὲν ἄνευ μαντι-
κῆς καὶ χρησμῶν ἐπιτελεῖν. λεγόντων τε τῶν Μη-
λίων, ὅτι σὺν τῇ παρὰ τῶν θεῶν βοηθείᾳ, καὶ
Λακεδαιμονίοις πεποίθασιν, οὓς εἰ καὶ διὰ μηδὲν
ἄλλο, διά γοῦν τὴν αἰσχύνην αὐτοῖς βοηθήσειν,
καὶ οὐ περιόψεσθαι καὶ συγγενεῖς ἀπολλυμένους·
αὐθαδέστερον ἔτι τὸν Ἀθηναῖον ἀποκρινόμενον
εἰσάγει· „Τῆς μὲν τοίνυν πρὸς τὸ θεῖον εὐμε-
„νείας οὐδ' ἡμεῖς οἰόμεθα λελείψεσθαι· οὐδὲν γὰρ
„ἔξω τῆς ἀνθρωπείας, τῶν μὲν, ἐς τὸ θεῖον νομί-
„σεως, τῶν δὲ, ἐς σφᾶς αὐτοὺς βουλήσεως, δικαιοῦ-
„μεν, ἢ πράσσομεν. ἡγούμεθα γὰρ τό τε θεῖον δό-
„ξῃ, τἀνθρώπειόν τε σαφῶς διὰ παντὸς ὑπὸ φύ-
„σεως ἀναγκαίως, οὗ ἂν κρατῇ, ἄρχειν." τούτων δ

Digitized by Google

νοῦς ἔστι μὲν δυσείκαστος, καὶ τοῖς πάνυ δοκοῦσιν ἐμπείρως τοῦ ἀνδρὸς ἔχειν· κατακλείεται δ' εἰς τοιοῦτόν τι πέρας· ὅτι τὸ μὲν θεῖον δόξῃ γιγώσκουσιν ἅπαντες, τὰ δὲ πρὸς ἀλλήλους δίκαια τῷ κοινῷ τῆς φύσεως κρίνουσι νόμῳ· οὗτος δ' ἔστιν, ἄρχειν ἂν δύνηταί τις κρατεῖν. ἀκόλουθα καὶ ταῦτα τοῖς πρώτοις, καὶ οὔτε Ἀθηναίοις, οὔτε Ἕλλησι, πρέποντα εἰρῆσθαι.

41. Πολλὰς δυνάμενος εἰς διανοίας παρασχέσθαι, τὸ σύμετρον ἔχούσας πονηρόν· ἵνα μὴ πλείων ὁ λόγος γένοιτό μοι τοῦ μετρίου, τὴν τελευταίαν ἔτι προσθήκην παραλήψομαι μόνην· ἣν ἀπαλλατόμενος ἐκ τοῦ συλλόγου ὁ Ἀθηναῖος εἴρηκεν· „Ἀλλ' ὑμῶν τὰ μὲν μαχυρὰ ὄντα ἐλπιζόμενα μέλλε„ται· τὰ δὲ παρόντα, βραχέα πρὸς τὰ πᾶν ἀντιτε„ταγμένα περιγενέσθαι. πολλήν γε ἀλογίαν, φησὶ, „τῆς διανοίας παρέχετε, εἰ μὴ μεταστησάμενοι [ἔτι] „ἡμᾶς, ἄλλο τι πῶνδε σωφρονέστερον γνώσεσθε.“ οἷς ἐπιτίθησιν· „Οὐ γὰρ δὴ ἐπί γε τὴν ἐν τοῖς „αἰσχροῖς καὶ προὔπτοις κινδύνοις πλεῖστα διαφθεί„ρουσαν ἀνθρώπους αἰσχύνην τρέψεσθε. πολλοῖς „γὰρ προορωμένοις ἔτι, ἐς οἷα φέρονται, τὸ αἰ„σχρὸν καλούμενον, ὀνόματος ἐπαγωγοῦ δυνάμει „ἐπεσπάσατο ἡσσηθῆναι τοῦ ῥήματος, ἔργῳ ξυμ„φοραῖς ἀνηκέστοις ἑκόντας περιπεσεῖν.“ τούτων τῶν λόγων ὅτι μὲν οὔτ' αὐτὸς μετέσχεν ὁ συγγραφεὺς, τῷ συλλόγῳ τότε παρατυχών, οὔτε τῶν διαθεμένων αὐτοὺς Ἀθηναίων, ἢ Μηλίων, ἤκουσεν, ἐξ ὧν αὐτὸς ἐν τῇ πρὸ αὐτῆς βίβλῳ περὶ αὐτοῦ

Digitized by Google

γράφει, μαθεῖν ῥᾴδιον· ὅτι μετὰ τὴν ἐν Ἀμφιπόλει στρατηγίαν ἐξελαθεὶς τῆς πατρίδος, πάντα τὸν λοιπὸν τοῦ πολέμου χρόνον ἐν Θρᾴκῃ διέτριψε. λείπεται δὴ σκοπεῖν, εἰ τοῖς τε πράγμασι προσήκοντα, καὶ τοῖς συνεληλυθόσιν εἰς τὸν σύλλογον προσώποις ἁρμόττοντα πέπλασε διάλογον ἑκάστοις, ὃς ἔγγιστα τῆς συμπάσης γνώμης τῶν ἀληθῶς λεχθέντων, ὧς αὐτὸς ἐν τῷ προοιμίῳ τῆς ἱστορίας προείρηκεν. ἆρ' οὖν, ὥσπερ τοῖς Μηλίοις οἰκεῖοι καὶ προσήκοντες ἦσαν οἱ περὶ τῆς ἐλευθερίας λόγοι, παραπαλοῦντες τοὺς Ἀθηναίους μὴ καταδουλοῦσθαι πόλιν Ἑλληνίδα μηδὲν ἁμαρτάνουσαν εἰς αὐτούς, οὕτως καὶ τοῖς Ἀθηναίων στρατηγοῖς πρέποντες ἦσαν οἱ περὶ τῶν δικαίων, μήτ' ἐξετάζειν ἐῶντες, μήτε λέγειν, ἀλλὰ τὸν τῆς βίας καὶ πλεονεξίας νόμον ἐπάγοντες, καὶ ταῦτ' εἶναι δίκαια τοῖς ἀσθενέσιν ἀποφαίνοντες, ὅσα τοῖς ἰσχυροτέροις δρκεῖ; ἐγὼ μὲν γὰρ οὐκ οἶμαι, τοῖς ἐκ τῆς εὐνομωτάτης πόλεως ἐπὶ τὰς ἔξω πόλεις ἀποστελλομένοις ἡγεμόσι ταῦτα προσήκειν λέγεσθαι· οὐδ' ἂν ἀξιώσαιμι τοὺς μὲν μικροπολίτας καὶ μηδὲν ἔργον ἐπιφανὲς ἀποδεδειγμένους Μηλίους, πλέονα τοῦ καλοῦ ποιεῖσθαι πρόνοιαν, ἢ τοῦ ἀσφαλοῦς, καὶ πάντα ἑτοίμους εἶναι τὰ δεινὰ ὑποφέρειν, ἵνα μηδὲν αἴσχημον ἀναγκασθῶσι πράττειν· τοὺς δὲ προελομένους τήν τε χώραν καὶ τὴν πόλιν ἐκλιπεῖν κατὰ τὸν Περσικὸν πόλιμον Ἀθηναίους, ἵνα μηδὲν αἰσχρὸν ὑπομείνασιν ἐπίταγμα, τῶν ταῦτα προαιρουμένων ὡς ἀνοήτων κατηγορεῖν. οἶομαι δ', ὅτι, κἂν εἴ τινες ἄλλοι, παρόντων Ἀθη-

Digitized by Google

ναίων, ταῦτα ἐπεχείρουν λέγειν, ἐπαχθῶς ἤνεγκαν ἂν οἱ τὸν κοινὸν βίον ἐξημερώσαντες. ἐγὼ μὲν δὴ διὰ ταύτας τὰς αἰτίας οὐκ ἐπαινῶ τὸν λόγον τοῦτον, ἀντιπαρεξετάζων τὸν ἕτερον. ἐν ἐκείνῳ μὲν γὰρ Ἀρχίδαμος ὁ Λακεδαιμόνιος δίκαιά τε προκαλεῖται τοὺς Πλαταιεῖς, καὶ λέξει κέχρηται καθαρᾷ καὶ σαφεῖ, καὶ οὐδὲν ἐχούσῃ σχῆμα βεβασανισμένον, οὐδὲ ἀνακόλουθον· ἐν τούτῳ δὲ οἱ φρονιμώτατοι τῶν Ἑλλήνων αἴσχιστα μὲν ἐνθυμήματα φέρουσιν, ἀηδεστάτῃ δ' αὐτὰ περιλαμβάνουσι λέξει· εἰ μὴ ἄρα μνησικακῶν ὁ συγγραφεὺς τῇ πόλει διὰ τὴν καταδίκην, πᾶν τὰ ἀνείδη κατεσκέδασεν αὐτῆς, ἐξ ὧν ἅπαντες μισήσειν αὐτὴν ἔμελλον. ἃ γὰρ οἱ προεστηκότες τῶν πόλεων, καὶ τηλικαύτας ἐξουσίας πιστευόμενοι, φρονεῖν τε καὶ λέγειν πρὸς τὰς πόλεις ὑπὲρ τῆς αὐτῶν πατρίδος, ταῦτα κοινὰ ὑπολαμβάνουσιν ἅπαντες εἶναι τῆς ἀποστελλούσης πόλεως αὐτούς. καὶ περὶ μὲν τῶν διαλόγων ἅλις.

42. Τῶν δημηγορικῶν λόγων τεθαύμακα μὲν τὸν ἐν τῇ πρώτῃ βίβλῳ ῥηθέντα ἐν Ἀθήναις ὑπὸ Περικλέους περὶ τοῦ μὴ εἴκειν Λακεδαιμονίοις, τὸν ἔχοντα τήνδε τὴν ἀρχήν· „Τῆς μὲν γνώμης, ὦ „Ἀθηναῖοι, ἀεὶ τῆς αὐτῆς ἔχομαι, μὴ εἴκειν Πε„λοποννησίοις.“ ὡς καὶ τοῖς ἐνθυμήμασιν ἡρμηνευμένον δαιμονίως, καὶ οὔτε κατὰ τὴν σύνθεσιν τῶν μορίων, οὔτε κατὰ τὴν ἐξαλλαγὴν τῶν σχηματισμῶν τῶν ἀνακολούθων καὶ βεβιασμένων ἐνοχλοῦντα τὰς ἀκοάς, πάσας δὲ περιειληφότα τὰς ἀρετὰς, ὁπόσαι γίγνονται περὶ δημηγορικούς· καὶ τοὺς ὑπὸ

Digitized by Google

Νικίου τοῦ στρατηγοῦ ῥηθέντας ἐν Ἀθήναις ὑπὲρ τῆς εἰς Σικελίαν στρατείας· τήν τε παραθεῖσαν ὑπὸ αὐτοῦ τοῖς Ἀθηναίοις ἐπιστολήν, ἐν ᾗ χρήζειν συμμαχίας ἄλλης καὶ διαδόχου, κάμνων τὸ σῶμα ὑπὰ νόσου· καὶ τὴν παράκλησιν τῶν στρατιωτῶν, ἣν ἐποιήσατο πρὸ τῆς τελευταίας ναυμαχίας· καὶ τὸν παραμυθητικὸν λόγον, ὅτε πιζῇ τὴν στρατιὰν ἔμελλεν ἀπάγειν, ἀπολωλεκὼς τὰς τριήρεις ἁπάσας· καὶ εἴ τινες εἰσὶν ἄλλαι τοιαῦται δημηγορίαι καθαραὶ καὶ σαφεῖς, καὶ εἰς τοὺς ἀληθινοὺς ἀγῶνας ἐπιτήδειοι. ὑπὲρ ἁπάσας δὲ τὰς ἐν ταῖς ἑπτὰ βίβλοις φερομένας τὴν Ἱππαιείων ἀπολογίαν τεθαύμακα, παρ' οὐδὲν οὕτως ἕτερον, ὡς τὸ μὴ βεβασανίσθαι, μηδὲ κατεπιτηδεῦσθαι, ἀληθεῖ δέ τινι καὶ φυσικῷ κεκοσμῆσθαι χρώματι. τά τε γὰρ ἐνθυμήματα πάθους ἐστὶ μεστά, καὶ ἡ λέξις οὐκ ἀποστρέφουσα τὰς ἀκοάς· ἥ τε γὰρ σύνθεσις εὐεπὴς, καὶ τὰ σχήματα τῶν πραγμάτων ἴδια. ταῦτα δὴ τὰ Θουκυδίδου ζηλωτὰ ἔργα, καὶ ἀπὸ τούτων τὰ μιμήματα τοῖς ἱστοριογραφοῦσιν ὑποτίθεται λαμβάνειν.

43. Τὴν δ' ἐν τῇ δευτέρᾳ βίβλῳ Περικλέους ἀπολογίαν, ἣν ὑπὲρ αὐτοῦ διετίθετο, τραχυνομένων Ἀθηναίων, ὅτι τὸν πόλεμον ἔπεισεν αὐτοὺς ἀναλαβεῖν, οὐχ ὅλην ἐπαινῶ· οὐδὲ τὰς περὶ τῆς Μιτυληναίων πόλεως δημηγορίας, ἃς διέθετο Κλέων καὶ Διόδοτος ἐν τῇ τρίτῃ βίβλῳ· οὐδὲ τὴν Ἑρμοκράτους τοῦ Συρακουσίου πρὸς Καμαριναίους· οὐδὲ τὴν Εὐφήμου, τοῦ πρεσβευτοῦ τῶν Ἀθηναίων, τὴν ἐναντίαν ταύτης· οὐδὲ τὰς ὁμοίας ταύ-

Digitized by Google

ταις. οὐ γὰρ ἀνάγκη πάσας ἐξαριθμεῖσθαι τὰς εἰς τὸν αὐτὸν κατεσκευασμένας τῆς διαλέκτου χαρακτῆρα. ἵνα δὲ μὴ δόξῃ τις φάσεις ἀναποδείκτους με λέγειν, πολλὰς παρασχέσθαι πίστεις δυνάμενος, δυσὶν ἀρκεσθήσομαι δημηγορίαις, ἵνα μὴ μακρὸς ὁ λόγος γένηται, τῇ Περικλέους ἀπολογίᾳ, καὶ τῇ Ἑρμοκράτους πρὸς Καμαριναίους κατηγορίᾳ κατὰ τῆς Ἀθηναίων πόλεως.

44. Ὁ μὲν οὖν Περικλῆς ταῦτα λέγει· „Καὶ „προσδεχομένῳ μοι τὰ τῆς ὀργῆς ὑμῶν ἐς ἐμὲ γεγέ„νηται· αἰσθάνομαι γὰρ τὰς αἰτίας· καὶ ἐκκλη„σίαν τούτου ἕνεκα ξυνήγαγον, ὅπως ὑπομνήσω „καὶ μέμψωμαι, εἴ τι μὴ ὀρθῶς ἢ ἐμοὶ χαλεπαίνετε, „ἢ ταῖς ξυμφοραῖς εἴκετε.“ ταῦτα Θουκυδίδῃ μὲν, γράφοντι περὶ τοῦ ἀνδρὸς ἐν ἱστορικῷ σχήματι, προσήκοντα ἦν· Περικλεῖ δὲ, ἀπολογουμένῳ πρὸς ἠρεθισμένον ὄχλον, οὐκ ἦν ἐπιτήδεια εἰρῆσθαι· καὶ ταῦτα ἐν ἀρχαῖς τῆς ἀπολογίας, πρὶν ἑτέροις τισὶν ἀπομειλίξασθαι λόγοις τὰς ὀργὰς τῶν εἰκότως ἐπὶ ταῖς συμφοραῖς ἀχθομένων, τετιμημένης μὲν ὑπὸ Λακεδαιμονίων τῆς κρατίστης γῆς, πολλοῦ δὲ κατὰ τὸν λοιμὸν ἀπολωλότος ὄχλου, τὴν δ' αἰτίαν τῶν κακῶν τούτων τοῦ πολέμου παρεσχηκότος, ὃν ὑπ' ἐκείνου πεισθέντες ἀνεδέξαντο. σχῆμά τ' οὐ τοῦτο τῇ διανοίᾳ πρεπωδέστατον ἦν τὸ ἐπιτιμητικὸν, ἀλλὰ τὸ παραιτητικόν. οὐ γὰρ ἐρεθίζειν προσῆκε τὰς τῶν ὄχλων ὀργὰς τοὺς δημηγοροῦντας, ἀλλὰ πραΰνειν. τούτοις ἐπιτίθησι διάνοιαν, ἀληθῆ μὲν καὶ δεινῶς ἀπηγγελμένην, οὐ μέντοι γε τῷ παρόντι

Digitized by Google

καιρῷ χρησίμην· „Ἐγὼ γὰρ ἡγοῦμαι, φησὶ, πό-
„λιν πλείω ξύμπασαν ὀρθουμένην ὠφελεῖν τοὺς ἰδιώ-
„τας, ἢ καθ' ἕκαστον τῶν πολιτῶν εὐπραγοῦσαν,
„ἄθρόαν δὲ σφαλλομένην. καλῶς μὲν γὰρ φερόμενος
„ἀνὴρ τὸ καθ' ἑαυτὸν, διαφθειρομένης τῆς πατρί-
„δος, οὐδὲν ἧσσον ξυναπόλλυται· κακοτυχῶν δὲ ἐν
„εὐτυχούσῃ, πολλῷ μᾶλλον διασώζεται." εἰ μὲν γὰρ
ἰδίᾳ τινὲς ἐβλάπτοντο τῶν πολιτῶν, εὐτύχει δὲ τὸ
κοινὸν, καλῶς ταῦτ' ἔλεγεν· ἐπεὶ δ' ἐν ταῖς ἐσχά-
ταις συμφοραῖς ἦσαν ἅπαντες, οὐκέτι καλῶς. οὐδὲ
γὰρ ἡ περὶ τοῦ μέλλοντος ἐλπὶς, ὅτι ταῦτα πρὸς
ἀγαθοῦ τῇ πόλει γενήσεται τὰ δεινὰ, βέβαιον εἶ-
χέν τι· ἄφανὲς γὰρ ἀνθρώπῳ τὸ μέλλον· καὶ πρὸς
τὰ παρόντα τὰς περὶ τῶν ἐσομένων γνώμας αἱ τύ-
χαι τρέπουσι.

45. Τούτοις ἐπιτίθησιν ἔτι φορτικωτέραν διά-
νοιαν, καὶ ἥκιστα τῷ παρόντι καιρῷ πρέπουσαν·
„Καίτοι ἐμοὶ τοιούτῳ ἀνδρὶ ὀργίζεσθε· ὃς οὐδενὸς
„οἶμαι ἧσσων εἶναι γνῶναί τε τὰ δέοντα, καὶ ἑρ-
„μηνεῦσαι ταῦτα· φιλόπολίς τε, καὶ χρημάτων
„κρείσσων." θαυμαστὸν γὰρ, εἰ Περικλῆς, ὁ μέ-
γεθος τῶν τότε ῥητόρων, ἠγνόει τοῦτο, ὃ μηδεὶς
ἂν τῶν ἐχόντων μέτριον νοῦν ἠγνόησεν, ὅτι πα-
ταχῇ μὲν οἱ μὴ τεταμιευμένως ἐπαινοῦντες τὰς ἑαυ-
τῶν ἀρετὰς, ἐπαχθεῖς τοῖς ἀκούουσι φαίνονται·
μάλιστα δ' ἐν τοῖς πρὸς τὰ δικαστήρια καὶ τὰς ἐκ-
κλησίας ἀγῶσιν· ἐν οἷς γε δὴ μὴ περὶ τιμῶν αὐτοῖς
ἐστιν, ἀλλὰ περὶ τιμωριῶν, ὁ κίνδυνος. τότε γὰρ
οὐκ ἐπαχθεῖς μόνον εἰσὶν ἑτέροις, ἀλλὰ καὶ δυσπε-

Digitized by Google

χείς ἑαυτοῖς, ἐμβαλούμενος τὸν παρὰ τῶν πόλλων φθόγον. ὅταν δὲ τοὺς αὐτοὺς τις ἔχῃ δικασάς τε καὶ κατηγόρους, μυρίων αὐτῷ δεῖ δακρύων τε καὶ οἰκτων εἰς αὐτὸ τοῦτο, πρῶτον τὸ μετ' εὐνοίας ἀκουσθῆναι. ὁ δὲ δημαγωγὸς οὐκ ἀρκεῖται τούτοις ἀλλ' ἐπεξεργάζεταί τε τούτοις, καὶ μεταφράζει τὰ ῥηθέντα· „Ὅ τε γὰρ γνοὺς, φησὶ," καὶ μὴ σαφῶς „διδάξας, ἐν ἴσῳ εἰ καὶ μὴ ἐνεθυμήθη· ὅ τε ἔχων „ἀμφότερα, τῇ δὲ πόλει δύσνους, οὐκ ἂν ὁμοίως τι „οἰκείως φράζοι. προσόντος δὲ καὶ τοῦδε, χρήμασι „δὲ νικωμένου, τὰ ξύμπαντα τούτου ἑνὸς ἂν πωλοῖ„το. " οὐδ' οἶδ', εἴ τις ἂν ὁμολογήσειεν, ὥσπερ ἀληθῆ ταῦτα ἦν, οὕτως καὶ προσήκοντα εἶναι ὑπὸ Περικλέους ἐν Ἀθηναίοις ἠρεθισμένοις πρὸς αὐτὸν λέγεσθαι. ἦν δέ γ' οὐχ ἡ τῶν κρατίστων ἐνθυμημάτων τε καὶ νοημάτων εὕρεσις αὐτὴ καθ' ἑαυτὴν ἀξία σπουδῆς, εἰ μὴ καὶ τοῖς πράγμασιν εἴη προσήκοντα, καὶ τοῖς καιροῖς, καὶ τοῖς ἄλλοις ἅπασιν· ἀλλ', ὅπερ καὶ κατ' ἀρχὰς ἔφην, τὴν ἑαυτοῦ γνώμην ἀποδεικνύμενος ὁ συγγραφεὺς, ἣν εἶχε περὶ τῆς Περικλέους ἀρετῆς, παρὰ τόπον ἔοικεν εἰρηκέναι ταῦτα. ἐχρῆν δέ γ' αὐτὸν μέν, ὅ τι βούλεται, περὶ τοῦ ἀνδρὸς ἀποφαίνεσθαι, τῷ δὲ κινδυνεύοντι τοὺς ταπεινοὺς καὶ παραιτητικοὺς τῆς ὀργῆς ἀποδοῦναι λόγους. τοῦτο γὰρ ἦν πρέπον τῷ μιμεῖσθαι βουλομένῳ συγγραφεῖ τὴν ἀλήθειαν.

46. Ὀχληρὰ δὲ κἀκεῖνα τὰ μειρακιώδη καλλωπίσματα τῆς λέξεως, καὶ τὰ πολύπλοκα τῶν ἐνθυμημάτων ὀνόματα· „Εἶναι δὲ τοῖς ἐχθροῖς ὁμόσε,

Digitized by Google

„[καὶ ἀμύνεσθαι] μὴ φρονήματι μόνον, ἀλλὰ καὶ
„καταφρονήματι. φρόνημα μὲν γὰρ καὶ ὑπὸ ἀμαθί-
„ας εὐτυχοῦς καὶ δειλῷ τινι ἐγγίνεται· καταφρό-
„νησις δὲ, ὃς ἂν καὶ γνώμῃ πιστεύῃ τῶν ἐναντίων
„προέχειν· ὃ ἡμῖν ὑπάρχει. καὶ τὴν τόλμαν ἀπὸ
„τῆς ὁμοίας τύχης ἡ ξύνεσις ἐκ τοῦ ὑπερφρονος
„ὀχυροτέραν παρέχεται· ἐλπίδι τε ἧσσον πιστεύει,
„ἧς ἐν τῷ ἀπόρῳ ἡ ἰσχύς· γνώμῃ δὲ ἀπὸ τῶν ὑπαρ-
„χόντων, ἧς βεβαιοτέρα ἡ πρόνοια." τά τε γὰρ
φρονήματα ψυχρότερά ἐστι, καὶ τῆς Γοργίου προ-
αιρέσεως μᾶλλον οἰκειότερα· ἥ τε τῶν ὀνομάτων
ἐξήγησις ἀμφότερον, σοφιστικὴ καὶ ἀπειρόκαλος·
„ἥ τε τόλμα, ἣν ἀπὸ τῆς ὁμοίας τύχης ἡ ξύνεσις ἐκ
„τοῦ ὑπέρφρονος ὀχυροτέραν παρέχεται," τῶν Ἡ-
ρακλητείων σκοτεινῶν ἀσαφεστέραν ἔχει τὴν δήλω-
σιν· „ἥ τε τῆς ἐλπίδος ἐν τῷ ἀπόρῳ ἰσχὺς," καὶ
„ἡ τῆς γνώμης ἀπὸ τῶν ὑπαρχόντων βεβαιοτέρα
„πρόνοια," περιφραστικώτερον περιπέφρασται. βούλε-
ται γὰρ λέγειν, ὅτι δεῖ τῇ γνώμῃ πιστεύειν μᾶλλον,
ἣν ἐκ τῶν παρόντων λαμβάνομεν, ἢ ταῖς ἐλπίσιν,
ὧν ἐν τῷ μέλλειν ἐστὶν ἡ ἰσχύς.

47. Ἤδη δ' ἔγωγε κἀκεῖνο ἐνεθυμήθην, ὅτι
παραμυθούμενος τὴν ὀργὴν τὴν κατειληφυῖαν αὐ-
τοὺς ἐπὶ ταῖς παρούσαις συμφοραῖς, ὧν αἱ πλείους
παράλογοί τε συνέβησαν αὐτοῖς καὶ ἀπροσδόκητοι,
καὶ παρακαλῶν τὰς συμφορὰς γενναίως ὑφίστασθαι,
μὴ ἀφανίζοντας τὴν τῆς πόλεως ἀξίωσιν, ἀπαλγή-
σαντας δὲ τὰ ἴδια, τοῦ κοινοῦ τῆς σωτηρίας ἀντι-
λαμβάνεσθαι· καὶ μετὰ τοῦτο διεξελθὼν, ὅτι τὴν

Digitized by Google

κατὰ θάλατταν ἀρχὴν βεβαίως ἔχοντες, οὔτε ὑπὸ βασιλέως, οὔτε ὑπὸ Λακεδαιμονίων, οὔτε ὑπ' ἄλλου ἀνθρώπων ἔθνους οὐδενὸς καταλυθήσονται· ἂν ἡ πίστις οὐχ ἡ παροῦσα ἦν, ἀλλ' ἡ μέλλουσα· οὐδ' ἐν τῇ προνοίᾳ τὸ βέβαιον ἔχουσα, ἀλλ' ἐν ταῖς ἐλπίσιν· ἔπειτα τούτων ἐπιλαθόμενος, ἀξιοῖ μὴ πιστεύειν τῇ ἐλπίδι, ἧς ἐν τῷ ἀπόρῳ ἡ ἰσχὺς ἐναντία γὰρ ταῦτα ἀλλήλοις· εἴ γε δὴ τὸ μὲν λυποῦν τὴν αἴσθησιν εἶχεν ἤδη παροῦσαν, τῆς δ' ὠφελείας ἡ δήλωσις ἔτι ἀπῆν. ἀλλ' ὥσπερ ταῦτα οὐκ ἐπαινῶ, οὔτε κατὰ τὸ πραγματικὸν μέρος, οὔτε κατὰ τὸ λεκτικόν, οὕτως ἐκεῖνα τεθαύμακα, ὡς νενοημέναι τε ἀκριβῶς, καὶ ἡρμηνευμένα περιττῶς, καὶ συγκείμενα ἡδέως· „Καὶ γὰρ οἷς μὲν αἵρεσις γεγένη„ται τὰ ἄλλα εὐτυχοῦσι, πολλὴ ἄνοια πολεμῆσαι· „εἰ δ' ἀναγκαῖον ἦν, ἢ εἰξαντας εὐθὺς τοῖς πέλας „ὑπακοῦσαι, ἢ κινδυνεύσαντας περιγενέσθαι, ὃ „φυγὼν τὸν κίνδυνον τοῦ ὑποστάντος μεμπτότερος· „καὶ ἐγὼ μὲν ὁ αὐτός εἰμι, καὶ οὐκ ἐξίσταμαι· „ὑμεῖς δὲ μεταβάλλετε· ἐπειδὴ ξυνέβη ὑμῖν πει„σθῆναι μὲν ἀπεραίοις, μεταμέλειν δὲ κακουμένοις." καὶ ἔτι ἐκεῖνα· „Δουλοῖ γὰρ φρόνημα τὸ αἰφνίδιον „καὶ [τὸ] ἀπροσδόκητον, καὶ τὸ πλείστῳ παραλό„γῳ ξυμβαῖνον· ὃ ὑμῖν πρὸς τοῖς ἄλλοις οὐχ ἥκι„στα καὶ κατὰ τὴν νόσον γεγένηται. ὅμως δὲ πόλιν „μεγάλην οἰκοῦντας, καὶ ἐν ἤθεσιν ἀντιπάλοις αὐ„τῇ τεθραμμένους, χρεὼν καὶ τὰς συμφορὰς ἐθέ„λειν ὑφίστασθαι, καὶ τὴν ἀξίωσιν μὴ ἀφανίζειν· „ἐν ἴσῳ γὰρ οἱ ἄνθρωποι δικαιοῦσι τῆς τε ὑπαρ-

Digitized by Google

„χούσης δόξης αἰτιᾶσθαι, ὅστις ἂν μαλακίᾳ ἑλλεί-
„πῃ, καὶ τῆς μὴ προσηκούσης μισεῖν τὸν θρασύ-
„τητι ὀρεγόμενον.“ καὶ ἔτι τὰ διεγείροντα τὰς
ψυχὰς τῶν Ἀθηναίων ἐπὶ τὸ φρόνημα τὸ πάτριον,
ταυτί· „Τῆς τε πόλεως ὑμᾶς εἰκὸς τῷ τιμωμένῳ
„ἀπὸ τοῦ ἄρχειν, ᾧ ὑπὲρ ἅπαντας ἀγάλλεσθε, βοη-
„θεῖν καὶ μὴ φεύγειν τοὺς πόνους, ἢ μηδὲ τὰς τι-
„μὰς διώκειν· μηδὲ νομίσαι περὶ ἑνὸς μόνου δου-
„λείας ἀντ' ἐλευθερίας ἀγωνίζεσθαι· ἀλλὰ καὶ ἀρ-
„χῆς στερήσεως καὶ κινδύνου, ὧν ἐν τῇ ἀρχῇ ἀπη-
„χθεσθε. ἧς οὐδ' ἐκστῆναι ἔτι ὑμῖν ἐστιν, εἴ τις
„καὶ τόδε ἐν τῷ παρόντι δεδιὼς ἀπραγμοσύνῃ ἀν-
„δραγαθίζεται. ὡς τυραννίδα γὰρ ἤδη ἔχετε αὐτήν,
„ἣν λαβεῖν μὲν οὐδεκὸν δοκεῖ εἶναι, ἀφεῖναι δὲ ἐπι-
„κίνδυνον.“ καὶ τὰ τούτοις ὅμοια· ὅσα τάς τ' ἐξαλλαγὰς
τῶν ὀνομάτων καὶ τῶν σχημάτων μετρίας ἔχει, καὶ οὔτε περιέργους, οὔτε δυσπαρακολου-
θήτους.

48. Ἐκ δὲ τῆς Ἑρμοκράτους δημηγορίας ἐπαι-
νεῖν μὲν ἔχω ταῦτα τὰ κατορθώματα τοῦ συγγρα-
φέως· „Ἀλλ' οὐ γὰρ δὴ τὴν [τῶν] Ἀθηναίων εὐκα-
„τηγόρητον οὖσαν πόλιν νῦν ἤκομεν ἀποφανοῦντες
„ἐν εἰδόσιν, ὅσα ἀδικεῖ· πολὺ δὲ μᾶλλον ἡμᾶς αὐ-
„τοὺς αἰτιασόμενοι, ἅτι ἔχοντες παραδείγματα τῶν
„τ' ἐκεῖσ' Ἑλλήνων, ὡς ἐδουλώθησαν οὐκ ἀμύνον-
„τες σφίσιν αὐτοῖς· καὶ νῦν ἐφ' ἡμᾶς ταῦτα παρ-
„όντα σοφίσματα, Λεοντίνων τε ξυγγενῶν κατοι-
„κίσεις, καὶ Αἰγεσταίων ξυμμάχων ἐπικουρίας, οὐ
„ξυστραφέντες βουλόμεθα προθυμότερον δεῖξαι αὐ-

Digitized by Google

„τοῖς, ὅτι οὐκ Ἴωνες ταῦτά εἰσιν, οὐδὲ Ἑλλησπόντιοι „καὶ νησιῶται, οἳ δεσπότην ἢ Μῆδον, ἢ ἕνα γέ τινα ἀεὶ „μεταβάλλοντες δουλοῦνται· ἀλλὰ Δωριεῖς ἐλεύθε„ροι ἀπ' αὐτονόμου τῆς Πελοποννήσου τὴν Σικε„λίαν οἰκοῦντες. ἢ μένομεν, ἕως ἂν ἕκαστοι κατὰ „πόλεις ληφθῶμεν· εἰδότες, ὅτι ταύτῃ μόνον ἁλω„τοί ἐσμεν;" ταῦτα γὰρ ἐν τῷ σαφεῖ καὶ καθαρῷ τῆς διαλέκτου τρόπῳ λεγόμενα προσείληφε καὶ τὸ τάχος, καὶ τὸ κάλλος, καὶ τὸν τόνον, καὶ τὴν μεγαλοπρέπειαν, καὶ τὴν δεινότητα· καὶ πάθους ἐστὶν ἐναγωνίου μεστά· οἷς ἂν καὶ ἐν δικαστηρίῳ χρήσαιτό τις, καὶ ἐν ἐκκλησίαις καὶ φίλοις διαλεγόμενος. καὶ ἔτι πρὸς τούτοις ἐκεῖνα· „Εἴ τέ τις „φθονεῖ μὲν, ἢ καὶ φοβεῖται· ἀμφότερα γὰρ τάδε „πάσχει τὰ μείζω· διὰ δὲ αὐτὰ τὰς Συρακούσας „κακωθῆναι μὲν, ἵνα σωφρονισθῶμεν, βούλεται· „περιγενέσθαι δὲ ἕνεκα τῆς ἑαυτοῦ ἀσφαλείας, οὐκ „ἀνθρωπείας δυνάμεως βουλήσιν ἐλπίζει. οὐ γὰρ „οἷόν τε ἅμα τῆς τε ἐπιθυμίας καὶ τῆς τύχης τὸν „αὐτὸν ὁμοίως ταμίαν γενέσθαι." καὶ τὰ ἐπὶ τελευτῇ κείμενα τοῦ λόγου· „Δεόμεθα οὖν καὶ μάρ„τυρόμεθα [ἅμα,] εἰ μὴ πείσομεν, ὅτι ἐπιβουλευό„μεθα μὲν ὑπὸ Ἰώνων ἀεὶ πολεμίων· προυδιδόμε„θα [δὲ] ὑφ' ὑμῶν Δωριεῖς Δωριέων· καὶ εἰ κα„ταστρέψονται ἡμᾶς Ἀθηναῖοι, ταῖς μὲν ὑμετέραις „γνώμαις κρατήσουσι, τῷ δ' αὐτῶν ὀνόματι τιμη„θήσονται, καὶ τῆς νίκης οὐκ ἄλλον τινὰ ἆθλον, ἢ „τὸν τὴν νίκην παρασχόντα, λήψονται." ταῦτα μὲν δὴ, καὶ τὰ παραπλήσια τούτοις, καλὰ καὶ ζήλου

Digitized by Google

ἄξια ἡγοῦμαι· ἐκεῖνα δ' οὐκ οἶδ' ὅπως ἂν ἐπαινέσαιμι· „Ἥκουσι γὰρ ἐς τὴν Σικελίαν, προφάσει „μέν, ἣ πυνθάνεσθε· διανοίᾳ δὲ, ἣν πάντες ὑπο„νοοῦμεν. καί μοι δοκοῦσιν οὐ Λεοντίνους βούλε„σθαι κατοικίσαι, ἀλλ' ἡμᾶς μᾶλλον ἐξοικίσαι." ψυχρὰ γὰρ ἡ παρονομασία, καὶ οὐ προσβάλλουσα πάθος, ἀλλ' ἐπιτήδευσιν. καὶ ἔτι τὰ πεπλεγμένα καὶ πολλὰς τὰς ἕλικας ἔχοντα σχήματα ταυτί· „Καὶ „οὐ περὶ τῆς ἐλευθερίας ἄρα, οὔτε οἵδε τῶν Ἑλ„λήνων, οὔτε οἱ Ἕλληνες τῆς ἑαυτῶν, τῷ Μήδῳ „ἀντέστησαν· περὶ δὲ τῆς οἱ μὲν σφίσιν, ἀλλὰ μὴ „ἐκείνῳ, καταδουλώσεως· οἱ δ', ἐπὶ δεσπότου με„ταβολῇ, οὐκ ἀξυνετωτέρου, [κακοξυνετωτέρου] δέ." καὶ ἔτι τὸ κατακορὲς τῆς μεταγωγῆς ἔκ τε τοῦ πληθυντικοῦ εἰς τὸ ἑνικὸν, καὶ ἐκ τοῦ περὶ προσώπου λόγου εἰς τὸ τοῦ λέγοντος πρόσωπον· „Καὶ εἴ τῳ „ἄρα παρέστηκε, τὸν μὲν Συρακούσιον, ἑαυτὸν δ' „οὐ πολέμιον εἶναι τῷ Ἀθηναίῳ· καὶ δεινὸν ἡγεῖ„ται ὑπέρ γε τῆς ἐμῆς κινδυνεύειν· ἐνθυμηθήτω „οὐ περὶ τῆς ἐμῆς μᾶλλον, ἐν ἴσῳ δὲ καὶ τῆς ἑαυτοῦ „ἅμα ἐν τῇ ἐμῇ μαχούμενος· τοσούτῳ δὲ καὶ ἀσφα„λέστερον, ὅσον οὐ προδιεφθαρμένου ἐμοῦ, ἔχων „δὲ ξύμμαχον ἐμέ, καὶ οὐκ ἔρημος, ἀγωνιεῖται· „τόν τε Ἀθηναῖον μὴ τὴν τοῦ Συρακουσίου ἔχθραν „κολάσασθαι, τῇ δ' ἐμῇ προφάσει τὴν ἐκείνου δου„λείαν βεβαιώσασθαι βούλεσθαι." ταῦτα γὰρ καὶ μειρακιώδη καὶ περίεργα, καὶ τῶν λεγομένων αἰνιγμάτων ἀσαφέστερα. καὶ ἐκεῖνα ἔτι πρὸς τούτοις· „Καὶ εἰ γνώμῃ ἁμάρτοι, τοῖς αὐτοῦ κακοῖς ὅλο-

Digitized by Google

„φυρθεὶς, τάχ' ἂν ἴσως καὶ τοῖς ἐμοῖς ἀγαθοῖς πο-
„τὲ βουληθείη αὖθις φθονῆσαι· ἀδύνατον δὲ προε-
„μένῳ, καὶ μὴ τοὺς αὐτοὺς κινδύνους οὐ περὶ τῶν
„ὀνομάτων, ἀλλὰ περὶ τῶν ἔργων ἐθελήσαντι προσ-
„λαβεῖν." οἷς ἐπιτίθησιν οὐδὲ μειρακίῳ προσῆκον
ἐπιφώνημα· „Λόγῳ μὲν γὰρ, τὴν ἡμετέραν δύνα-
„μιν σώζοι ἄν τις· ἔργῳ δὲ, τὴν ἑαυτοῦ σωτη-
„ρίαν."

49. Ἔστι δὲ καὶ ἄλλα ἐν τῇ δημηγορίᾳ ταύτῃ μέμψεως ἄξια· περὶ ὧν οὐδὲν δέομαι τὰ πλείω λέγειν· ἱκανῶς δ' οἶμαι καὶ διὰ τούτων φανερὸν πεποιηκέναι τὸ προκείμενον, ὅτι τῆς Θουκυδίδου λέξεως κρατίστη μὲν ἐστὶν ἡ μετρίως ἐκβεβηκυῖα τὰ συνήθη, καὶ τὰς πρώτας καὶ ἀναγκαίας ἀρετὰς φυλάσσουσα· χείρων δὲ, ἡ λαμβάνουσα πολλὴν ἐκτροπὴν ἐκ τῶν κοινῶν ὀνομάτων τε καὶ σχημάτων εἰς τὰ ξένα καὶ βεβιασμένα καὶ ἀνακολούθητα· δι' ἣν οὐδὲ τῶν ἄλλων ἀρετῶν οὐδεμία τὴν ἑαυτῆς ἐπιδείκνυται δύναμιν. οὔτε γὰρ ἐν ταῖς ἐκκλησίαις χρήσιμόν ἐστι τοῦτο τὸ γένος τῆς φράσεως, ἐν αἷς ὑπὲρ εἰρήνης καὶ πολέμου καὶ νόμων εἰσφορᾶς καὶ πολιτειῶν κόσμου, καὶ τῶν ἄλλων τῶν κοινῶν καὶ μεγάλων αἱ πόλεις βουλευσόμεναι συνέρχονται, οὔθ' ἐν τοῖς δικαστηρίοις, ἔνθα περὶ θανάτου, καὶ φυγῆς, καὶ ἀτιμίας, καὶ δεσμῶν, καὶ χρημάτων ἀφαιρέσεως, οἱ λόγοι πρὸς τοὺς ἀνειληφότας τὴν ὑπὲρ τούτων ἐξουσίαν λέγονται, αἳ λυποῦσι τὸν πολιτικὸν ὄχλον, οὐκ ὄντα τῶν τοιούτων ἀκουσμάτων ἐν ἔθει· οὐδ' ἐν ταῖς ἰδιωτικαῖς ὁμιλίαις, ἐν αἷς περὶ

Digitized by Google

τῶν βιωτικῶν διαλεγόμεθα πολίταις, ἢ φίλοις, ἢ συγγενέσιν, διηγούμενοί τι τῶν συμβεβηκότων ἑαυτοῖς, ἢ συμβουλευόμενοι περί τινος τῶν ἀναγκαίων, ἢ νουθετοῦντες, ἢ παρακαλοῦντες, ἢ συνηδόμενοι τοῖς ἀγαθοῖς, ἢ συναλγοῦντες τοῖς κακοῖς· ἐῶ γὰρ λέγειν, ὅτι τῶν οὕτως διαλεγομένων οὐδὲ αἱ μητέρες ἂν καὶ οἱ πατέρες ἀνάσχοιντο διὰ τὴν ἀηδίαν· ἀλλ' ὥσπερ ἄλλου ἔθνους γλώσσης ἀκούοντες, τῶν ἑρμηνευσόντων ἂν δεήσεῖαν. ταῦτά ἐστιν, ἃ περὶ τοῦ συγγραφέως ἐπείσθην, μετὰ πάσης ἀληθείας εἰρημένα, κατὰ τὴν ἐμὴν δύναμιν.

60. Ἀνάγκη δὲ καὶ τὰ λεγόμενα ὑπὲρ αὐτοῦ τισὶν ἐξετάσαι δι' ὀλίγων, ἵνα μηδὲν παρεικῇ δοκῶ. ὅτι μὲν οὖν οὔτ' εἰς τοὺς πολιτικοὺς ἀγῶνας ἐπιτήδειός ἐστιν, οὔτ' εἰς τὰς ὁμιλίας τὰς βιωτικάς, οὗτος ὁ χαρακτὴρ, ἅπαντες ὁμολογήσουσιν οἱ μὴ διαφθαρμένοι τὴν διάνοιαν, ἀλλ' ἐν τῷ κατὰ φύσιν τὰς αἰσθήσεις ἔχοντες. ἐπιχειροῦσι δέ τινες οὐκ ἄδοξοι σοφισταὶ λέγειν, ὅτι τοῖς μὲν πρὸς τὰς ὀχλικὰς ἐντεύξεις παρεσκευασμένοις καὶ τὰ δίκαια λέγουσιν, οὐκ ἔστιν ἐπιτήδειος οὗτος ὁ χαρακτήρ· τοῖς δὲ τὰς ἱστορικὰς πραγματείας ἐκφέρουσιν, αἷς μεγαλοπρεπείας τε δεῖ καὶ σεμνολογίας, καὶ καταπλήξεως, παντὸς μάλιστα προσήκει ταύτην ἀσκεῖν τὴν φράσιν τὴν γλωττηματικήν τε καὶ ἀπηρχαιωμένην, καὶ τροπικήν, καὶ ἐξηλλαγμένην τῶν ἐν ἔθει σχημάτων ἐπὶ τὸ ξένον καὶ περιττόν. οὐ γὰρ ἀγοραίοις ἀνθρώποις, οὐδ' ἐπιδημίοις, ἢ χειροτέχναις, οὐδὲ τοῖς ἄλλοις, οἳ μὴ μετέσχον ἀγωγῆς ἐλευθε-

Digitized by Google

ρίου, ταύτας κατασκευάζεσθαι τὰς γραφάς· ἀλλ' ἀνδράσι διὰ τῶν ἐγκυκλίων μαθημάτων ἐπὶ ῥητορικήν τε καὶ φιλοσοφίαν ἐληλυθόσιν, οἷς οὐδὲν φανήσεται τούτων ξένον. ἤδη δέ τινες ἐπεχείρησαν λέγειν, ὡς οὐ τῶν μεθ' ἑαυτὸν ἐσομένων στοχαζόμενος ὁ συγγραφεὺς, οὕτως ἔγραψε τὰς ἱστορίας, ἀλλὰ τῶν καθ' ἑαυτὸν ὄντων, οἷς ἦν ἡ διάλεκτος χρήσιμος αὕτη ὁ χαρακτήρ· οὔτε εἰς τοὺς συμβουλευτικοὺς, οὔτ' εἰς τοὺς δικανικοὺς ἀγῶνας, ἐν οἷς οἵ τ' ἐκκλησιάζοντες, καὶ οἱ δικάζοντες, οὐχ οἷοὺς ὁ Θουκυδίδης ὑπέθετο, συνέρχονται.

51. Πρὸς μὲν οὖν τοὺς οἰομένους μόνων εἶναι τῶν εὐπαιδεύτων, ἀναγνῶναί τε καὶ συνεῖναι τὴν Θουκυδίδου διάλεκτον, ταῦτα λέγειν ἔχω, ὅτι τὸ τοῦ πράγματος ἀναγκαῖόν τε καὶ χρήσιμον ἅπασιν· οὐδὲν γὰρ ἀναγκαιότερον γένοιτο, οὐδὲ πολυωφελέστερον· ἀναιροῦσιν ἐκ τοῦ κοινοῦ βίου, ὀλίγων παντάπασιν ἀνθρώπων τοῦτο ποιοῦντες, ὥσπερ ἐν ταῖς ὀλιγαρχουμέναις, ἢ τυραννουμέναις πόλεσιν. εὐαρίθμητοι γάρ τινες εἰσὶν οἳ πάντα τὰ Θουκυδίδου συμβαλεῖν δυνάμενοι, καὶ οὐδ' οὗτοι χωρὶς ἐξηγήσεως γραμματικῆς ἔνια. πρὸς δὲ τοὺς ἐπὶ τὸν ἀρχαῖον βίον ἀναφέροντας τὴν Θουκυδίδου διάλεκτον, ὡς δὴ τότε ἀνθρώποις οὕτω συνήθη, βραχὺς ἀπέχρη μοι λόγος καὶ σαφής, ὅτι, πολλῶν γενομένων Ἀθήνησι κατὰ τὸν Πελοποννησιακὸν πόλεμον ῥητόρων τε καὶ φιλοσόφων, οὐδεὶς αὐτῶν κέχρηται ταύτῃ τῇ διαλέκτῳ, οὐδ' οἱ περὶ Ἀνδοκίδην καὶ Ἀντιφῶντα καὶ Λυσίαν ῥήτορες, οὐθ' οἱ περὶ Κρ-

Digitized by Google

τίαν καὶ Ἀντισθένη καὶ Ξενοφῶντα, Σωκρατικοί. ἐκ δὴ τούτων ἁπάντων δῆλός ἐστιν ἀνὴρ πρῶτος ἐπιτετηδευκὼς ταύτην τὴν ἑρμηνείαν, ἵνα διαλλάξῃ τοὺς ἄλλους συγγραφεῖς. ὅταν μὲν οὖν τεταμιευμένως αὐτῇ χρήσηται καὶ μετρίως, θαυμαστός ἐστι, καὶ οὐδὲ συγκριτικὸς οὐδ' ἑτέρῳ· ὅταν δὲ κατακόρως καὶ ἀπειροκάλως, μήτε τοὺς καιροὺς διορίζων, μήτε τὴν ποσότητα ὁρῶν, μεμπτός. ἐγὼ δ' οὔτ' ἀνχμηρὰν καὶ ἀκόσμητον καὶ ἰδιωτικὴν τὴν ἱστορικὴν εἶναι πραγματείαν ἀξιώσαιμ' ἄν, ἀλλ' ἔχουσάν τι καὶ ποιητικόν· οὔτε παντάπασι ποιητικήν, ἀλλ' ἐπ' ὀλίγον ἐκβεβηκυῖαν τῆς ἐν ἔθει. ἀνιαρὸν γὰρ ὁ κόρος, καὶ τῶν πάνυ ἡδῶν· ἡ δὲ συμμετρία, πανταχῇ χρήσιμον.

52. Εἷς ἔτι μοι καταλείπεται λόγος περὶ τῶν μιμησομένων τὸν ἄνδρα, ῥητόρων τε καὶ συγγραφέων, ὥσπερ τις καὶ ἄλλος, εἰς τὴν συντέλειαν τῆς ὑποθέσεως, ὄκνον δέ τινα καὶ πολλὴν εὐλάβειαν ἡμῖν παρέχων, μή τινα παράσχωμεν ἀφορμὴν διαβολῆς τοῖς πάντα συκοφαντεῖν εἰωθόσιν, ἀλλοτρίαν τῆς ἐπιεικείας, ᾗ κεχρήμεθα καὶ περὶ τοὺς λόγους καὶ περὶ τὰ ἤθη· οἷς τάχα βάσκανόν τι καὶ κακόηθες πρᾶγμα δόξομεν, εἰ τοὺς μὴ καλῶς τῇ μιμήσει χρησαμένους παράγομεν καὶ παρεχόμεθα τὰς γραφὰς αὐτῶν, ἐφ' αἷς μέγιστον ἐφρόνουν ἐκεῖνοι, καὶ δι' ἃς πλούτους τε μεγάλους ἐκτήσαντο, καὶ δόξης λαμπρᾶς κατηξιώθησαν. ἵνα δὲ μηδὲ μία ὑποψία καθ' ἡμῶν τοιαύτη γένηται, τὸ μὲν ἐπιτιμᾶν τισι καὶ μεμνῆσθαι τῶν ἡμαρτημένων αὐτοῖς, ἐάσομεν·

Digitized by Google

περὶ δὲ τῶν κατορθωσάντων ἐν τῇ μιμήσει, μικρὰ προσθέντες ἔτι, καταπαύσομεν αὐτοῦ τὸν λόγον. συγγραφέων μὲν οὖν ἀρχαίων, ὅσα καὶ μὲ εἰδέναι, Θουκυδίδου μιμητὴς οὐδεὶς ἐγένετο, κατὰ ταῦτά γε, καθ' ἃ δοκεῖ μάλιστα τῶν ἄλλων διαφέρειν, κατὰ τὴν γλωσσηματικὴν, καὶ ἀπηρχαιωμένην, καὶ ποιητικὴν, καὶ ξένην λέξιν, καὶ κατὰ τὰς ὑπερβατοὺς καὶ πολυπλόκους, καὶ ἐξ ἀποκοπῆς πολλὰ σημαίνειν πράγματα βουλομένας, καὶ διὰ μακροῦ τὰς ἀποδόσεις λαμβανούσας νοήσεις· καὶ ἔτι πρὸς τούτοις κατὰ τοὺς σκαιοὺς καὶ πεπλανημένους ἐκ τῆς κατὰ φύσιν συζυγίας, καὶ οὐδ' ἐν ἁπάσῃ ποιητικῇ χώραν ἔχοντας σχηματισμοὺς, ἐξ ὧν ἡ πάντα λυμαινομένη τὰ καλὰ, καὶ σκότον παρέχουσα ταῖς ἀρεταῖς ἀσάφεια παρῆλθεν εἰς τοὺς λόγους.

53. Ῥητόρων δὲ Δημοσθένης μόνος, ὥσπερ τῶν ἄλλων ὅσοι μέγα τι καὶ λαμπρὸν ἔδοξαν ποιεῖν ἐν λόγοις, οὕτω καὶ Θουκυδίδου ζηλωτὴς ἐγένετο κατὰ πολλὰ, καὶ προσέθηκε τοῖς πολιτικοῖς λόγοις παρ' ἐκείνου λαβὼν, ἃς οὔτ' Ἀντιφῶν, οὔτε Λυσίας, οὔτ' Ἰσοκράτης, οἱ πρωτεύσαντες τῶν τότε ῥητόρων, ἔσχον ἀρετὰς, τὰ τάχη λέγω καὶ τὰς συστροφὰς, καὶ τοὺς τόνους, καὶ τὸ πικρὸν, καὶ τὸ στρυφνὸν, καὶ τὴν ἐξεγείρουσαν τὰ πάθη δεινότητα. τὸ δὲ κατεγλωσσον τῆς λέξεως, καὶ ξένον, καὶ ποιητικὸν, οὐχ ἡγησάμενος ἐπιτήδεια τοῖς ἀληθινοῖς ἀγῶσι, παρέλιπε. καὶ οὐδὲ τῶν σχημάτων τὸ πεπλανημένον ἐκ τῆς κατὰ φύσιν ἀκολουθίας, καὶ τὸ σολοικοφανὲς, ἠγάπησεν· ἀλλ' ἐν τοῖς συνήθεσιν ἔμει-

Digitized by Google

νε, ταῖς μεταβολαῖς καὶ τῇ ποικιλίᾳ, καὶ τῷ μηδὲν ἁπλῶς ἀσχημάτιστον ἐκφέρειν νόημα, κοσμῶν τὴν φράσιν· τὰς δὲ πολυπλόκους νοήσεις, καὶ πολλὰ δηλούσας ἐν ὀλίγοις, καὶ διὰ μακροῦ κομιζομένας τὴν ἀκολουθίαν, καὶ ἐκ παραδόξου τὰ ἐνθυμήματα φερούσας. ἐζήλωσέ τε καὶ προσέθηκε τοῖς τε δημηγορικοῖς καὶ τοῖς δικανικοῖς λόγοις, ἧττον μὲν ἐπὶ τῶν ἰδιωτικῶν, δαψιλέστερον δ' ἐπὶ τῶν δημοσίων ἀγώνων.

54. Θήσω δ' ἐξ ἀμφοτέρων παραδείγματα, πολλῶν ὄντων ὀλίγα, καὶ τοῖς ἀναγνωσόμενοι τὸν ἄνδρα ἀρκοῦντα. ἔλαχε δή τις αὐτῷ δημηγορία, τὴν μὲν ὑπόθεσιν ἔχουσα περὶ τοῦ πρὸς βασιλέα πολέμου, παρακαλοῦσα δὲ τοὺς Ἀθηναίους μὴ προχείρως αὐτὸν ἄρασθαι, ὡς οὔτε τῆς οἰκείας αὐτῶν δυνάμεως ἐξισομάχου πρὸς τὴν τοῦ βασιλέως ὑπαρχούσης, οὔτε τῆς συμμαχικῆς πιστῶς καὶ βεβαίως τῶν κινδύνων ἀντιληψομένης. παρακαλεῖ τε αὐτοὺς, παρασκευασαμένους τὴν ἑαυτῶν δύναμιν, φανεροὺς εἶναι τοῖς Ἕλλησιν, ὅτι τὸν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας κίνδυνον ὑπομενοῦσιν, ἐάν τις ἐπ' αὐτοὺς ἴῃ· πρὸ δὲ τοῦ παρεσκευάσθαι, πρέσβεις οὐκ ἐᾷ πρὸς τοὺς Ἕλληνας ἀποστέλλειν, τοὺς καλέσοντας αὐτοὺς ἐπὶ τὸν πόλεμον, ὡς οὐχ ὑπακουσομένους. τοῦτο λαβὼν τὸ νόημα, κατεσκεύακέ τε καὶ ἐσχημάτικεν οὕτως· „Οὐδεὶς δήπου τῶν ἁπάντων Ἑλλήνων τηλικοῦτον „ἐφ' ἑαυτῷ φρονήσει, ὅστις ὁρῶν ὑμῖν χιλίους μὲν „ἱππέας, ὁπλίτας δέ, ὅσους ἂν ἐθέλῃ τις, ναῦς δὲ „τριακοσίας, οὐκ ἤξει καὶ δεήσεται, μετὰ τούτων

Digitized by Google

„ἀσφαλέστατ' ἂν ἡγούμενος σωθῆναι· οὐκοῦν, ἐπ
„μὲν τοῦ καλεῖν ἤδη, τὸ δεῖσθαι, κἂν μὴ τύχητε,
„ἁμαρτεῖν· ἐκ δὲ τοῦ μετὰ τοῦ παρασκευάσασθαι
„τὰ ὑμέτερα αὐτῶν, ἐπισχεῖν, δεομένους σώζειν, καὶ
„εὖ εἰδέναι πάντας ἡξοντάς ἐστι." Ταῦτα ἐξήλ-
λακται μὲν ἐκ τῆς πολλῆς καὶ συνήθους τοῖς πολ-
λοῖς ἀπαγγελίας, καὶ κριττονά ἐστιν, ἢ κατὰ τὸν
ἰδιώτην· οὐ μὲν ἐσκότισταί γε, οὐδ' ἀσαφὴ γέγο-
νεν, ὥστε ἐξηγήσεως δεῖσθαι. ἀρξάμενός τ' ἀπὸ τῆς
παρασκευῆς λέγειν, ταῦτα ἐπιτίθησιν· „Ἔστι τοί-
„νυν πρῶτον μὲν τῆς παρασκευῆς, ὦ ἄνδρες Ἀθη-
„ναῖοι, καὶ μέγιστον, οὕτω διακεῖσθαι τὰς γνώμας
„ὑμᾶς, ὡς ἕκαστον ἑκόντα προθύμως, ὅ τι ἂν δέῃ,
„ποιήσοντα. ὁρᾶτε γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι,
„ὅσα μὲν πώποθ' ἅπαντες [ὑμεῖς] ἐβουλήθητε, καὶ
„μετὰ ταῦτα τὸ πράττειν αὐτὸς ἕκαστος ἑαυτῷ
„προσήκειν ἡγήσατο, οὐδὲν πώποθ' ὑμᾶς ἐξέφυγεν·
„ὅσα δὲ ἐβουλήθητε μὲν, μετὰ ταῦτα δὲ ἀπεβλέψα-
„τε εἰς ἀλλήλους, ὡς αὐτὸς μὲν ἕκαστος οὐ ποιήσων,
„τὸν δὲ πλησίον [τὰ δέοντα] πράξοντα, οὐδὲν πώ-
„ποθ' ὑμῖν ἐγένετο." καὶ γὰρ ἐνταῦθα πέπλεκται
μὲν ἡ διάνοια πολυπλόκως, λέλεκται δ' ἐκ τῆς κοι-
νότητος εἰς τὴν ἀσυνήθη φράσιν ἐκβεβηκυῖα· φυ-
λάττεται δὲ τὸ περιττὸν αὐτῶν ἐν τῷ σαφεῖ. ἐν δὲ
τῇ μεγίστῃ τῶν κατὰ Φιλίππου δημηγοριῶν καὶ τὴν
ἀρχὴν εὐθὺς οὕτως κατεσκεύακε· „Πολλῶν, ὦ ἄν-
„δρες Ἀθηναῖοι, λόγων γιγνομένων, ὀλίγου δεῖν
„καθ' ἑκάστην ἐκκλησίαν, περὶ ὧν Φίλιππος, ἀφ' οὗ
„τὴν εἰρήνην ἐποιήσατο, οὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ

Digitized by Google

„τοὺς ἄλλους [Ἕλληνας] ἀδικεῖ· καὶ πάντων εὖ οἶδ'
„ὅτι φησάντων γ' ἄν, εἰ καὶ μὴ ποιοῦσι τοῦτο, καὶ
„λέγειν [δεῖν] καὶ πράττειν ἅπασι προσήκειν, ὅπως
„ἐκεῖνος παύσεται τῆς ὕβρεως καὶ δίκην δώσει, εἰς
„τοῦτο ὑπηγμένα πάντα τὰ πράγματα καὶ προειμέ-
„να ὁρῶ, ὥστε δέδοικα μὴ βλάσφημον μὲν εἰπεῖν,
„ἀληθὲς δ' ᾖ, εἰ καὶ λέγειν ἅπαντες ἐβούλονθ' οἱ
„παριόντες, καὶ χειροτονῶν ὑμεῖς, ἐξ ὧν ὡς φαυλό-
„τατα ἔμελλε τὰ πράγματ' ἕξειν, οὐκ ἂν ἡγοῦμαι
„δύνασθαι χεῖρον, ἢ νῦν, διατεθῆναι." ὅμοια δὲ
τούτοις ἔστι κἀκεῖνα· „Εἶτ' οἴεσθε, οἳ μὲν οὐδὲν
„ἂν αὐτὸν ἐδυνήθησαν ποιῆσαι κακόν, μὴ παθεῖν
„δ' ἐφυλάξαντ' ἂν ἴσως, τούτους μὲν ἐξαπατᾶν
„αἱρεῖσθαι μᾶλλον, ἢ προλέγοντα βιάζεσθαι· ὑμῖν
„δὲ ἐκ προρρήσεως πολεμήσειν; καὶ ταῦθ' ἕως ἂν
„ἐκόντες ἐξαπατᾶσθε." ἐν δὲ τῷ κρατίστῳ τῶν
δικανικῶν τῷ περὶ τοῦ στεφάνου γραφέντι λόγῳ,
τῆς Φιλίππου δεινότητος, ἣ κατεστρατήγει τὰς πό-
λεις, μνησθεὶς, οὕτω τὴν διάνοιαν ἐσχημάτικε·
„Καὶ οὐκέτι προστίθημι, ὅτι τῆς μὲν ὠμότητος, ἣν
„ἐν οἷς καθάπαξ τινῶν κατέστη κύριος ὁ Φίλιππος,
„ἔστιν ἰδεῖν, ἑτέροις πειραθῆναι συνέβη, τῆς δὲ
„φιλανθρωπίας, ἣν τὰ λοιπὰ τῶν πραγμάτων ἐκεῖ-
„νος περιβαλόμενος πρὸς ὑμᾶς ἐπλάττετο, ὑμεῖς
„καλῶς ποιοῦντες τοὺς καρποὺς ἐκομίσασθε." καὶ
ἐν οἷς τοὺς προδιδόντας τῷ Φιλίππῳ τὰ πράγματα
πάντων αἰτίους ἀποφαίνει τῶν συμβεβηκότων τοῖς
Ἕλλησι κακῶν, κατὰ λέξιν οὕτως γράφων· „Καί-
„τοι, νὴ τὸν Ἡρακλέα καὶ πάντας τοὺς θεούς, εἴ γ'

Digitized by Google

„ἐπ' ἀληθείας δέοι σκοπεῖσθαι τὸ καταψεύδεσθαι „καὶ δι' ἔχθραν τι λέγειν ἀνέλόντας ἐκ μέσου, τίνες „ὡς ἀληθῶς ἦσαν, οἷς ἂν εἰκότως καὶ δικαίως τὴν „τῶν γεγενημένων αἰτίαν ἐπὶ τὴν κεφαλὴν ἀναθεῖεν „ἅπαντες, τοὺς ὁμοίους τούτῳ παρ' ἑκάστῃ τῶν πό„λεων εὕροιτ' ἄν, οὐχὶ τοὺς ἐμοί· οἳ, ὅτ' ἦν ἀσθενῆ „τὰ Φιλίππου πράγματα καὶ κομιδῇ μικρά, πολλά„κις προλέγόντων ἡμῶν καὶ παρακαλούντων καὶ δι„δασκόντων τὰ βέλτιστα, τῆς ἰδίας ἕνεκ' αἰσχροκέρ„δείας τὰ κοινῇ συμφέροντα προΐεντο, τοὺς ὑπάρ„χοντας ἕκαστοι πολίτας ἐξαπατῶντες καὶ διαφθεί„ροντες, ἕως δούλους ἐποίησαν."

55. Μυρία παραδείγματα φέρειν δυναίμην ἂν ἐκ τῶν τοῦ Δημοσθένους λόγων, τῶν τε δημηγορικῶν καὶ τῶν δικανικῶν, ἃ παρὰ τὸν Θουκυδίδου κατεσκεύασται χαρακτῆρα, τὸν ἐν τῇ κοινῇ καὶ συνήθει διαλέκτῳ τὴν ἐξαλλαγὴν ἔχοντα. ἀλλ', ἵνα μὴ μακρότερος τοῦ δέοντος ὁ λόγος γένοιτό μοι, τούτοις ἀρκεσθεὶς ἱκανοῖς οὖσι βεβαιῶσαι τὸ προκείμενον, οὐκ ἂν ὀκνήσαιμι τοῖς ἀσκοῦσι τοὺς πολιτικοὺς λόγους ὑποτίθεσθαι, τοῖς γε δὴ τὰς κρίσεις ἀδιαστρόφους ἔτι φυλάσσουσι, Δημοσθένει συμβούλῳ χρησαμένους, ὃν ἁπάντων ῥητόρων κράτιστον γεγενῆσθαι πειθόμεθα, ταύτας μιμεῖσθαι τὰς κατασκευάς, ἐν αἷς ἥ τε βραχύτης, καὶ ἡ δεινότης, καὶ ἡ ἰσχὺς, καὶ ὁ τόνος, καὶ ἡ μεγαλοπρέπεια, καὶ αἱ συγγενεῖς ταύταις ἀρεταὶ, πᾶσιν ἀνθρώποις εἰσὶ φανεραί· τὰς δ' αἰνιγματώδεις καὶ δυσκαταμαθήτους, καὶ γραμματικῶν ἐξηγήσεων δεομένας, καὶ

Digitized by Google

πολὺ τὸ βεβασανισμένον, καὶ τὸ σολοικοφανὲς ἐν τοῖς σχήματισμοῖς ἐχούσας, μήτε θαυμάζειν, μήτε μιμεῖσθαι. ἵνα δὲ συνελὼν εἴπω, ἀμφότερα μὲν ἐπ' ἴσης ζηλωτὰ εἶναι, τά τε μὴ σαφῶς εἰρημένα ὑπὸ τοῦ συγγραφέως, καὶ τὰ προσειλημμένα σὺν ταῖς ἄλλαις ἀρεταῖς τὴν σαφήνειαν, οὐκ ἔχει λόγον. ἀνάγκη δὲ ὁμολογεῖν, κρείττονα τῶν ἀτελεστέρων εἶναι τὰ τελειότερα, καὶ τῶν ἀφανεστέρων τὰ γ' ἐμφανέστερα. τί οὖν μαθόντες ἅπασαν τὴν διάλεκτον τοῦ συγγραφέως ἐπαινοῦμεν, καὶ βιαζόμεθα λέγειν, ὅτι τοῖς καθ' ἑαυτὸν οὖσιν ἀνθρώποις αὐτὰ ὁ Θουκυδίδης ἔγραψε, συνήθη πᾶσι καὶ γνώριμα ὄντα, ἡμῶν δὲ λόγος αὐτῷ τῶν ὕστερον ἐσομένων οὐκ ἦν; οὐδ' ἐκβάλλομεν ἐκ τῶν δικαστηρίων καὶ τῶν ἐκκλησιῶν ἅπασαν τὴν Θουκυδίδου λέξιν ὡς ἄχρηστον· ἀλλ' ὁμολογοῦμεν, τὸ διηγηματικὸν μέρος αὐτῆς πλὴν ὀλίγων πάνυ θαυμαστῶς ἔχειν, καὶ εἰς πάσας εἶναι τὰς χρείας εὔθετον· τὸ δὲ δημηγορικὸν οὐχ ἅπαν εἰς μίμησιν ἐπιτήδειον εἶναι, ἀλλ' ὅσον ἐστὶν αὐτοῦ μέρος, γνωσθῆναι μὲν ἅπασιν ἀνθρώποις εὔπορον, κατασκευασθῆναι δ' οὐχ ἅπασι δυνατόν. τούτων ἡδίω μὲν εἶχόν σοι περὶ Θουκυδίδου γράφειν, ὦ βέλτιστε Κόϊντε Αἴλιε Τουβέρων, οὐ μὴν ἀληθέστερα.

Digitized by Google

ΔΙΟΝΥΣΙΟΥ
ΤΟΥ
ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ
ΠΕΡΙ ΤΗΣ
ΔΕΚΤΙΚΗΣ ΔΗΜΝΣΘΕΝΟΥΣ
ΔΕΙΝΟΤΗΤΟΣ.

* * * * * * * *

„[ἐστασίαζέ τε οὖν τὰ τῶν πόλε]ων, καὶ τὰ ἐφυστερί-
„ζοντά που, πύστει τῶν προγενομένων, πολὺ ἐπέφερε
„τὴν ὑπερβολὴν ἐς τὸ καινοῦσθαι τὰς διανοίας, τῶν
„τ᾽ ἐπιχειρήσεων περιτεχνήσει, καὶ [τῇ] τῶν πιμωριῶν
„ἀτοπίᾳ. καὶ τὴν εἰωθυῖαν ἀξίωσιν τῶν ὀνομάτων ἐς
„τὰ ἔργα ἀντήλλαξαν τῇ δικαιώσει. τόλμα μὲν ἀλόγι-
„στος, ἀνδρία φιλέταιρος ἐνομίσθη· μέλλησις δὲ
„προμηθὴς, δειλία εὐπρεπής· τὸ δὲ σῶφρον, τοῦ
„ἀνάνδρου πρόσχημα· καὶ τὸ πρὸς ἅπαν ξυνετὸν,
„ἐπίπαν ἀργόν· τὸ δ᾽ ἐμπλήκτως ὀξὺ, ἀνδρὸς μοίρᾳ
„προσετέθη· ἀσφάλεια δὲ τὸ ἐπιβουλεύσασθαι, ἀπο-
„τροπῆς πρόφασις εὔλογος· καὶ ὁ μὲν χαλεπαίνων,
„πιστὸς ἀεί· ὁ δὲ ἀντιλέγων αὐτῷ, ὕποπτος· ἐπι-
„βουλεύσας δέ τις, τυχὼν [τε,] ξυνετός· καὶ ὑπονοή-
„σας, ἔτι δεινότερος· προβουλεύσας δὲ, ὅπως μηδὲν

Digitized by Google

„αὐτῷ δεήσει, τῆς τε ἑταιρίας διαλυτῆς, καὶ τοὺς „ἐναντίους ἐκπεπληγμένος. ἁπλῶς δὲ, ὁ φθάσας τὸν „μέλλοντα κακόν τι δρᾶν, ἐπῃνεῖτο, καὶ ὁ ἐπικελεύ„σας τὸν μὴ διανοούμενον. καὶ μὴν καὶ τὸ ξυγγενὲς „τοῦ ἑταιρικοῦ ἀλλοτριώτερον ἐγένετο, διὰ τὸ ἑτοι„μότερον εἶναι ἀπροφασίστως τολμᾶν. οὐ γὰρ μετὰ „τῶν κειμένων νόμων ὠφελείας αἱ τοιαῦται ξύνοδοι, „ἀλλὰ παρὰ τοὺς καθεστῶτας πλεονεξίᾳ. καὶ τὰς ἐς „σφὰς αὐτοὺς πίστεις οὐ τῷ θείῳ καὶ νομίμῳ μᾶλ„λον ἐκρατύνοντο, ἢ τῷ κοινῇ τι παρανομῆσαι· τά „τε ἀπὸ τῶν ἐναντίων καλῶς λεγόμενα, ἐνεδέχοντο „ἔργων φυλακῇ, εἰ προὔχοιεν, καὶ οὐ γενναιότητι, „ἀντιτιμωρήσασθαί τινα, περὶ πλείονος ἦν, ἢ αὐ„τὸν μὴ προπαθεῖν. καὶ ὅρκοι εἴ που ἄρα γένοιντο „ξυναλλαγῆς ἐν τῷ αὐτίκα πρὸς τὸ ἄπορον [ἑκατέρῳ „διδόμενοι, ἴσχυον, οὐκ ἐχόντων ἄλλοθεν] δύναμιν." ἡ μὲν οὖν ἐξηλλαγμένη καὶ περιττὴ καὶ ἐγκατάσκευος, καὶ τοῖς ἐπιθέτοις κόσμοις ἅπασι συμπεπληρωμένη λέξις, ἧς ὅρος καὶ κανὼν ὁ Θουκυδίδης, ἂν οὐθεὶς οὔθ' ὑπερέβαλετο τῶν ἐπιγενομένων, οὔτ' ἐμιμήσατο, τοιαύτη τις ἦν.

2. Ἡ δὲ ἑτέρα λέξις, ἡ λιτὴ καὶ ἀφελὴς, καὶ δοκοῦσα κατασκευὴν τε καὶ ἰσχὺν τὴν πρὸς ἰδιώτην ἔχειν λόγον καὶ ὁμοιότητα, πολλοὺς μὲν ἔσχε καὶ ἀγαθοὺς ἄνδρας προστάτας, συγγραφεῖς τε καὶ φιλοσόφους καὶ ῥήτορας. καὶ γὰρ οἱ τὰς γενεαλογίας ἐξενέγκαντες, καὶ οἱ τὰς τοπικὰς ἱστορίας πραγματευσάμενοι, καὶ οἱ τὰ φυσικὰ φιλοσοφήσαντες, καὶ οἱ τῶν ἠθικῶν διαλόγων ποιηταὶ, ὧν ἦν τὸ Σωκρα-

Digitized by Google

τινὸν διδασκαλείων πᾶν, ἔξω Πλάτωνος· καὶ οἱ τοὺς δημηγορικοὺς, ἢ δικανικοὺς συντατόμενοι λόγους, ὀλίγου δεῖν πάντες ταύτης ἐγένοντο τῆς προαιρέσεως. ἐτελείωσε δ' αὐτὴν καὶ εἰς ἄκρον ἦγαγε τῆς ἰδίας ἀρετῆς Λυσίας ὁ Κεφάλου, κατὰ τοὺς αὐτοὺς χρόνους Γοργίᾳ τε καὶ Θουκυδίδῃ γενόμενος· τίς δὲ ἦν ἡ προαίρεσις αὐτοῦ, καὶ τίς ἡ δύναμις, ἐν τῇ πρὸ ταύτης δεδήλωται γραφῇ, καὶ οὐδὲν δεῖ νῦν πάλιν ὑπὲρ τῶν αὐτῶν λέγειν· ἀρκέσει δὲ τοσοῦτο μόνον εἰπεῖν, ὅτι τὴν διαπασῶν ἁρμονίαν οὗτοι πρὸς ἀλλήλους οἱ ἄνδρες ἡρμόσαντο, τὰς ἀκρότητας ἀμφοτέρας τῆς λέξεως, αἷ πλεῖστον ἀλλήλων ἀπέχουσι, δαιμονίᾳ σπουδῇ προελόμενοί τε καὶ τελειώσαντες. καὶ ὅπερ ἡ νήτη πρὸς ὑπάτην ἐν μουσικῇ λόγον ἔχει, τοῦτον ἡ Λυσίου λέξις ἐν πολιτικῇ διαλέκτῳ πρὸς τὴν Θουκυδίδου. ἡ μὲν γὰρ καταπλήξασθαι δύναται τὴν διάνοιαν· ἡ δὲ ἡδῦναι· καὶ ἡ μὲν συστρέψαι καὶ συντεῖναι τὸν νοῦν· ἡ δὲ ἀνεῖναι καὶ μαλάξαι· καὶ εἰς πάθος ἐκείνη προαγαγεῖν, εἰς δ' ἦθος αὕτη καταστῆσαι. τί δεῖ τἄλλα. καὶ τὸ μὲν βιάσασθαι, καὶ προσαναγκάσαι τι τῆς Θουκυδίδου λέξεως ἴδιον· τὸ δ' ἀπαιτῆσαι, καὶ κλέψαι τὰ πράγματα, τῆς Λυσίου. καὶ ἡ μὲν νεωτεροποιΐα καὶ τολμηρὸν, τῆς τοῦ συγγραφέως οἰκεῖον ἰδέας· ἡ δ' ἀσφάλεια καὶ τὸ ἀκίνδυνον, τῆς τοῦ ῥήτορος·

. . . ὅτι οὐκ ἐπιτηδείως φαίνεται . . .

. . . . . .

ἀνεπιτήδευτον εἶναι θέλει. κατεσκεύασται μὲν σὺν ἑκατέρᾳ, καὶ εἰς ἄκρον γε ἦκει τῆς ἰδίας κατα-

Digitized by Google

σκευῆς· ῥέπει δὲ ἡ μὲν ἐπὶ τὸ μᾶλλον, ἣ πέφυκεν, εἶναι δοκεῖν· ἡ δὲ ἐπὶ τὸ ἧττον. παραδειγμάτων δὲ καὶ ταύτης τῆς λέξεως οὐθὲν ἐν τῷ παρόντι οἶμαι δεῖν. δύο μὲν δὴ χαρακτῆρες οὗτοι λέξεως, τοσοῦτον ἀλλήλων διάφοροι κατὰ τὰς ἀγωγάς· καὶ ἄνδρες οἱ πρωτεύσαντες ἐν αὐτοῖς, οὓς διεξῆλθον· δεινοὶ μὲν ἐν τοῖς αὐτῶν ἔργοις ἀμφότεροι· καθ' ἃ δ' ἴσοι ἀλλήλων ἦσαν, ἀτελεῖς.

3. Τρίτη λέξεως ἦν ἡ μικτή τε καὶ σύνθετος ἐκ τούτων τῶν δυεῖν· ἦν δ μὲν πρῶτος ἁρμοσάμενος καὶ καταστήσας εἰς τὸν νῦν ὑπάρχοντα κόσμον, εἴτε Θρασύμαχος ὁ Χαλκηδόνιος ἦν, ὡς οἴεται Θεόφραστος· εἴτε ἄλλος τις, οὐκ ἔχω λέγειν. οἱ δ' ἐκδεξάμενοι καὶ ἀναθρέψαντες, καὶ οὐ πολὺ ἀποσχόντες τοῦ τελειῶσαι, ῥητόρων μὲν, Ἰσοκράτης ὁ Ἀθηναῖος ἐγένετο· φιλοσόφων δὲ, Πλάτων ὁ Σωκρατικός· τούτων γὰρ ἀμήχανον εὑρεῖν τῶν ἀνδρῶν ἑτέρους τινὰς, ἔξω Δημοσθένους, ἢ τἀναγκαῖα καὶ χρήσιμα πρεῖττον ἀσκήσαντας, ἢ τὴν καλλιλογίαν καὶ τὰς ἐπιθέτους κατασκευὰς βέλτιον ἀποδεξαμένους. ἡ μὲν οὖν Θρασυμάχου λέξις ἡ λοιπὴ, τῆς ὄντως μεσότητος αὐτὴν τὴν προαίρεσιν ἔοικεν ἔχειν σπουδῆς ἀξίαν· κέχρηται γὰρ εὖ πως, καὶ αὐτὸ τὸ χρήσιμον εἴληφεν ἑκατέρας δυνάμεως· ὡς δ' οὐκ ἴσῃ βουλήσει κέχρηται, παράδειγμα ἐξ ἑνὸς [θήσω] τῶν δημηγορικῶν λόγων τόδε· „Ἐβουλόμην μὲν, ὦ Ἀθηναῖοι, „μετασχεῖν ἐκείνου τοῦ χρόνου τοῦ παλαιοῦ καὶ „τῶν πραγμάτων, ἡνίκα σιωπᾷν ἀπέχρη τοῖς νεω„τέροις, τῶν τε πραγμάτων οὐκ ἀναγκαζόντων ἀγο-

Digitized by Google

„ρεύειν, καὶ τῶν πρεσβυτέρων ὀρθῶς τὴν πόλιν ἐπι-
„τροπευόντων. καὶ ἐπειδὴ εἰς τοσοῦτον ἡμᾶς ἀνέ-
„θετο χρόνον ὁ δαίμων, ὥστε . . . . τῆς
„πόλεως ἀκούειν· τὰς δὲ συμφορὰς . . αὐτοὺς
„καὶ τούτων τὰ μέγιστα μὴ θεῶν ἔργα εἶναι, μηδὲ
„τῆς τύχης, ἀλλὰ τῶν ἐπιμεληθέντων, ἀνάγκη δὲ λέ-
„γειν· ἢ γὰρ ἀναίσθητος, ἢ καρτερώτατός ἐστιν,
„ὅστις ἐξαμαρτάνειν ἑαυτὸν ἔτι παρέξει τοῖς βου-
„λομένοις, καὶ τῆς ἑτέρων ἐπιβουλῆς τε καὶ κακίας
„αὐτὸς ὑποσχήσει τὰς αἰτίας. ἅλις γὰρ ἡμῖν ὁ παρ-
„ελθὼν χρόνος. καὶ ἀντὶ μὲν εἰρήνης, ἐν πολέμῳ
„γενέσθαι, καὶ διὰ κινδύνων, εἰς τόνδε τὸν χρόνον
„τὴν μὲν παρελθοῦσαν ἡμέραν ἀγαπῶσι, τὴν δ'
„ἐπιοῦσαν δεδιάσιν· ἀντὶ δ' ὁμονοίας, εἰς ἔχθραν
„καὶ ταραχὰς πρὸς ἀλλήλους ἀφικέσθαι. καὶ τοὺς
„μὲν ἄλλους τὸ πλῆθος τῶν ἀγαθῶν ἐσωφρονοῦμεν·
„ἐν δὲ τοῖς κακοῖς ἡμάνη μὲν, ὃς τοὺς ἄλλους σω-
„φρονίζειν εἴωθεν· τί δῆτα μέλλοι τις ἂν γιγνώσκειν
„εἰπεῖν, ὅτῳ γε λυπεῖσθαι ἐπὶ τοῖς παροῦσι καὶ
„νομίζειν εἴωθεν; τί δῆτα ἔχειν τοιοῦτον, ὡς μηδὲν
„ἔτι τοιοῦτον ἔσται; πρῶτον μὲν οὖν τοὺς διαφε-
„ρομένους πρὸς ἀλλήλους καὶ τῶν ῥητόρων καὶ τῶν
„ἄλλων ἀποδείξω γε, προλέγων πεπονθότας πρὸς
„ἀλλήλους, ὅπερ ἀνάγκη τοὺς ἄνευ γνώμης φιλονι-
„κοῦντας πάσχειν· οἰόμενοι γὰρ ἐναντία λέγειν ἀλ-
„λήλοις, οὐκ αἰσθάνονται τὰ αὐτὰ πράττειν πράτ-
„τοντες· οὐδὲ τὸν τῶν ἑτέρων λόγον ἐν τῷ ἑτέρῳ
„λόγῳ ἐνόντα. σκέψασθε γὰρ ἐξ ἀρχῆς, ἃ ζητοῦσιν
„ἑκάτεροι. πρῶτον μὲν, ἡ πάτριος πολιτεία ταραχὴν

Digitized by Google

„αὐτοῖς παρέχει, ῥᾴστη γνωσθῆναι, καὶ κοινοτάτη „τοῖς πολίταις οὖσα πᾶσιν. ὁπόσα μὲν οὖν ἐκείνων „τῆς ἡμετέρας γνώμης ἔστιν ἀκούειν, ἀνάγκη λέγειν „τῶν παλαιοτέρων· ὁπόσα δ' αὐτοὶ ἐπεῖδον οἱ „πρεσβύτεροι, ταῦτα δὲ παρὰ τῶν εἰδότων πυνθά„νεσθαι." τοιαύτη μὲν οὖν τις ἡ Θρασυμάχειος ἑρμηνεία, μέση τοῖν δυεῖν, καὶ εὔκρατος, καὶ εἰς . . τέρους τοὺς χαρακτῆρας ἐπίκαιρον ἀφετήριον.

4. . . . κράτους λέξις, ὃς μέγιστον ὄνομα ἐν τοῖς Ἕλλησιν . . . ἀγῶνα μὲν οὔτε ἴδιον, οὔτε δημόσιον οὐδένα . . . νισαμένου, γραφὰς δὲ συνταξαμένου πολλὰς καὶ καλὰς εἰς ἅπασαν ἰδέαν λόγων, ὄντινα χαρακτῆρα ἔχειν ἐφαίνετό μοι, διὰ πλειόνων μὲν ἐδήλωσα πρότερον· οὐθὲν δὲ κωλύσει καὶ νῦν ἐπὶ κεφαλαίων αὐτὰ τὰ ἀναγκαιότατα εἰπεῖν· ὅτι τῆς μὲν Λυσιακῆς λέξεως τὸ καθαρὸν ἔχει, καὶ τὸ ἀκριβές· οὔτε γὰρ ἀρχαίοις, οὔτε πεποιημένοις, οὔτε γλωττηματικοῖς ὀνόμασιν, ἀλλὰ τοῖς κοινοτάτοις καὶ συνηθεστάτοις κέχρηται· ἠθική τε καὶ πιθανὴ καὶ ἡδεῖά ἐστι, καὶ πέφευγε τὴν τροπικὴν, ὥσπερ ἐκείνη τὴν ἁπλῆν φράσιν· τῆς δὲ Θουκυδίδου καὶ Γοργίου τὴν μεγαλοπρέπειαν καὶ σεμνότητα καὶ καλλιλογίαν ἀνείληφε· καὶ εἰς μὲν τὸ διδάξαι τὸν ἀκροατὴν σαφέστατα, ὅ τι βούλοιτο, τὴν ἁπλῆν καὶ ἀκόσμητον ἑρμηνείαν ἐπιτηδεύει τὴν Λυσίου· εἰς δὲ τὸ καταπλήξασθαι τῷ κάλλει τῶν ὀνομάτων, σεμνότητά τε καὶ μεγαληγορίαν περιθεῖναι τοῖς πράγμασι, τὴν ἐπίθετον καὶ κατεσκευασμένην φράσιν τῶν περὶ Γοργίαν ἐκμέμακεν, ἔμοιγε δο-

Digitized by Google

νει δὲ, ἐν οἷς ὡραΐζεταί ποτε, τοὺς Γοργίου ναρδοὺς σχηματισμοὺς ζηλοῦσα· τὰ γὰρ ἀντίθετά τε καὶ πάρισα, καὶ τὰ παραπλήσια τούτοις, οὔτε μετριάζοντα, οὔτε καιρῷ γινόμενα, καταισχύνει τὴν μεγαλοπρέπειαν αὐτῆς, καὶ ἔτι μᾶλλον ἐν οἷς τὴν εὐέπειαν διώκουσα καὶ τὴν εὐρυθμίαν, δι' εὐλαβείας μὲν λαμβάνει τὸ συγκροῦσαι τὰ φωνήεντα τῶν γραμμάτων, δι' εὐλαβείας δὲ πσιεῖται τὸ χρήσασθαί τινι τῶν τραχυνόντων· διώκει δ' ἐκ παντὸς τρόπου τὴν περίοδον, οὐδὲ ταύτην στρογγύλην καὶ πυκνήν, ἀλλ' ὑπαγωγικήν τινα καὶ πλατεῖαν, καὶ πολλοὺς ἀγκῶνας, ὥσπερ εἰ μὴ κατ' εὐθείας ῥέοντες ποταμοὶ ποιοῦσιν, ἐγκαλλωπιζομένην. ταῦτα μέντοι πολλαχῇ μακροτέραν τε αὐτὴν ποιεῖ καὶ ἀληθεστέραν, ἀπαθῆ τε . . . . καὶ πανηγυρικὴν μᾶλλον, ἢ ἐπαγώνιον. τοῖς δὲ παραδείγμασιν ὀλίγον ὕστερον, ὅταν ὁ καιρὸς ἀπαιτῇ, χρήσομαι.

5. Ἡ δὲ δὴ Πλατωνικὴ διάλεκτος βούλεται μὲν εἶναι καὶ αὐτὴ μίγμα ἑκατέρων τῶν χαρακτήρων, τοῦ τε ὑψηλοῦ καὶ ἰσχνοῦ, καθάπερ εἴρηταί μοι πρότερον· πέφυκε δ' οὐχ ὁμοίως πρὸς ἀμφοτέρους τοὺς χαρακτῆρας εὐτυχής. ὅταν μὲν οὖν τὴν ἰσχνὴν καὶ ἀφελῆ καὶ ἀπέριττον ἐπιτηδεύῃ φράσιν, ἐκτόπως ἡδεῖά ἐστι καὶ φιλάνθρωπος. καθαρά [τε] γὰρ ἀποχρώντως γίνεται καὶ διαυγής, ὥσπερ τὰ διαφανέστατα τῶν ναμάτων· ἀκριβής τε καὶ λεπτὴ παρ' ἥντινοῦν ἑτέραν τῶν εἰς τὴν αὐτὴν διάλεκτον εἰργασμένων. τήν τε κοινότητα διώκει τῶν ὀνομάτων, καὶ τὴν σαφήνειαν ἀσκεῖ, πάσης ὑπεριδοῦσα κατα-

Digitized by Google

σκευῆς ἐπιθέτου. ὅ τε πῖνος αὐτῇ καὶ ὁ χνοῦς ὁ τῆς ἀρχαιότητος ἠρέμα καὶ λεληθότως ἐπιτρέχει· χλοερόν τέ τι καὶ τεθηλὸς καὶ μεστὸν ὥρας ἄνθος ἀναδίδωσι· καὶ, ὥσπερ ἀπὸ τῶν εὐωδεστάτων λειμώνων, αὖρά τις ἡδεῖα ἐξ αὐτῆς φέρεται· καὶ οὔτε τὸ λιγυρὸν ἔοικεν ἐμφαίνειν λάλον, οὔτε τὸ κομψὸν θεατρικόν. ὅταν δ' εἰς τὴν περιττολογίαν καὶ τὸ κάλλιον εἰπεῖν, ὃ πολλάκις εἴωθε ποιεῖν, ἄμετρον ὁρμὴν λάβῃ, πολλῷ χείρων ἑαυτῆς γίνεται· καὶ γὰρ ἀηδεστέρα τῆς ἑτέρας, καὶ κάκιον ἑλληνίζουσα, καὶ παχυτέρα φαίνεται· μελαίνει τε [γὰρ] τὸ σαφὲς, καὶ ζόφῳ ποιεῖ παραπλήσιον· ἔλκει τε μακρὸν ἀποτείνασα τὸν νοῦν, συστρέψαι δέον ἐν ὀνόμασιν ὀλίγοις· ἐχχεῖται δ' εἰς ἀπειροκάλους περιφράσεις, πλοῦτον ὀνομάτων ἐπιδεικνυμένη κενόν· ὑπεριδοῦσά τε τῶν κυρίων καὶ ἐν τῇ κοινῇ χρήσει κειμένων, τὰ πεποιημένα ζητεῖ καὶ ξένα καὶ ἀρχαιοπρεπῆ. μάλιστα δὲ χειμάζεται περὶ τὴν τροπικὴν φράσιν· πολλὴ μὲν [γὰρ] ἐν τοῖς ἐπιθέτοις, ἄκαιρος δ' ἐν ταῖς μετωνυμίαις· σκληρὰ δὲ καὶ οὐ σώζουσα τὴν ἀναλογίαν ἐν ταῖς μεταφοραῖς γίνεται. ἀλληγορίας τε περιβάλλεται μακρὰς καὶ πολλὰς, οὔτε μέτρον ἐχούσας, οὔτε καιρόν. σχήματά τε ποιητικοῖς ἐσχάτην προσβάλλουσιν ἀηδίαν, καὶ μάλιστα τοῖς Γοργιείοις, ἀκαίρως καὶ μειρακιωδῶς ἐναβρύνεται· καὶ πολυτέλειά τις [ἐστὶν] ἐν τοῖς τοιούτοις παρ' αὐτῷ, ὡς καὶ Δημήτριος ὁ Φαληρεὺς εἴρηκέ που, καὶ ἄλλοι συχνοὶ πρότερον. οὐ γὰρ ἐμὸς ὁ μῦθος.

6. Μηδεὶς δέ με τὰ τοιαῦτα ὑπολάβῃ λέγειν

Digitized by Google

ἁπάσης καταγινώσκοντα τῆς ἐξηλλαγμένης καὶ ἐγκατασκευου λέξεως, [ἣ] κέχρηται Πλάτων· μὴ γὰρ ἂν οὕτω σκαιὸς, μηδ' ἀναίσθητος, ἐγὼ γενοίμην, ὥστε ταύτην τὴν δόξαν ὑπὲρ ἀνδρὸς τηλικοῦτου λαβεῖν· ἐπεὶ πολλὰ [καὶ] περὶ πολλῶν οἶδα μεγάλα καὶ θαυμαστὰ, καὶ ὑπὸ τῆς ἄκρας δυνάμεως ἐξενηνεγμένα ὑπ' αὐτοῦ· ἀλλ' ἐκεῖνο ἐνδείξασθαι βουλόμενος, ὅτι [τὰ] τοιαῦτα ἁμαρτήματα ἐν ταῖς κατασκευαῖς εἰώθεν ἁμαρτάνειν· καὶ χείρων μὲν αὐτὸς αὑτοῦ γίνεται, ὅταν τὸ μέγα διώκῃ καὶ περιττὸν ἐν τῇ φράσει· μακρῷ δέ τινι ἀμείνων, ὅταν τὴν ἰσχνὴν καὶ ἀκριβῆ καὶ δοκοῦσαν μὲν ἀποίητον εἶναι, κατεσκευασμένην δ' ἀμωμήτῳ καὶ ἀφελεῖ κατασκευῇ διάλεκτον εἰσφέρῃ. ἢ γὰρ οὐδὲν ἁμαρτάνει καθάπαξ, ἢ βραχύ τι κομιδῇ, καὶ οὐκ ἄξιον κατηγορίας. ἐγὼ δ' ἠξίουν τηλικοῦτον ἄνδρα πεφυλάχθαι πᾶσαν ἐπιτίμησιν. ταῦτα μέντοι καὶ οἱ κατ' αὐτὸν ἐκεῖνον γενόμενοι, ὡς ἁμαρτάνοντι, τῷ ἀνδρὶ ἐπετιμῶσιν· ὧν τὰ ὀνόματα οὐθὲν δέομαι λέγειν· καὶ [αὐτὸς] αὐτῷ· τοῦτο γὰρ δὴ τὸ λαμπρότατον. ἤσθετο γὰρ, ὡς ἔοικε, τῆς ἰδίας ἀπειροκαλίας, καὶ ὄνομα ἔθετο αὐτῇ τὸν διθύραμβον· ὃ νῦν ἂν ἡδέσθην ἐγὼ λέγειν, ἀληθὲς ὄν. τοῦτο δὲ παθεῖν ἔοικεν, ὡς [μὲν] ἐγὼ νομίζω, γραφεὶς μὲν ἐν τοῖς Σωκρατικοῖς διαλόγοις ἰσχνοτάτοις [οὖσι] καὶ ἀκριβεστάτοις, οὐ μείνας [δ'] ἐν αὐτοῖς, ἀλλὰ τῆς Γοργίου καὶ Θρασυμάχου κατασκευῆς ἐρασθείς. οὔτι οὐθὲν ἔξω τοῦ εἰκότος ἔμελλε πείσεσθαι, σπάσας τινὰ καὶ τῶν

Digitized by Google

ἁμαρτημάτων ἅμα τοῖς ἀγαθοῖς, ὧν ἔχουσιν οἱ τῶν ἀνδρῶν ἐκείνων χαρακτῆρες.

7. Παράδειγμα δὲ ποιοῦμαι τῆς γε ὑψηλῆς λέξεως ἐξ ἑνὸς βιβλίου τῶν πάνυ περιβοήτων, ἐν ᾧ τοὺς ἐρωτικοὺς διαλέθεται λόγους ὁ Σωκράτης πρός ἕνα τῶν γνωρίμων, Φαῖδρον, ἀφ' οὗ τὴν ἐπιγραφὴν εἴληφε τὸ βυβλίον. ἐν γὰρ δὴ τῷ συγγράμματι τούτῳ πολλὴν μὲν ὥραν ἔχει, καὶ χαρίτων ἐστὶ μεστὰ τὰ πρῶτα ταυτί· „Ὦ φίλε Φαῖδρε, ποῖ δὴ, καὶ „πόθεν; [Φ.] Παρὰ Λυσίου, ὦ Σώκρατες, τοῦ Κε„φάλου. πορεύομαι δὲ πρὸς περίπατον ἔξω τείχους. „συχνὸν γὰρ ἐκεῖ διέτριψα χρόνον καθήμενος ἐξ „ἑωθινοῦ, [μέχρι τῆς ἀναγνώσεως τοῦ Λυσιακοῦ „λόγου, καὶ μετὰ τὴν ἀνάγνωσιν ἕως τινός.]" εἶθ', ὥσπερ ἐξ ἀέρος εὐδίου καὶ σταθεροῦ πολὺς ἄνεμος καταῤῥαγεὶς, ταράττει τὸ καθαρὸν τῆς φράσεως, εἰς ποιητικὴν ἐκφέρων ἀπειροκαλίαν, ἐνθένδ' ἀρξάμενος· „Ἄγετε δὴ, [ὦ] μοῦσαι, εἴτε δι' ᾠδῆς εἶδος λι„γειαι, εἴτε διὰ γένος τὸ Λιγύων μουσικόν, ταύτην „ἔσχετε τὴν ἐπωνυμίαν· ξύμμοι λάβεσθε τοῦ μύ„θου." ὅτι δὲ ψόφοι ταῦτ' εἰσὶ καὶ διθύραμβοι, κόμπον ὀνομάτων πολὺν, νοῦν δ' ὀλίγον ἔχοντες, αὐτὸς ἐρεῖ. διεξιὼν γὰρ, ἀφ' ἧς αἰτίας ἔρως ἐτέθη τῷ πάθει τοὔνομα, καὶ τῇδε χρησάμενος· „Ἡ γὰρ „ἄνευ λόγου δόξης ἐπὶ τἀγαθὸν ὁρμώσης κρατήσασα „ἐπιθυμία, πρὸς ἡδονὴν ἄγουσα κάλλους, καὶ „[ὑπὸ αὖ] τῶν ἑαυτῆς συγγενῶν ἐπιθυμίαν λαβοῦ„σα, ἐῤῥωμένως ῥωσθεῖσα [καὶ] νικήσασα ἀγωγὴ „ἀπ' αὐτῆς τῆς ῥώμης ἐπωνυμίαν λαβοῦσα, ἔρως

Digitized by Google

„ἐλήθη.“ καὶ τοσαύτην ἐκμηκύνας περίφρασιν ὀλίγοις τοῖς ὀνόμασι δυναμένου περιληφθῆναι πράγματος, ἐπιλαμβάνεται τῆς ἀκαιρίας αὐτὸς αὑτοῦ, καί φησι· „Σιγῇ τοίνυν μου ἄκουε. τῷ ὄντι γὰρ „θεῖος [ἔοικεν] εἶναι ὁ τόπος, ὥστε, ἂν ἄρα πολλά„κις νυμφόληπτος γένωμαι, προϊόντος τοῦ λόγου, „μὴ θαυμάσῃς. τὰ νῦν γὰρ οὐκέτι πόῤῥω διθυραμ„βων [τινῶν] φθέγγομαι“ . . . πάλλων τοῖς αὐτῶν λόγοις ἁλισκόμεθα . . ἂν, δαιμονιώτατε Πλάτων, διθυράμβων ψόφους καὶ λήρους ἠγαπηκότες. ἃ δ' ἐν τῇ παλινῳδίᾳ τὸν ἔρωτα ἀφοσιούμενος αὖθις ὁ Σωκράτης εἴρηκεν, ἐνθένδε ἀρξάμενος· „Ὁ μὲν δὴ μέγας ἡγεμὼν ἐν οὐρανῷ Ζεὺς, „ἐλαύνων πτηνὸν ἅρμα, πρῶτος πορεύεται, διακο„σμῶν πάντα καὶ ἐπιμελούμενος· τοῦ δ' ἕπεται „στρατιὰ θεῶν [τε] καὶ δαιμόνων, κατὰ ἕνδεκα μέρη „κεκοσμημένη· μένει γὰρ Ἑστία ἐν θεῶν οἴκῳ μόνη· „τῶν [δὲ] ἄλλων ὅσοι ἐν τῷ τῶν δώδεκα [θεῶν] „ἀριθμῷ τεταγμένοι θεοὶ ἄρχοντες, ἡγοῦνται κατὰ „τάξιν, ἣν ἕκαστος ἐτάχθη. πολλαὶ μὲν οὖν καὶ μα„κάριαι θέαι τε καὶ ἔξοδοι ἐντὸς οὐρανοῦ, ἃς θεῶν „γένος εὐδαιμόνων ἐπιστρέφεται, πράττων ἕκαστος „δι' αὑτοῦ τὰ αὑτῶν· ἕπεται δ' αἰεὶ ὁ θέλων τε καὶ „δυνάμενος· φθόνος γὰρ ἔξω θείου χοροῦ ἵσταται.“ ταῦτα καὶ τὰ ὅμοια τούτοις, ἃ πολλά ἐστιν, εἰ λάβοι μέλη καὶ ῥυθμούς, ὥσπερ οἱ διθύραμβοι καὶ τὰ ὑπορχήματα, τοῖς Πινδάρου ποιήμασιν ἐοικέναι δόξειεν ἄν, τοῖς εἰς τὸν ἥλιον εἰρημένοις, ὡς γ' ἐμοὶ φαίνεται· „Ἀκτὶς ἀελίου, τί πολύσκοπ' ἐμῇ θεῷ μ'

Vid. Pindar. Pyth. V. 17. vid.

„ἄτερ ὀμμάτων. ἄστρον ὑπέρτατον ἐν ἄμερι κλεπτό-
„μενον ἔθηκας ἀμάχανον ἰσχὺν πανὸν ἀνδράσι,
„καὶ σοφίας ὁδὸν ἐπισκόπτειν ἄτροπον ἐσσαμένα
„ἐλαύνειν τι νεώτερον, ἢ πάρος. ἀλλά σε πρὸς Διὸς
„ἵππος θοὰς ἱκετεύω, ἀπήμονα ἐς ὄλβον τινὰ τρό-
„ποισι Θήβαις· ὦ πότνια, πάγκοινον τέρας πολέμου
„δὶς ἅμα φέρεις τινός, ἢ καρποῦ φθίσιν, ἢ νιφετοῦ
„σθένος ὑπέρφατον, ἢ στάσιν οὐλομένην, ἢ πόντου
„κενεῶσιν ἀλλὰ πέδον, ἢ παχετὸν χθονὸς, ἢ νότιον
„θέρος ὕδατι ζακότῳ ἱερὸν, ἢ γαῖαν κατακλύσασα,
„θήσει ἀνδρῶν νέον ἐξ ἀρχῆς γένος ὀλοφῶ“ . . .
πάντων μεταπείσομαι· καὶ ταῦθα οὐ . . . ,
ὡς παρὰ Πλάτωνι.

8. Ἀλλὰ γάρ, ἵνα μὴ . . ὁ λόγος μοι προ-
βῇ, Πλάτωνα μὲν ἐάσω, πορεύσομαι δ' ἐπὶ τὸν
Δημοσθένην, οὗ δὴ χάριν τούς τε χαρακτῆρας τῆς
λέξεως, οὓς ἡγούμην εἶναι κρατίστους, καὶ τοὺς δυ-
ναστεύσαντας ἐν αὐτοῖς, κατηριθμησάμην, οὐχ
ἅπαντας. Ἀντιφῶν γὰρ δὴ καὶ Θεόδωρος καὶ Πο-
λυκράτης, Ἰσαῖός τε καὶ Ζωΐλος καὶ Ἀναξιμένης, καὶ
οἱ κατὰ τοὺς αὐτοὺς γενόμενοι τούτοις χρόνους,
οὐθὲν οὔτε καινὸν, οὔτε περιττὸν, ἐπετήδευσαν,
ἀλλὰ ἀπὸ τούτων τῶν χαρακτήρων, καὶ παρὰ τού-
τους τοὺς κανόνας τὰς ἑαυτῶν λέξεις κατεσκεύασαν.
τοιαύτην δὴ καταλαβὼν τὴν πολιτικὴν λέξιν ὁ Δη-
μοσθένης, οὕτω κεκινημένην ποικίλως, καὶ τη-
λικούτοις ἐπεισελθὼν ἀνδράσιν, ἑνὸς οὐθενὸς
ἠξίωσε γενέσθαι ζηλωτὴς, οὔτε χαρακτῆρος, οὔτε
ἀνδρός· ἡμίεργους τινὰς ἅπαντας οἰόμενος εἶναι καὶ

Digitized by Google

ἀτελεῖς· ἐξ ἁπάντων δ' αὐτῶν, ὅσα κράτιστα καὶ χρησιμώτατα ἦν, ἐκλεγόμενος, συνύφαινε, καὶ μίαν ἐκ πολλῶν διάλεκτον ἀπετέλει, μεγαλοπρεπῆ, λιτήν· περιττὴν, ἀπέριττον· ἐξηλλαγμένην, συνήθη· πανηγυρικὴν, ἀληθινήν· αὐστηρὰν, ἱλαράν· σύντονον, ἀνειμένην· ἡδεῖαν, πικράν· ἠθικὴν, παθητικήν· οὐδὲν διαλλάττουσαν τοῦ μεμυθευμένου παρὰ τοῖς ἀρχαίοις παιηταῖς Πρωτέως· ὃς ἅπασαν ἰδέαν μορφῆς ἀμογητὶ μετελάμβανεν· εἴτε θεὸς, ἢ δαίμων τις ἐκεῖνος ἄρα ἦν, παραχρυόμενος ὄψεις τὰς ἀνθρωπίνας· εἴτε διαλέκτου ποικίλον δὴ χρῆμα ἐν ἀνδρὶ σοφῷ, πάσης ἀπατηλὸν ἀκοῆς· ὃ μᾶλλον ἄν τις εἰκάσειεν· ἐπειδὴ ταπεινὰς καὶ ἀσχήμονας ὄψεις οὔτε θεοῖς, οὔτε δαίμουσι, προσάπτειν ὅσιον. ἐγὼ μὲν τοιαύτην τινὰ δόξαν ὑπὲρ τῆς Δημοσθένους λέξεως ἔχω, καὶ τὸν χαρακτῆρα τοῦτον ἀποδίδωμι αὐτῷ, τὸν ἐξ ἁπάσης μικτὸν ἰδέας.

9. Εἰ δὲ τὰ προσήκοντα ἔγνωκα, πάρεστι τῷ βουλομένῳ σκοπεῖν, ἐπ' αὐτῶν ποιουμένῳ τῶν λόγων . . μάτων τὴν ἐξέτασιν. ἃ μὲν οὖν παρὰ τὸν Θουκυδίδου χαρακτῆρα κατεσκεύασται τῷ ῥήτορι· „[Πολλῶν,] ὦ ἄνδρες Ἀθηναῖοι, λόγων γινο„μένων, ὀλίγου δεῖν καθ' ἑκάστην ἐκκλησίαν, περὶ „ὧν Φίλιππος, ἀφ' οὗ τὴν εἰρήνην ἐποιήσατο, οὐ „μόνον ὑμᾶς, ἀλλὰ καὶ τοὺς ἄλλους [Ἕλληνας] ἀδι„κεῖ, καὶ πάντων εὖ οἶδ' ὅτι φησάντων γ' ἄν, εἰ „καὶ μὴ ποιοῦσι τοῦτο, καὶ λέγειν [δεῖν] καὶ πράτ„τειν [ἅπασι προσήκειν,] ὅπως ἐκεῖνος παύσεται „τῆς ὕβρεως καὶ δίκην δώσει, εἰς τοῦτο ὑπηγμένα

Digitized by Google

„πάντα τὰ πράγματα καὶ προειμένα ὁρῶ, ὥστε δε-
„δοικα, μὴ βλάσφημον μὲν εἰπεῖν, ἀληθὲς δὲ ᾖ· εἰ
„καὶ λέγειν ἅπαντες ἐβούλοντο οἱ παριόντες, καὶ
„χειροτονεῖν ὑμεῖς, [ἐξ ὧν] ὡς φαυλότατα τὰ πρά-
„γματα ἔμελλεν ἕξειν, οὐκ ἂν ἡγοῦμαι δύνασθαι
„χεῖρον, ἢ νῦν, διατεθῆναι.“ κατὰ τί δὴ ταύτην
ἡγοῦμαι τὴν λέξιν ἐοικέναι τῇ Θουκυδίδου; καθ' ὃ
κἀκείνην πείθομαι μάλιστα διαφέρειν τῶν ἄλλων.
τοῦτο δ' ἔστι τὸ μὴ κατ' εὐθεῖαν ἑρμηνείαν ἐξενη-
νέχθαι τὰ νοήματα, μηδ', ὡς ἐστι τοῖς ἄλλοις σύν-
ηθες, λέγειν ἁπλῶς καὶ ἀφελῶς· ἀλλὰ ἐξηλλάχθαι
καὶ ἀπεστράφθαι τὴν διάλεκτον ἐκ τῶν ἐν ἔθει καὶ
κατὰ φύσιν, εἰς τὰ μὴ συνήθη τοῖς πολλοῖς, μηδ'
ὡς ἡ φύσις ἀπαιτεῖ. ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν.
ἁπλῶς ἂν ὁ λόγος ἐστὶ καὶ κατ' εὐθεῖαν ἑρμηνείαν
ἐνεφερόμενος, εἴ τις οὕτως κατεσκεύασεν αὐτόν·
„Πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγων γιγνομένων
„καθ' ἑκάστην σχεδὸν ἐκκλησίαν, περὶ ὧν ἀδικεῖ
„Φίλιππος ἐς ὑμᾶς τε καὶ τοὺς [ἄλλους] Ἕλληνας,
„ἀφ' οὗ τὴν εἰρήνην ἐποιήσατο.“ νυνὶ δὲ τό τε
„Ὀλίγου δεῖν“ παραληφθὲν ἀντὶ τοῦ „Σχεδόν·“
καὶ τὸ „Ἀδικεῖ Φίλιππος“ διαιρεθέν, καὶ διὰ μα-
κροῦ τὴν ἀκολουθίαν κομισάμενον· καὶ τὸ „Οὐ μό-
„νον ὑμᾶς, ἀλλὰ καὶ τοὺς ἄλλους Ἕλληνας,“ δυνά-
μενον καὶ χωρὶς ἀποφάσεως διὰ τῆς συμπλοκῆς τὸ
πρᾶγμα δηλῶσαι, τοῦ συνήθους ἐξηλλαγμένην καὶ
περίεργον πεποίηκε τὴν λέξιν. ὁμοίως δὲ καὶ [τὸ]
ἐπιλεγόμενον τούτῳ, εἰ μὲν ἁπλῶς καὶ ἀπερίεργως
ἔδει ῥηθῆναι, ταῦτα ἂν δή που τὸν τρόπον

Digitized by Google

ἅπηγ . . . „ἁπάντων λεγόντων, καὶ εἴ τινες
„τοῦτο μὴ ποιοῦσι . . . . . δεῖ καὶ λέ-
„γειν [καὶ] πράττειν ταῦτα, ἐξ ὧν ἐκεῖνος παύσεται
„τῆς ὕβρεως καὶ δίκην δώσει.“ αὖτω δ' ἐξενεχθέν·
„Καὶ πάντων εὖ οἶδ' ὅτι φησάντων χ' ἄν·“ οὐ
σώζει τὴν εὐθεῖαν τῆς λέξεως ὁδόν. τό τε γὰρ „Οἶδ'
„ὅτι“ χώραν οὐκ ἀναγκαίαν ἔχει· καὶ τὸ „Φη-
„σάντων γ' ἄν,“ ἀντὶ τοῦ „Φασκόντων“ παρειλημ-
μένον, οὐ τὴν ἀφελῆ διάλεκτον, ἀλλὰ τὴν ἐξηλλαγμέ-
νην καὶ περίεργον ἐμφαίνει. ὅμοια δὲ τούτοις ἐστὶ
κἀκεῖνα· „Εἶτ' οἴεσθε, οἳ μὲν [οὐδὲν] ἂν αὐτὸν
„ἐδυνήθησαν ποιῆσαι κακὸν, αὐτοὶ δὲ μὴ παθεῖν
„ἐφυλάξαντ' ἂν ὅως, τούτοις μὲν ἐξαπατᾶν αἱρεῖ-
„σθαι μᾶλλον, ἢ προλέγοντα βιάζεσθαι;“ ἐν-
ταυθοῖ γὰρ οὐθὲν ἂν εἶχεν περίεργον ἡ λέξις, οὐδὲ
σκολιὸν, εἰ τοῦτον ἐξήνεγκε τὸν τρόπον· „Εἶτ'
„οἴεσθε αὐτὸν, οὓς μὲν ἐώρα μηδὲν δυναμένους αὐ-
„τῶν, αὐτὸν διαθεῖναι κακὸν, φυλαξαμένους δὲ ἂν
„ὅσως μὴ παθεῖν, τούτους μὲν ἐξαπατᾶν αἱρεῖσθαι
„μᾶλλον, ἢ προλέγοντα βιάζεσθαι;“ ἐναλλαγείσης
δὲ τῆς πτώσεως, καὶ τῶν συνδέσμων πολλῶν εἰς
βραχὺ συναχθέντων, οἶμαι, περίεργός τε καὶ ἀσυν-
ήθης καὶ ἐξηλλαγμένη γέγονεν ἡ διάλεκτος. ἔτι κἀ-
κεῖνα τῆς αὐτῆς ἐστιν ἰδέας· „Νῦν δὲ τοῦτο μὲν
„οὐκ ἐποίησεν, ἐν ᾧ τὸν δῆμον ἐτίμησεν ἄν, οὐδ'
„ἐνεανιεύσατο τοιοῦτον οὐδέν. ἐμοὶ δὲ, ὃς, εἴτε τις,
„ὦ Ἀθηναῖοι, βούλεται νομίσαι μανίαν· μανία γὰρ
„ἴσως ἐστὶν ὑπὲρ δύναμιν τὶ ποιεῖν· εἴτε καὶ φιλο-
„τιμίαν· χορηγὸς ὑπέστην· οὕτω φανερῶς καὶ μια-

Digitized by Google

„ρῶς ἐπηρεάζων παρηκολούθησεν, ὥστε μηδὲ τῶν „ἱματίων, μηδὲ τοῦ χοροῦ, μηδὲ τοῦ σώματος, τὼ „χεῖρε τελευτῶν ἀποσχέσθαι μου.“ τί δὴ πάλιν ἐστὶν ἐν τούτοις τὸ συνταράττον τὴν κατὰ φύσιν ἀπαγγελίαν; πρῶτον μέν, τὸ, πρὶν ἀπαρτίσαι τὸ ἡγούμενον, εἴτε νόημα χρὴ λέγειν, εἴτε κῶλον, ἕτερον παρεμβαλεῖν· καὶ μηδὲ τοῦ δευτέρου τέλος ἔχοντος, τὸ τρίτον ἐπιζεῦξαι· εἶτα τὴν τοῦ δευτέρου νοήματος ἀκολουθίαν ἐπὶ τῷ τρίτῳ τέλος εἰληφότι, θεῖναι· κἄπειτα ἐπὶ πᾶσιν, ὃ τοῦ πρώτου μέρος ἦν, διὰ μακροῦ, καὶ οὐκ τῆς διανοίας αὐτῷ προσεχομένης, ἀποδοῦναι. Ἐμοὶ γάρ, ὃς οὔπω τοῦτο τέλος ἔχει. „Εἴτε τις, ὦ Ἀθηναῖοι, βούλεται νομίσαι „μανίαν·“ ἕτερον τοῦτο κεχωρισμένον τοῦ προτέρου, ἀτελὲς καὶ αὐτό· „Μανία γάρ ἴσως ἐστὶν ὑπὲρ „δύναμιν τὶ ποιεῖν·“ οὐδετέρου τοῦτο πάλιν τῶν προειρημένων μέρος, ἀλλ' αὐτὸ καθ' αὑτό· κεφαλαιώδης γάρ τίς ἐστιν ἀπόφασις· εἴτε φιλοτιμίαν· τοῦτο δὲ τοῦ δευτέρου μέρος ἦν, τοῦ, „Εἴτε τις „βούλεται νομίσαι μανίαν.“ τὸ δ' ἐπὶ τούτοις λεγόμενον ἅπαν, τὸ, „Χορηγὸς ὑπέστην,“ τοῦ πρώτου μέρος ἦν, τοῦ, „Ἐμοὶ δὲ, ὅς.“ μυρία τοιαῦτα ἐστὶ παρὰ Δημοσθένει, καὶ μάλιστα ἐν τοῖς κατὰ Φιλίππου λόγοις· μᾶλλον δὲ σπάνια τὰ μὴ οὕτως ἔχοντα· πλὴν ἑνὸς λόγου τοῦ περὶ Ἁλοννήσου· πολλὰ δὲ καὶ ἐν τοῖς δικανικοῖς ἀγῶσι· τοῖς γ' οὖν δημοσίοις· καὶ σχεδὸν ἔν τε τούτοις, καὶ ταῖς δημηγορίαις· ὥπερ ἔφην ἂν διαγνοίης σημεῖα προχειροτάτῳ τὸν Δημοσθένους χαρακτῆρα. τῷ δὲ ἧττον, ἢ μᾶλ-

Digitized by Google

λον, αὐτοῖς κεχρῆσθαι τὸν ἄνδρα πρὸς τὰς φύσεις ἀποβλέποντα τῶν ὑποθέσεων, καὶ τὰς ἀξιώσεις τῶν προσώπων, πλανηθήσεταί τις· ὅπερ ἴσως οὐκ ἄλογον.

10. Φέρε δὴ καὶ τίνι διαλλάττει τῆς Θουκυδίδου λέξεως ἡ Δημοσθένους, ἢ παρὰ τὸν αὐτὸν κατεσκευασμένη χαρακτῆρα, εἴπωμεν. ἀπαιτεῖ γὰρ ὁ λόγος οὐχὶ τῷ ποιῷ, μὰ Δία· τοῦτο μὲν γὰρ ὁμοίως ἐπιτηδεύουσιν ἀμφότεροι· λέγω δὲ τὸ ἐξαλλάττειν ἐκ τοῦ συνήθους, καὶ μὴ τὸ κοινὸν, ἀλλὰ τὸ περιττὸν διώκειν· τῷ δὲ πόσῳ, καὶ ἔτι μᾶλλον τοῖς καιροῖς. ὁ μὲν γὰρ ἀκαμπεύτως τῇ κατασκευῇ κέχρηται· καὶ ἄγεται μᾶλλον ὑπ' αὐτῆς ἄγει· καὶ οὐδὲ τὸν καιρὸν αὐτῆς ἐπίσταται λαβεῖν δεξιῶς, ἀλλὰ καὶ παρὰ τοῦτον πολλάκις ἁμαρτάνει. καθ' ὃ ἡ μὲν ἀμετρία τῆς ἐξαλλαγῆς ἀσαφῆ ποιεῖ τὴν λέξιν αὐτοῦ· τὸ δὲ μὴ κρατεῖν τῶν καιρῶν, ἀηδῆ. ὁ δὲ ῥήτωρ τοῦ τ' ἀρκοῦντος σπουδάζεται, καὶ τοὺς καιροὺς συμμετρεῖται· οὐκ εἰς ἀνάθημα καὶ κτῆμα κα . . . . . τὴν λέξιν μόνον, ὥσπερ ὁ συγγραφεὺς, ἀλλὰ καὶ εἰς χρῆσιν. ὥστε οὔτε τὸ σαφὲς ἐκβέβηκεν, οὗ πρώτου τοῖς ἐναγωνίοις λόγοις δεῖ· τό τε δεινὸς εἶναι δοκεῖν, ἐφ' ᾧ μάλιστα φαίνεται σπουδάζων, προσείληφε. τοιαῦτα μὲν δή τινά ἐστιν, ἃ παρὰ τὸν ὑψηλὸν καὶ ἐγκατάσκευον καὶ ἐξηλλαγμένον τοῦ συνήθους χαρακτῆρος, οὗ τὸ κρέτος ἅπαν ἦν ἐν τῇ δεινότητι, καὶ Θουκυδίδην τὸν ἐν αὐτῷ πείσαντα μιμούμενος ὁ Δημοσθένης κατεσκεύακεν.

Digitized by Google

11. Ἃ δὲ παρὰ τὸν βο . . . τε καὶ ἀκριβῆ καὶ καθαρὸν καὶ ζηλωτὸν ἀπὸ τοῦ διαλάμψαντος ἐν αὐτῷ· Λυσιακὸς δ' ἂν εἰκότως λέγοιτο· τοιαῦτα. κωλύσει δ' οὐδέν, ἴσως δὲ χαριεστέραν ποιήσει τὴν θεωρίαν, τεθεῖσα πρῶτον ἡ Λυσίου λέξις, ἢ τὴν Δημοσθένους ἐοικέναι πείθομαι, διήγησίν τινα παρεχομένη ὑβριστικήν· „Ἄρχιππος γὰρ οὗτος, ὦ „Ἀθηναῖοι, ἀπεδύσατο μὲν εἰς τὴν αὐτὴν παλαί„στραν, οὗπερ καὶ Τίσις ὁ φεύγων τὴν δίκην. ὀρ„γῆς δὲ γενομένης, ἐς κόμματά τε αὐτῆς καὶ ἀντι„λογίαν καὶ ἔχθραν καὶ λοιδορίαν κατέστησαν. „ἔστιν οὖν Πυθέας ἐραστὴς μὲν τοῦ μειρακίου· „πάντα γὰρ εἰρήσεται τἀληθῆ πρὸς ὑμᾶς· ἐπίτρο„πος δὲ ὑπὸ τοῦ πατρὸς καταλελειμμένος. οὗτος, „ἐπειδὴ Τίσις πρὸς αὐτὸν [τὴν] ἐν τῇ παλαίστρᾳ „λοιδορίαν διηγήσατο, βουλόμενος χαρίζεσθαι, καὶ „δοκεῖν δεινὸς καὶ ἐπίβουλος εἶναι, ἐκέλευσεν αὐτὸν, „ὡς ἡμεῖς ἔκ τε τῶν πεπραγμένων ᾐσθήμεθα, καὶ „τῶν εὖ εἰδότων ἐπυθόμεθα, ἐν μὲν τῷ παρόντι „διαλλαγῆναι, σκοπεῖν δὲ, ὅπως αὐτὸν μόνον που „λήψεται. πεισθεὶς δὲ ταῦτα καὶ ἀπαλλαγεὶς, καὶ „χρώμενος, καὶ προσποιούμενος ἐπιτήδειος εἶναι, „εἰς τοῦτο μανίας, τηλικοῦτος ὤν, ὑφίστατο . . „τ' ἐτύγχανεν μὲν οὖσα ἱπποδρομία ἀνακείων . „ . . ὁ' αὐτὸν μετ' ἐμοῦ παρὰ τὴν θύραν „παριόντων . . . . ἀλλήλων τυγχάνουσιν „ὄντες· τὸ μὲν πρῶτον . . . ἐκέλευεν· ἐπειδὴ „δὲ οὐ μετ' αὐτοῦ . . . δειπνήσαντες οὖν, „ἤδη συναποτάζοντος, ἐλθόντες, κόπτομεν τὴν θύ-

Digitized by Google

„ραν. οἱ δ' ἡμᾶς ἐκέλευον εἰσιέναι. ἐπειδὴ δὲ ἔνδον „ἐγενόμεθα, ἐμὲ μὲν ἐκβάλλουσιν οἰκίας· τουτονὶ „δὲ συναρπάσαντες, ἔδησαν πρὸς τὸν κίονα· καὶ „λαβών μάστιγά τις, ἐντείνας πολλὰς πληγὰς, εἰς „ῥῖνημα αὐτὸν καθεῖρξε. καὶ οὐκ ἐξήρκεσεν αὐτῷ „ταῦτα μόνον ἐξαμαρτεῖν· ἀλλ' ἐζηλωκὼς μὲν τῶν „νέων τοὺς πονηροτάτους ἐν τῇ πόλει, νεωστὶ δὲ τὰ „πατρῷα παρειληφὼς, καὶ προσποιούμενος νέος καὶ „πλούσιος εἶναι, πάλιν τοὺς οἰκέτας ἐκίνδυνεν, ἡμέ„ρας ἤδη γενομένης, πρὸς τὸν κίονα αὐτὸν δήσαν„τες μαστιγοῦν. οὕτω δὲ τοῦ σώματος ἤδη πονήρως „διακειμένου, Ἀντίμαχον μεταπεμψάμενος, τῶν μὲν „δειπνῦν τύχοι· οὗτος δὲ μεθύων ἦλθοι· ἐκκόψας „δὲ τὴν θύραν, καὶ εἰσελθὼν, κακῶς λέγοι αὐτὸν, „καὶ τὸν Ἀντίμαχον, καὶ τὰς γυναῖκας αὐτῶν. Ἀν„τίμαχος δὲ ὠργίζετο μὲν αὐτοῖς, ὡς μεγάλα ἡμαρ„τηκόσιν· ὅμως δὲ μάρτυρας παρακαλέσας, ἠρώτα „αὐτὸν, πῶς εἰσέλθοι· ὁ δὲ, κελεύσαντος Τίσιδος „καὶ τῶν οἰκετῶν, ἔφασκε. συμβουλευόντων δὲ τῶν „εἰσελθόντων ὡς τάχιστα λῦσαι, καὶ τὰ γεγενημένα „δεινὰ νομιζόντων εἶναι, ἀπέδοσαν αὐτὸν τοῖς ἀδελ„φοῖς. οὐ δυναμένου δὲ βαδίζειν, ἐκόμισαν αὐτὸν „εἰς τὸ Δεῖγμα ἐν κλίνῃ, καὶ ἐπέδειξαν πολλοῖς μὲν „Ἀθηναίων, πολλοῖς δὲ καὶ τῶν ἄλλων ξένων, οὕ„τως διακείμενον· ὥστε τοὺς ἰδόντας μὴ μόνον „τοῖς ποιήσασιν ὀργίζεσθαι, ἀλλὰ καὶ τῆς πόλεως „κατηγορεῖν, ὅτι οὐ δημοσίᾳ, οὐδὲ παραχρῆμα, „τοὺς τὰ τοιαῦτα ἐξαμαρτάνοντας τιμωρεῖται."

12. Αὕτη μὲν ἡ Λυσίου διήγησις ἐκ τοῦ κατὰ

Digitized by Google

Τίτιδος λόγου. ἣν δὲ νῦν μέλλω λέγειν, Δημοσθένους, ἐκ τοῦ κατὰ Κόνωνος· ἧς τὴν πραγματικὴν ὁμοιότητα ἰδόντες, ...
. . . . . τὴν ἐν τῇ λέξει σκοπῶμεν·
„Ἐξήλθομεν ἔτος [τουτὶ τρίτον] εἰς Πάναχτον,
„φρουρᾶς ἡμῖν προγραφείσης· [ἐσκήνωσαν οὖν οἱ
„υἱεῖς] οἱ τουτουὶ Κόνωνος ἐγγὺς ἡμῶν, [ὡς] οὐκ
„ἂν ἐβουλόμην. ἡ γὰρ ἐξ ἀρχῆς ἔχθρα καὶ τὰ προσ-
„κρούματα ἐκεῖθεν ἡμῖν συνέβη· ἔξῃς δ' ἀκούσε-
„σθε. ἔπινον ἑκάστοτε οὗτοι τὴν ἡμέραν ὅλην,
„ἐπειδὴ τάχιστα ἀριστήσειαν· καὶ τοῦθ', ὥσπερ
„ἦμεν ἐν τῇ φρουρᾷ, διετέλουν ποιοῦντες. ἡμεῖς δ',
„ὥσπερ ἐνθάδε εἰώθειμεν, οὕτω διήγομεν καὶ ἔξω·
„καὶ ἦν δειπνοποιεῖσθαι τοῖς ἄλλοις ὥραν συμβαί-
„νει, ταύτην ἂν οὗτοι ἐπαρώνουν ἤδη, τὰ μὲν πολ-
„λὰ εἰς τοὺς ἀκολούθους ἡμῶν, τελευτῶντες [δὲ καὶ
„εἰς] ἡμᾶς αὐτούς. φήσαντες γὰρ καπνίζειν αὐτοὺς
„ὀψοποιουμένους τοὺς παῖδας, ἢ κακῶς λέγειν, ὅ
„τι τύχοιεν, ἔτυπτον, καὶ τὰς ἀμίδας κατεσκεδάν-
„νυσαν, καὶ προσεούρουν, καὶ ἀσελγείας καὶ ὕβρεως
„οὐδ' ὁτιοῦν ἀπέλειπον. ὁρῶντες δὲ ἡμεῖς ταῦτα,
„καὶ λυπούμενοι, τὸ μὲν πρῶτον ἀπεπεμψάμεθα·
„ὡς δ' ἐχλεύαζον ἡμᾶς, καὶ οὐκ ἐπαύοντο, [τῷ
„στρατηγῷ] τὸ πρᾶγμα εἴπομεν, κοινῇ πάντες οἱ
„σύσσιτοι προσελθόντες, οὐθὲν ἐγὼ τῶν ἄλλων ἔξω.
„λοιδορηθέντος δ' αὐτοῖς ἐκείνου, καὶ κακίσαντος
„αὐτούς; οὐ μόνον περὶ ὧν εἰς ἡμᾶς ἠσέλγαινον,
„ἀλλὰ καὶ περὶ ὧν ἐποίουν ὅλως ἐν τῷ στρατοπέδῳ,
„τοσούτου ἐδέησαν παύσασθαι, ἢ αἰσχυνθῆναι,

Digitized by Google

„ὥστε, ἐπειδὴ θᾶττον συνεσκόταζεν, εὐθὺς ὡς ἡμᾶς
„εἰσεπήδησαν ταύτῃ τῇ ἑσπέρᾳ· καὶ τὸ μὲν πρῶτον
„κακῶς ἔλεγον, ἔπειτα δὲ καὶ πληγὰς ἐνέτειναν
„ἐμοί· καὶ τοσαύτην κραυγὴν καὶ θόρυβον περὶ
„τὴν σκηνὴν ἐποίησαν, ὥστε [καὶ τὸν στρατὸν] καὶ
„τὸν στρατηγὸν καὶ τοὺς ταξιάρχους ἐλθεῖν,
„καὶ τῶν ἄλλων τινὰς στρατιωτῶν· οἳ διεκώλυ-
„σαν μηδὲν ἡμᾶς ἀνήκεστον παθεῖν, μηδ' αὐτοὺς
„ποιῆσαι, παροινουμένους ὑπὸ τούτων. τοῦ δὲ
„πράγματος εἰς τοῦτο παρελθόντος, ὡς δεῦρο
„ἀνήλθομεν, [ἦν ἡμῖν,] οἷον εἰκός, ἐκ τούτων
„ὀργὴ καὶ ἔχθρα πρὸς ἀλλήλους· οὐ μὴν ἔγωγε [μὰ
„τοὺς θεοὺς] ὤμην δεῖν οὔτε δίκην λαχεῖν αὐτοῖς,
„οὔτε λόγον ποιεῖσθαι τῶν συμβάντων [οὐδένα·]
„ἀλλ' ἐκεῖνα ἁπλῶς ἐγνώκειν, τὸ λοιπὸν εὐλαβεῖσθαι
„καὶ φυλάττεσθαι, μὴ πλησιάζειν ὡς τοὺς τοιούτους.
„πρῶτον μὲν οὖν, ὧν εἴρηκα, τούτων βούλομαι τὰς
„μαρτυρίας παρασχόμενος, μετὰ ταῦτα ὅσα ὑπὸ
„τούτου πέπονθα, ἐπιδεῖξαι· ἵνα εἰδῆτε, ὅτι [ᾧ]
„προσῆκε τοῖς τὰ πρῶτα ἁμαρτηθεῖσιν ἐπιτιμᾶν,
„οὗτος αὐτὸς πρὸς τούτοις πολλῷ δεινότερα διαπέ-
„πραται. — Μάρτυρες. — Ὧν μὲν τοίνυν οὐθένα
„ὤμην δεῖν λόγον ποιεῖσθαι, ταῦτα ἐστί. χρόνῳ δ'
„ὕστερον οὐ πολλῷ, περιπατοῦντος, ὥσπερ εἰώθειν,
„[ἑσπέρας] ἐν ἀγορᾷ μου μετὰ Φανοστράτου τοῦ
„Κηφισιέως, τῶν ἡλικιωτῶν τινος, παρέρχεται Κτη-
„σίας, ὁ υἱὸς ὁ τούτου, μεθύων, καὶ τὸ Λεωκόριον,
„ἐγγὺς ἰὼν Πυθοδώρου. κατιδὼν δὲ ἡμᾶς, καὶ
„κραυγάσας, καὶ διαλεχθείς τι πρὸς αὐτὸν οὕτως,

Digitized by Google

„ὡς ἂν μεθύων, ὥστε μὴ μαθεῖν, ὅ τι λέγει, παρ-
„ῆλθε πρὸς μελέτην ἄνω. ἔπινον δ' ἄρα ἐνταῦθα
„παρὰ Πάμφιλῳ τῷ γραφεῖ Κόνων οὗτοσὶ, Θεόδω-
„ρός τις, Ἀλκιβιάδης; Σπίνθαρος ὁ Εὐβούλου,
„Θεογένης ὁ Ἀνδρομένους, πολλοί τινες· οὓς ἐξανα-
„στήσας ὁ Κτησίας, ἐπορεύετο εἰς τὴν ἀγορὰν, καὶ
„ἡμῖν συμβαίνει ἀναστρέφουσιν ἐκ τοῦ Φερεφατ-
„τίου καὶ περιπατοῦσι πάλιν κατ' αὐτό πως τὸ
„Λεωκόριον εἶναι, καὶ τούτῳ περιτυγχάνομεν. ὡς δ'
„ἀνεμίχθημεν, εἷς μὲν αὐτῶν, ἄγνώς τις, τῷ Φανο-
„στράτῳ προσπίπτει, καὶ κατεῖχεν ἐκεῖνον· Κόνων
„δὲ οὗτοσὶ, καὶ ὁ υἱὸς αὐτοῦ, καὶ ὁ Ἀνδρομένους
„υἱὸς, ἐμοὶ περιπεσόντες, τὸ μὲν πρῶτον ἐξέδυον·
„εἶτα ὑποσκελίσαντες καὶ ῥάξαντες [εἰς τὸν βίον]
„εἰς τὸν βόρβορον, οὕτω διέθηκαν ἐναλλόμενοι καὶ
„ὑβρίζοντες, ὥστε τὸ μὲν χεῖλος διακόψαι, τοὺς δ'
„ὀφθαλμοὺς [συγκλεῖσαι.] οὕτω δὲ κακῶς ἔχοντα
„κατέλειπον, ὥστε μὴ ἀναστῆναι, μήτε φθέγξασθαι
„δύνασθαι. κείμενος δ' αὐτῶν ἤκουον πολλὰ καὶ
„δεινὰ λεγόντων· καὶ τὰ μὲν ἄλλα βλασφημίας ἔχει
„τινάς, ἃς καὶ ὀνομάζειν ὀκνήσαιμι· ὃ δὲ τῆς ὕβρε-
„ώς ἐστι τῆς τούτου σημεῖον, καὶ τεκμήριον, ὡς πᾶν
„τὸ πρᾶγμα ὑπὸ τούτου γενόμενον, τοῦθ' ὑμῖν ἐρῶ·
„ἦδε γὰρ, [τοὺς] ἀλεκτρυόνας μιμούμενος τοὺς
„νενικηκότας· οἱ δὲ κροτεῖν αὐτὸν ἠξίουν τοῖς
„ἀγκῶσιν ἀντὶ πτερύγων τὰς πλευράς."

13. Ταῦτα οὐ καθαρὰ καὶ ἀκριβῆ καὶ σαφῆ καὶ διὰ τῶν κυρίων καὶ κοινῶν ὀνομάτων κατεσκευασμένα, ὥσπερ τὰ Λυσίου; ἐμοὶ μὲν γὰρ

Digitized by Google

ὑπάρχειν δοκεῖ. τί δ' οὐχὶ σύντομα, καὶ στρογγύλα, καὶ ἀληθείας μεστὰ, καὶ τὸν ἀφελῆ καὶ ἀκατάσκευον ἐπιφαίνοντα φύσιν, καθάπερ ἐκεῖνα; πάντων μὲν οὖν μάλιστα. οὐχὶ δὲ καὶ πιθανὰ, καὶ ἐν ἤθει λεγόμενά τινι, καὶ τὸ πρέπον τοῖς ὑποκειμένοις προσώποις τε καὶ πράγμασι φυλάττοντα; ἡδονῆς δ' ἄρα, καὶ πειθοῦς; καὶ χαρίτων, καίρου τε, καὶ τοῖς ἄλλοις ἅπασιν, ἃ τοῖς Λυσιακοῖς ἐπάνθουσιν, ἆρα οὐχὶ πολλὴ μοῖρα; οὐκ ἔστ' ἄλλως εἰπεῖν. εἰ γοῦν μὴ διὰ τῆς ἐπιγραφῆς, οὑτινός ἐστιν, ἑκάτερος τῶν λόγων γνώριμος ἦν, ἀλλ' ἀνεπιγράφοις περιετύχομεν αὐτοῖς, οὐ πολλοὺς ἂν ἡμῶν οἶμαι διαγνῶναι ῥᾳδίως, πότερος Δημοσθένους ἐστὶν, ἢ Λυσίου. τοσαύτην οἱ χαρακτῆρες ὁμοιότητα πρὸς ἀλλήλους ἔχουσι. τοιοῦτός ἐστι καὶ ὁ πρὸς Ἀπολλόδωρον ὑπὲρ Φορμίωνος, καὶ ὁ κατ' Ὀλυμπιοδώρου τῆς βλάβης, καὶ ὁ πρὸς Βοιωτὸν ὑπὲρ τοῦ ὀνόματος· ἥ τε πρὸς Εὐβουλίδην ἔφεσις, καὶ ἡ πρὸς Μακάρτατον διαδικασία, καὶ οἱ ἄλλοι πάντες οἱ ἰδιωτικοὶ λόγοι, οὐ πολλῷ πλείους τῶν εἴκοσι ὄντες· οἷς γε δὴ κατὰ τὸ παρὸν ἐντετυχηκὼς, γνώσῃ, οἷς ῥᾴδα ἐγώ. καὶ τῶν δημοσίων δὲ ἀγώνων πολλὰ μέρη τούτῳ κατεσκεύασται τῷ χαρακτῆρι. ἔφερον δ' ἂν ἐξ ἑκάστου τὰ παραδείγματα· εἰ μὴ πλείων ἔμελλε τοῦ μετρίου γενέσθαι ὁ λόγος· ἐν οἷς δῆλός ἐστι περὶ καλλιλογίαν καὶ σεμνότητα, καὶ πάσας τὰς ἐπιθέτους κατασκευὰς μᾶλλον ἐσπουδακὼς, ἢ περὶ τὴν ἀκρίβειαν. ὁ δὲ περὶ τὴν ἐπιστολὴν καὶ τοὺς πρέσβεις τοὺς παρὰ Φιλίππου ῥηθεὶς λόγος, ὃν ἐπιγράφει Καλλίμαχος

Digitized by Google

ὑπὲρ Ἁλοννήσου· ὁ τὴν ἀρχὴν τήνδε· „Ὦ ἄνδρες „Ἀθηναῖοι, οὐκ ἔστιν, ὅπως αἱ αἰτίαι, ἃς Φίλιππος „αἰτιᾶται·“ ὅλος ἐστὶν ἀκριβὴς καὶ λεπτὸς, καὶ τὸν Λυσιακὸν χαρακτῆρα ἐκμέμακται εἰς ἄνυχα· ἐξαλλαγῆς δὲ, ἢ συμπλοκῆς, ἢ δεινότητος, ἢ τῶν ἄλλων τινὸς, ἃ τῇ Δημοσθένους δυνάμει παρακολουθεῖν πέφυκεν, ὀλίγην ἐπίδειξιν ἔχει. τίς οὖν ἐστι καὶ τούτοις ἡ διαφορά; καὶ πῶς ἂν διαγνοίη τις, ὅταν εἰς τὸν ἀναγκαῖον καταβῇ χαρακτῆρα ὁ Δημοσθένης, πῇ κρείττων ἐστὶ Λυσίου καὶ κατὰ τὴν λέξιν; ἀξιοῖς γὰρ δὴ καὶ τοῦτο μαθεῖν. φυσικὴ τις ἐπιτρέχει τοῖς Λυσίου λόγοις εὐστομία καὶ χάρις, ὥσπερ ἔφην καὶ πρότερον· ἣ προὔχει, πλὴν Δημοσθένους, τῶν ἄλλων ῥητόρων. αὕτη μέντοι, καθάπερ νότιός τις αὔρα, μέχρι προοιμίου καὶ διηγήσεως αὐτὸν ἄγει. ὅταν [δὲ] εἰς τοὺς ἀποδεικτικοὺς ἔλθῃ λόγους, ἀμυδρά τις γίνεται καὶ ἀσθενής· ἐν δὲ δὴ τοῖς παθητικοῖς εἰς τέλος ἀποσβέννυται· τόνος γὰρ οὐ πολὺς αὐτῇ πρόσεστιν, οὐδ' ἰσχύς. παρὰ δὲ τῷ Δημοσθένει πολὺς μὲν ὁ τόνος, αὐτάρκης δ' ἡ χάρις· ὥστε κἂν ταύτῃ τῷ διαρκεῖ καὶ μετρίῳ νικᾷν, κἂν ἐκείνῳ τῷ παντὶ προέχειν. τοῦτο παρατήρημα δεύτερον, ᾧ διαγνοίη τις ἂν τὴν Δημοσθένους διάλεκτον, ὅταν εἰς ταῦτα τἀναγκαῖα συνάγηται. οὐ γάρ, ὥσπερ τὴν ἐξαλλαγὴν, καὶ περιττολογίαν, καὶ πάντας τοὺς ἐπιθέτους ἐκδύεται κόσμους, οὕτως καὶ τὸ μέγεθος καὶ τὸν τόνον· ἀλλ' ἔστιν αὐτῆς ἀναφαίρετος οὗτος, εἴτ' ἄρα συγγενὴς, εἴτ' ἀσκήσει παρὼν εἰς ῥῆσιν. ἐπιτάσεις μέντοι καὶ ἀνέσεις λαμβάνει

Digitized by Google

τινὰς ἀναλόγους. καὶ ταῦτ' ἤδη γνώριμα οἷς λέγω, καὶ οὐθὲν δεόμεθα παραδειγμάτων.

14. Ὥστε περὶ μὲν τοῦ μεταξὺ τῶν ἄκρων ἑκατέρου, ὃν ἀτελῆ παράλαβὼν ὁ Δημοσθένης παρ' Ἰσοκράτους τε καὶ ἔτι πρότερον Θρασυμάχου καὶ τελευταίου Πλάτωνος, ἐτελείωσεν, ὅσον ἦν ἀνθρωπίνῃ φύσει δυνατὸν, πολλὰ μὲν ἄν τις ἐκ τῶν κατὰ Φιλίππου δημηγοριῶν, πολλὰ δ' ἐκ τῶν δημοσίων λόγων παραδείγματα λάβοι· πλεῖστα δὲ καὶ κάλλιστα ἐκ τῆς περὶ Κτησιφῶντος ἀπολογίας· αὐτὸς γὰρ δή μοι δοκεῖ καλλίστῃ καὶ μετριωτάτῃ κατασκευῇ λέξεως κεχρῆσθαι ὁ λόγος· εἰ μὲν οὖν χρόνον ἀρκοῦντα εἶχον, καὶ τὰς λέξεις αὐτὰς ἂν παρετίθην. πολλῶν δέ μοι καὶ ἀναγκαίων ἔτι καταλειπομένων, τοῦτο μὲν ἐάσω, δείγμασι δὲ μόνον ἐν τῷ παρόντι χρήσομαι βραχυτάτοις, ὡς ἐν εἰδόσι λέγων. ἔστι δὴ τὰ τοιαῦτα τοῦ μέσου χαρακτῆρος παραδείγματα, ἐκ μὲν τῆς Αἰσχίνου κατηγορίας· „Ἀεὶ μὲν γάρ, „ὦ ἄνδρες Ἀθηναῖοι, προσήκει μισεῖν καὶ κολάζειν „τοὺς προδότας καὶ δωροδόκους· μάλιστα δὲ νῦν „ἐπὶ τοῦ καιροῦ τούτου γένοιτ' ἄν, καὶ πάντες „ὠφελήσειεν ἀνθρώπους κοινῇ. νόσημα γὰρ, ὦ ἄν„δρες Ἀθηναῖοι, δεινὸν ἐμπέπτωκεν εἰς τὴν Ἑλλά„δα, καὶ χαλεπόν· ὃ πολλῆς τινος συντυχίας καὶ „παρ' ὑμῶν ἐπιμελείας δεόμενον·" καὶ [τὰ] ἑπόμενα τούτοις. ἐκ δὲ τῆς Ἀριστοκράτους κατηγορίας· „Πολλὰ μὲν δὴ παρ' ἡμῖν ἐστι τοιαῦτα, οἷα οὐχ „ἑτέρωθι· ἓν δ' οὖν ἰδιώτατον πάντων καὶ συμφό„ρατον, τὸ ἐν Ἀρείῳ πάγῳ δικαστήριον, περὶ οὗ

Digitized by Google

„τοσαῦτά ἐστιν [εἰπεῖν] καλὰ παραδεδομένα καὶ „μυθώδη, καὶ ὧν αὐτοὶ μάρτυρες ἐσμὲν, ὅσα περὶ „οὐδενὸς ἄλλου δικαστηρίου·“ καὶ τὰ ἑξῆς. ἐκ δὲ τοῦ περὶ τῶν ἀτελειῶν λόγου· „Πρῶτον μὲν τοίνυν „Κάνωνα σκοπεῖτε, εἰ ἄρα ἄξιον καταμεμψαμένους „ἢ τὸν ἄνδρα, ἢ τὰ πεπραγμένα [αὐτῷ,] ἄκυρόν τι „ποιῆσαι τῶν ἐκείνῳ δοθέντων. οὗτος γὰρ [ἀνὴρ,] „ὃς ὑμῶν τινων ἔστιν ἀκοῦσαι, τῶν κατὰ τὴν αὐτὴν „ἡλικίαν ὄντων, μετὰ τὴν τοῦ δήμου κάθοδον, τὴν „ἐκ Πειραιέως, ἀσθενοῦς ἡμῶν τῆς πόλεως οὔσης·“ καὶ τὰ ἀκόλουθα. ἐκ δὲ τῆς περὶ Κτησιφῶντος ἀπολογίας· „Ἃ μὲν οὖν πρὸ τοῦ πολιτεύεσθαι „[καὶ] δημηγορεῖν ἐμὲ προὔλαβε καὶ κατέσχε Φί- „λιππος, ἐάσω· οὐδὲν γὰρ ἡγοῦμαι τούτων εἶναι „πρὸς ἐμέ· ἃ δὲ ἀφ' ἧς ἡμέρας ἐπὶ ταῦτα ἐπέστην „ἐγώ, διεκώλυον λαβεῖν, ταῦτα ἀναμνήσω, καὶ „[περὶ] τούτων ὑφέξω λόγον, τοσοῦτον ὑπειπών· „πλεονέκτημα, ὦ ἄνδρες Ἀθηναῖοι, μέγα ὑπῆρξε „Φιλίππῳ. παρὰ γὰρ τοῖς Ἕλλησιν, οὐ τισὶν, ἀλλὰ „πᾶσιν ὁμοίως, φορὰ προδοτῶν καὶ δωροδόκων καὶ „θεοῖς ἐχθρῶν ἀνθρώπων συνέβη, ὅσην οὐδεὶς τὸ „πρότερον μέμνηται γεγονυῖαν·“ καὶ τὰ συναπτόμενα τούτοις.

15. Τοῦτον ἔγωγε τὸν χαρακτῆρα, εἴ τις μὴ μάλιστα ἀποδέχοιτο τὴν αἰτίαν, δι' ἣν οὔτε τὰ Θουκυδίδεια ἐκεῖνα, περιττὰ καὶ ἐξηλλαγμένα τοῦ συνήθους, κράτιστα ἡγοῦμαι, οὔτ' ἐπὶ τοῖς Λυσιακοῖς τοῖς ἰσχνοῖς καὶ συντεσπασμένοις, τὴν τελείαν τῆς λέξεως ἀρετὴν τίθεμαι, τοῦτ' ἂν εἴποιμι πρὸς αὐ-

Digitized by Google

τόν· οἱ συνιόντες εἰς τὰς ἐκκλησίας καὶ τὰ δικαστήρια καὶ τοὺς ἄλλους συλλόγους, ἔνθα πολιτικῶν δεῖ λόγων, οὔτε δεινοὶ καὶ περιττοὶ πάντες εἰσὶ, καὶ τὸν Θουκυδίδου νοῦν ἔχοντες, οὔθ' ἅπαντες ἰδιῶται, καὶ κατασκευῆς λόγων γενναίων ἄπειροι· ἀλλ' οἱ μὲν ἀπὸ γεωργίας· οἱ δ' ἀπὸ θαλαττουργίας· οἱ δ' ἀπὸ τῶν βαναύσων τεχνῶν συνερρυηκότες· οἷς ἁπλούστερον καὶ κοινότερον διαλεγόμενος, μᾶλλον ἄν τις ἀρέσαι. τὸ γὰρ ἀκριβὲς καὶ περιττὸν καὶ ξένον, καὶ πᾶν, ὅ τι μὴ σύνηθες αὐτοῖς ἀκούειν τε καὶ λέγειν, ὀχληρῶς διατίθησιν αὐτούς· καὶ ὥσπερ τι τῶν πάνυ ἀνιαρῶν ἐδεσμάτων, ἢ ποτῶν, ἀποστρέφει τοὺς στομάχους, οὕτως ἐκεῖνα ὀχληρῶς διατίθησι τὰς ἀκοάς. οἱ δὲ, πολιτικοί τε, καὶ ἀπ' ἀγορᾶς καὶ διὰ τῆς ἐγκυκλίου παιδείας ἐληλυθότες· οἷς οὐκ ἔνι τὸν αὐτὸν, ὅνπερ ἐκείνοις, διαλέγεσθαι τρόπον, ἀλλὰ δεῖ τὴν ἐγκατάσκευον καὶ περιττὴν καὶ ξένην διάλεκτον τούτοις προσφέρειν. εἰσὶ μὲν οὖν ἴσως ἐλάττους οἱ τοιοῦτοι τῶν ἑτέρων, μᾶλλον δὲ πολλοστὸν ἐκείνων μέρος· καὶ τοῦτο οὐθεὶς ἀγνοεῖ· οὐ μὴν καταφρονεῖσθαί γε διὰ ταῦτα ἄξιοι. ὁ μὲν οὖν τῶν ὀλίγων καὶ εὐπαιδεύτων στοχαζόμενος λόγος οὐκ ἔσται τῷ φαύλῳ καὶ ἀμαθεῖ πλήθει πιθανός· ὁ δὲ τοῖς πολλοῖς καὶ ἰδιώταις ἀρέσκειν ἀξιῶν καταφρονηθήσεται πρὸς τῶν χαριεστέρων· ὁ δ' ἀμφότερα τἀκροατήρια πείθειν ζητῶν ἧττον ἀποτεύξεται τοῦ τέλους. ἔστι δὲ οὗτος, ὁ μεμιγμένος ἐξ ἀμφοτέρων τῶν χαρακτήρων. διὰ ταῦτα ἐγὼ τὴν οὕτως κατεσκευασμένην λέξιν μικριωτάτην εἶναι τῶν ἄλ-

Digitized by Google

λων νενόμικα· καὶ τῶν λόγων τούτους μάλιστα ἀποδέχομαι, τοὺς περιεργότας ἑκατέρου τῶν χαρακτήρων τὰς ὑπερβολάς.

16. Εἰρηναῖος δὲ κατ' ἀρχὰς, ὅτι μοι δοκοῦσιν Ἰσοκράτης τε καὶ Πλάτων κράτιστα τῶν ἄλλων ἐπιστηδευκέναι τοῦτο τὸ γένος τοῦ χαρακτῆρος, καὶ προαγαγεῖν μὲν αὐτὸ ἐπὶ μήκιστον, οὐ μὴν καὶ τελειῶσαι· ὅσα δ' ἐνέλιπεν ἐκείνων ἑκάτερος, ταῦτα Δημοσθένην ἐξειργασμένον ἐπιδείξειν ὑποσχόμενος, ἐπὶ τοῦτ' ἤδη πορεύσομαι, τὰς ἄριστα δοκούσας ἔχειν παρ' ἑκατέρῳ τῶν ἀνδρῶν λέξεις προχειρισάμενος, καὶ ἀντιπαραθεὶς αὐταῖς τὰς Δημοσθένους, ὅσαι παρὰ τὰς αὐτὰς συνετάχθησαν ὑποθέσεις· ἵνα μᾶλλον αἱ τῶν ἀνδρῶν προαιρέσεις τε καὶ δυνάμεις γένωνται καταφανεῖς, τὴν ἀκριβεστάτην βάσανον ἐπὶ τῶν ὁμοίων ἔργων λαβοῦσαι.

17. Εἰσαγέσθω δὲ πρῶτος Ἰσοκράτης, καὶ τούτου λαμβανέσθω λέξις ἐκ τοῦ περὶ τῆς εἰρήνης λόγου, χαριεστατα δοκοῦσα ἔχειν· ἣν αὐτὸς ἐν τῷ περὶ τῆς ἀντιδόσεως λόγῳ προφέρεται, μέγα ἐπ' αὐτῇ φρονῶν· δι' ἧς συγκρίνει τὴν ἐπὶ τῶν προγόνων πολιτείαν τῇ τότε καθεστώσῃ, καὶ τὰς πράξεις τὰς παλαιὰς ἀντιπαρατίθησι ταῖς νέαις, τὰς μὲν ἀρχαίας ἐπαινῶν, τὰς δ' ἐν τῷ καθ' ἑαυτὸν χρόνῳ μεμφόμενος, τῆς τε μεταβολῆς τῆς ἐπὶ τὰ χείρω τοὺς δημαγωγοὺς ἀποφαίνων αἰτίους, ὡς οὐ τὰ κράτιστα εἰσηγουμένους, ἀλλὰ τὰ πρὸς ἡδονὴν τῷ πλήθει δημαγωγοῦντας. μακροτέρας δ' οὔσης τῆς συγκρίσεως, αὐτὰ τὰ κυριώτατα ὑπ' ἐμοῦ παρειλη-

Digitized by Google

πται. ἔστι δὲ ταυτί· „Τίς γὰρ [ἂν] ἄλλοθεν ἀπελθὼν,
„καὶ μή [πω] συνδιεφθαρμένος ἡμῖν, ἀλλ' ἐξαίφνης
„ἐπιστὰς τοῖς γινομένοις, οὐκ ἂν μαίνεσθαι καὶ πα-
„ραφρονεῖν ἡμᾶς νομίσειεν; οἳ φιλοτιμούμεθα μὲν
„ἐπὶ τοῖς τῶν προγόνων ἔργοις, καὶ τὴν πόλιν ἐκ
„τῶν τότε πραχθέντων ἐγκωμιάζειν ἀξιοῦμεν, οὐδὲν
„δὲ τῶν αὐτῶν ἐκείνοις πράττομεν, ἀλλὰ πᾶν τοὐ-
„ναντίον. οἱ μὲν γὰρ, ὑπὲρ τῶν Ἑλλήνων τοῖς βαρ-
„βάροις πολεμοῦντες διετέλεσαν· ἡμεῖς δὲ, τοὺς ἐκ
„τῆς Ἀσίας τὸν βίον ποριζομένους, ἐκεῖθεν ἀναστή-
„σαντες, ἐπὶ τοὺς Ἕλληνας ἠγάγομεν. κἀκεῖνοι μὲν,
„ἐλευθεροῦντες τὰς πόλεις τὰς Ἑλληνίδας, καὶ βοη-
„θοῦντες αὐταῖς, τῆς ἡγεμονίας ἠξιώθησαν· ἡμεῖς
„δὲ, καταδουλούμενοι, καὶ τἀναντία τοῖς τότε πράτ-
„τοντες, ἀγανακτοῦμεν, εἰ μὴ τὴν αὐτὴν ἐκείνοις
„τιμὴν ἕξομεν. οἵ τοσοῦτον ἀπολελείμμεθα καὶ τοῖς
„ἔργοις καὶ ταῖς διανοίαις τῶν κατ' ἐκεῖνον τὸν χρό-
„νον γενομένων, ὅσον οἱ μὲν, ὑπὲρ τῆς τῶν Ἑλλή-
„νων σωτηρίας τήν τε πατρίδα τὴν ἑαυτῶν ἐκλιπεῖν
„ἐτόλμησαν, καὶ μαχόμενοι καὶ ναυμαχοῦντες τοὺς
„βαρβάρους ἐνίκησαν· ἡμεῖς δ', οὐδ' ὑπὲρ τῆς
„ἡμετέρας [αὐτῶν] πλεονεξίας κινδυνεύειν ἀξιοῦμεν·
„ἀλλ' ἄρχειν μὲν ἁπάντων ζητοῦμεν, στρατεύειν δ'
„οὐκ ἐθέλομεν. καὶ πόλεμον μὲν μικροῦ δεῖν πρὸς
„πάντας ἀνθρώπους ἀναιρούμεθα, πρὸς δὲ τοῦ-
„τον οὐχ ἡμᾶς αὐτοὺς ἀσκοῦμεν· ἀλλ' ἀνθρώ-
„πους τοὺς μὲν ἀπόλιδας, τοὺς δ' αὐτομόλους, τοὺς
„δ' ἐκ τῶν ἄλλων κακουργιῶν συνερρυηκότας· οἷς
„ὅπόταν τινὲς διδῶσι πλείω μισθὸν, μετ' ἐκείνων

Digitized by Google

„ἐφ' ἡμᾶς ἀκολουθήσουσιν· ἀλλ' ὅμως οὕτως αὐ-
„τοὺς ἀγαπῶμεν, ὥσθ' ὑπὲρ μὲν τῶν παίδων τῶν
„ἡμετέρων, εἴπερ τινὲς ἐξαμαρτάνοιεν, οὐκ ἂν ἐθε-
„λήσαιμεν δίκας ὑποσχεῖν· ὑπὲρ δὲ τῆς ἐκείνων ἁρ-
„παγῆς καὶ βίας καὶ παρανομίας μελλόντων τῶν
„ἐγκλημάτων ἐφ' ἡμᾶς ἥκειν, οὐχ ὅπως ἀχθοφορή-
„μεν, ἀλλὰ καὶ χαίρομεν, ὅταν ἀκούσωμεν αὐτοὺς
„τοιοῦτόν τι διαπεπραγμένους. εἰς τοῦτο δὲ μωρίας
„ἐληλύθαμεν, ὥστ' αὐτοὶ μὲν ἐνδεεῖς ἐσμεν τῶν καθ'
„ἡμέραν, ξενοτροφεῖν δὲ ἐπικεχειρήκαμεν· καὶ τοὺς
„συμμάχους τοὺς ἡμετέρους αὐτῶν [ἰδίᾳ] λυμαινό-
„μεθα, καὶ δασμολογοῦμεν, ἵνα τοῖς ἁπάντων κοι-
„νοῖς [ἀνθρώπων] ἐχθροῖς τὸν μισθὸν ἐκπορίζωμεν.
„τοσούτῳ δὲ [καὶ] χείρους ἐσμὲν τῶν προγόνων, οὐ
„μόνον τῶν εὐδοκιμησάντων, ἀλλὰ καὶ τῶν μιση-
„θέντων, ὅσον ἐκεῖνοι μέν, εἰ πολεμεῖν πρός τινας
„ψηφίσαιντο, μεστῆς οὔσης ἀργυρίου καὶ χρυσίου
„τῆς ἀκροπόλεως, ὅμως ὑπὲρ τῶν δοξάντων τοῖς
„αὐτῶν σώμασιν ὤοντο δεῖν κινδυνεύειν· ἡμεῖς δ',
„εἰς [τοσαύτην ἀπορίαν ἐληλυθότες, καὶ] τοσοῦ-
„τοι τὸ πλῆθος ὄντες, ὥσπερ βασιλεὺς ὁ μέγας, μι-
„σθωτοῖς χρώμεθα τοῖς στρατοπέδοις. καὶ τότε μέν,
„εἰ τριήρεις ἐπληροῦμεν, τοὺς μὲν ξένους καὶ τοὺς
„δούλους ναύτας ἐνεβιβάζομεν, τοὺς δὲ πολίτας
„μεθ' ὅπλων ἐξεπέμπομεν· νῦν δέ, τοῖς μὲν ξένοις
„ὁπλίταις χρώμεθα, τοὺς δὲ πολίτας ἐλαύνειν
„ἀναγκάζομεν· ὥσθ', ὁπόταν ἀναβαίνωσιν εἰς τὴν
„τῶν πολεμίων, οἱ μὲν ἄρχειν τῶν Ἑλλήνων ἀξιοῦν-
„τες ὑπηρέσιον ἔχοντες ἐκβαίνουσιν· [οἱ δὲ τοιοῦτοι

Digitized by Google

„τὰς φύσεις ὄντες, οἵους ὀλίγῳ πρότερον διῆλθον, „μεθ' ὅπλων κινδυνεύουσιν.] ἀλλὰ γὰρ [καὶ] τὰ „κατὰ τὴν πόλιν ἰδὼν. ἂν τις καλῶς διοικούμενα, „καὶ περὶ τῶν ἄλλων θαρσήσειεν, ἀλλ' οὐκ ἂν ἐπ' „αὐτοῖς τούτοις μάλιστ' ἀγαναχτήσειεν; οἵτινες „αὐτόχθονες μὲν εἶναι φαμὲν, καὶ τὴν πόλιν ταύ- „την πρότεραν οἰκισθῆναι τῶν ἄλλων· προσῆκον „δ' ἡμᾶς εἶναι τῶν ἄλλων παράδειγμα τοῦ καλῶς τε „καὶ τεταγμένως πολιτεύεσθαι, χεῖρον καὶ ταραχω- „δέστερον τὴν ἡμετέραν αὐτῶν διοικοῦμεν, τῶν „ἄρτι τὰς πόλεις οἰκιζόντων. καὶ σεμνυνόμεθα μὲν „καὶ μεγαλοφρονοῦμεν ἐπὶ τῷ βέλτιον τῶν ἄλλων „γεγονέναι· φέρον δὲ μεταδίδομεν τοῖς βουλομένοις „ταύτης τῆς εὐγενείας, ἢ Τριβαλλοί τε καὶ Λευκα- „νοὶ τῆς [αὐτῶν] δυσγενείας."

18. Ἡ μὲν οὖν Ἰσοκράτους λέξις ἡ κάλλιστα τῶν ἄλλων δοκοῦσα ἔχειν, τοιαύτη τίς ἐστι, πολλῶν μὲν ἕνεκα θαυμάζειν ἄξια· καθαρεύει τε γὰρ, εἴ τις ἄλλη, τοῖς νοήμασι, καὶ τὴν διάλεκτόν ἐστιν ἀκριβής· φανερά τ' ἀεὶ καὶ κοινή· καὶ τὰς ἄλλας ἀρετὰς ἁπάσας περιείληφεν, ἐξ ὧν ἂν μάλιστα γένοιτο διάλεκτος σαφής· πολλοὺς δὲ καὶ τῶν ἐπιθέτων κόσμων ἔχει. καὶ γὰρ ὑψηλὴ, καὶ σεμνὴ, καὶ ἀξιωματικὴ, καλλιῤῥήμων τε, καὶ ἡδεῖα, καὶ εὔμορφος ἀποχρώντως ἐστίν· οὐ μὴν τελεία γε κατὰ τοῦτο τὸ μέρος· ἀλλ' ἔστιν ὧν ἄν τις αὐτὴν ὡς ἐλλιπόντων μέμψαιτο, καὶ οὐ μὰ Δία τῶν φαυλοτάτων. πρῶτον μὲν, τῆς συντομίας· ἀποχαζομένη γὰρ τοῦ σαφοῦς, ἐλλογιμεῖ παλλάκις τοῦ μετρίου· ἔχρῆν δὲ

Digitized by Google

ὁμοίως προνοεῖν ἀμφοτέρων. μετὰ τοῦτο, τῆς συστροφῆς· ὑπτία γάρ ἐστι καὶ ἐπαγωγικὴ καὶ περιῤῥέουσα τοῖς νοήμασιν, ὥσπερ εἰσὶν αἱ τῶν ἱστορικῶν· ἡ δ' ἐναγώνιος στρογγύλη τ' εἶναι βούλεται, καὶ συγκεκροτημένη, καὶ μηδὲν ἔχουσα κολπώδες. ἔτι πρὸς τούτοις κἀκεῖνα πρόσεστι τῷ ἀνδρί. ἄτολμός ἐστι περὶ τὰς τροπικὰς κατασκευάς, καὶ ψοφοδεής, καὶ οὐκ εἰσφέρεται τόνους κραταιούς· καίτοι γε τοῖς ἀθληταῖς τῆς ἀληθινῆς λέξεως ἰσχυρὰς τὰς ἁφὰς προσεῖναι δεῖ, καὶ ἀφύκτους τὰς λαβάς. παθαίνειν τ' οὐ δύναται τοὺς ἀκροωμένους, ὁπόσα βούλεται· τὰ πολλὰ δ' οὐδὲ βούλεται· πείθεται δ' ἀποχρῆν τῷ πολιτικῷ διάνοιαν ἀποδείξασθαι σπουδαίαν, καὶ ἦθος ἐπιεικές· καὶ τυγχάνει μέντοι γε τούτων ἑκατέρου· δεῖ γὰρ ταληθῆ μαρτυρεῖν. ἦν δ' ἄρα πάντων ἰσχυρότατον τῷ μέλλοντι πείθειν δῆμον, ἢ δικαστήριον, ἐπὶ τὰ πάθη τοὺς ἀκροατὰς ἀγαγεῖν, οὐδὲ δὴ τοῦ πρέποντος ἐν ἅπασιν ἐπιτυγχάνει· ἀνθηρὰν δὲ καὶ θεατρικὴν ἐκ παντὸς ἀξιῶν εἶναι τὴν διάλεκτον, ὡς τῆς ἡδονῆς ἅπαν ἐχούσης ἐν λόγοις τὸ κράτος, ἀπολείπεταί ποτε τοῦ πρέποντος. οὐχ ἅπαντα δέ γε τὰ πράγματα τὴν αὐτὴν ἁπαιτεῖ διάλεκτον· ἀλλ' ἔστιν ὥσπερ σώμασι πρέπουσά τις ἐσθής, οὕτως καὶ νοήμασιν ἁρμόττουσά τις ὀνομασία. τὸ δ' ἐκ παντὸς ἡδύνειν τὰς ἀκοάς, εὐφώνων τε καὶ ἐκλέκτων ἀνομάτων ἐκλογή, καὶ πάντα ἀξιοῦν εἰς εὐρύθμους κατακλείειν περιόδων ἁρμονίας, καὶ διὰ τῶν θεατρικῶν σχημάτων καλλωπίζειν τὸν λόγον, οὐκ ἦν παντα χῇ

Digitized by Google

χρήσιμον· ἀλλὰ τοῦτό γε διδάσκουσιν ἡμᾶς καὶ οἱ τὰ ἔπη, καὶ οἱ τὰς τραγῳδίας, καὶ οἱ τὰ μέλη τὰ σπουδαῖα γράψαντες, οὐ τοσαύτην ποιούμενοι τῆς ἡδονῆς δόσιν, ὅσην τῆς ἀληθείας.

19. Εἰ δ' ὀρθῶς ἐπιλογίζομαι ταῦτ' ἐγώ, καὶ ἔστιν ἐν ταύταις ταῖς ἀρεταῖς ἐνδεέστερος ὁ ἀνήρ, πάρεστι τῷ βουλομένῳ σκοπεῖν ἐπὶ τῆς ἀρτίως παρατεθείσης λέξεως ποιουμένῳ τὴν ἐξέτασιν. εὐθέως οὖν τὴν πρώτην διάνοιαν ὀλίγοις ὀνόμασιν ἐξενεχθῆναι δυναμένην, μακρᾶν ποιεῖ, κυκλογραφῶν, καὶ δὶς, ἢ τρὶς, τὰ αὐτὰ λέγων. ἐνῆν μὲν οὖν ἐν τῷ πρώτῳ κώλῳ τῷ· „Τίς γὰρ ἂν ἄλλοθεν ἐπελθών·" τό· „Καὶ μὴ συνδιεφθαρμένος ἡμῖν, ἀλλ' ἐξαίφνης „ἐπιστὰς τοῖς γινομένοις·" δυνάμει γὰρ ἄμφω ταὐτά. καὶ ἐν τῷ· „Οἱ φιλοτιμούμεθα μὲν ἐπὶ τοῖς „τῶν προγόνων ἔργοις·" τό· „Καὶ τὴν πόλιν ἐκ „τῶν τότε πραχθέντων ἐγκωμιάζειν ἀξιοῦμεν·" τὸ γὰρ αὐτὸ „Φιλοτιμεῖσθαι" καὶ „Ἐπαινεῖν." καὶ ἐν τῷ· „Οὐδὲν δὲ τῶν αὐτῶν ἐκείνοις πράττομεν·" τό· „Ἀλλὰ πᾶν τοὐναντίον." ἦρκει γὰρ αὐτῶν εἰρῆσθαι θάτερον. ἐξῆν τε γὰρ μίαν ἐκ τῶν δυεῖν ποιῆσαι περίοδον, καὶ συντομωτέραν καὶ χαριεστέραν· „Τίς γὰρ ἂν ἄλλοθεν ἐπελθών, οὐκ ἂν „μαίνεσθαι νομίσειεν ἡμᾶς· οἱ φιλοτιμούμεθα μὲν „ἐπὶ τοῖς τῶν προγόνων ἔργοις, οὐδὲν δὲ τῶν αὐτῶν „ἐκείνοις πράττομεν;" Πολλὰ τοιαῦτα ἐστὶ παραπλήσματα καθ' ἑκάστην ὀλίγου δεῖν περίοδον, οὐκ ἀναγκαίαν ἔχοντα χώραν, ἃ ποιεῖ τὴν ἑρμηνείαν ἀμειροτέραν, τὴν δὲ περίοδον κομψοτέραν.

Digitized by Google

μακρὰ μὲν οὖν ἡ λέξις οὕτως ἐστὶν αὐτῷ· πλατεῖα δὲ [καὶ] ἀσυγκρότητος πῶς; „Κἀκεῖνοι μὲν, ἐλευ-„θεροῦντες τὰς πόλεις τὰς Ἑλληνίδας, καὶ βοη-„θοῦντες αὐταῖς, τῆς ἡγεμονίας ἠξιώθησαν· ἡμεῖς „δὲ, καὶ καταδουλούμενοι, καὶ τἀναντία τοῖς τότε „πράττοντες, ἀγανακτοῦμεν, εἰ μὴ τὴν αὐτὴν ἐκεί-„νοις τιμὴν ἔξομεν.“ ταῦτα κεκολπωμένα σφίγξαι μᾶλλον ἐνῆν, καὶ στρογγυλώτερα ὧδέ πως ποιῆσαι· „Κἀκεῖνοι μὲν, ἐλευθεροῦντες τὴν Ἑλλάδα καὶ σώ-„ζοντες, ἐπὶ τὴν ἡγεμονίαν προῆλθον· ἡμεῖς δὲ, „καταδουλούμενοι καὶ διολλύντες, ἀγανακτοῦμεν, „εἰ μὴ τῶν ἴσων τευξόμεθα.“ καὶ ἡ μετὰ ταῦτα διάνοια πλατέως τ' εἴρηται, καὶ ἀσυγκρότητός ἐστιν· „Οἷ τοσοῦτον ἀπολελείμμεθα καὶ ταῖς διανοίαις „καὶ τοῖς ἔργοις τῶν κατ' ἐκεῖνον τὸν χρόνον γενο-„μένων, ὅσον οἱ μὲν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευ-„θερίας τήν τε πατρίδα τὴν ἑαυτῶν ἐκλιπεῖν ἐτόλ-„μησαν, καὶ μαχόμενοι καὶ ναυμαχοῦντες, τοὺς „βαρβάρους ἐνίκησαν.“ . . . . . αὐτῆς ἐπι-στρέψαι τὸ πλάτος, οὕτως ἐξενεγκών. „Οἷ τοσού-„τῳ χείρους ἐσμὲν τῶν προγόνων, ὅσον οἱ „μὲν, ὑπὲρ τοῦ σῶσαι τοὺς Ἕλληνας, τήν τε πα-„τρίδα τὴν ἑαυτῶν ἐξέλιπον, καὶ μαχόμενοι πρὸς „τοὺς βαρβάρους ἐνίκησαν.“ μύρια καὶ ταύτης ἐστὶ λαβεῖν τῆς ἀσθενείας δείγματα· ἔξω γὰρ ὀλί-γων τινῶν, οἷς οὐκ ἐκ προνοίας μᾶλλον, ἢ κατ' αὐ-τοματισμὸν, συμβέβηκε τὸ συνεστράφθαι, τἆλλα ἐν πλάτει λέγεται.

20. Ἄτονος δὲ δὴ καὶ λαβὰς οὐ κραταιὰς ἔχου-

Digitized by Google

σά πως ἐστὶν ἡ λέξις, τῷ ἐπιφέρειν τινὰ τοῖς εἰρημένοις διάνοιαν ταύτην· „Τοσοῦτον δὲ χείρους „ἐσμὲν τῶν προγόνων, οὐ μόνον τῶν εὐδοκιμησάν„των, ἀλλὰ καὶ τῶν μισηθέντων, ὅσον ἐκεῖνοι μὲν, „εἰ πολεμεῖν πρός τινα ψηφίσαιντο, μεστῆς οὔσης „ἀργυρίου καὶ χρυσίου τῆς ἀκροπόλεως, ὅμως ὑπὲρ „τῶν δοξάντων τοῖς ἑαυτῶν σώμασιν ᾤοντο δεῖν „κινδυνεύειν· ἡμεῖς δὲ, εἰς τοσαύτην ἀπορίαν ἐλη„λυθότες, καὶ τοσοῦτοι τὸ πλῆθος ὄντες, ὥσπερ „βασιλεὺς ὁ μέγας, μισθωτοῖς χρώμεθα τοῖς στρα„τοπέδοις." φέρε δὲ πῶς ἐνῆν αὐτὴν εἰπεῖν στρογγυλωτέραν; „Ἀλλὰ ταῦτα μὲν ἴσως χείρους ἐσμὲν „τῶν προγόνων, τὰ δ' ἄλλα βελτίους· οὐ λέγω τῶν „εὐδοκιμησάντων· πόθεν γάρ; ἀλλὰ τῶν μισηθέν„των. καὶ τίς οὐκ οἶδεν, ὅτι ἐκεῖνοι μὲν πλείστων „ποτὲ πληρώσαντες χρημάτων τὴν ἀκρόπολιν, οὐ „κατεμισθοφόρουν τὸν κοινὸν πλοῦτον εἰς τοὺς πο„λεμίους· ἀλλ' ἀπὸ τῶν ἰδίων εἰσφέροντες, ἔστιν „ὅτε καὶ τοῖς ἑαυτῶν σώμασι κινδυνεύειν ἠξίουν· „ἡμεῖς δὲ, σύτως ὄντες ἄποροι, καὶ τοσοῦτοι τὸ „πλῆθος, μισθοφόροις τοῖς στρατεύμασι πολεμοῦ„μεν, ὥσπερ καὶ βασιλεὺς ὁ μέγας." ἀλλὰ μὴν ὅτι γ' ἄψυχός ἐστιν ἡ διάλεκτος αὐτοῦ, καὶ οὐ παθητικὴ, πνεύματός τε, οὗ μάλιστα δεῖ τοῖς ἐναγωνίοις λόγοις, ἐλαχίστην ἔχουσα μοῖραν, οἶομαι μὲν ἔγωγε καὶ χωρὶς ὑπομνήσεως ἅπασιν εἶναι φανερόν. εἰ δ' ἄρα καὶ παραδειγμάτων δεῖ, πολλῶν ὄντων, ἃ τις ἂν εἰπεῖν ἔχοι, μιᾷ διανοίᾳ χρησάμενος ἀρκεσθήσομαι. διαδέχεται δὴ τὴν ὀλίγῳ πρότερον

Digitized by Google

μακρὰ μὲν οὖν ἡ λέξις οὕτως ἐστὶν αὐτῷ· πλατεῖα δὲ [καὶ] ἀσυγκρότητος πῶς; „Κἀκεῖνοι μὲν, ἐλευ-„θεροῦντες τὰς πόλεις τὰς Ἑλληνίδας, καὶ βοη-„θοῦντες αἰτιαῖς, τῆς ἡγεμονίας ἠξιώθησαν· ἡμεῖς „δὲ, καὶ καταδουλούμενοι, καὶ τἀναντία τοῖς τότε „πράττοντες, ἀγανακτοῦμεν, εἰ μὴ τὴν αὐτὴν ἐκεί-„νοις τιμὴν ἔξομεν.“ ταῦτα κεκολπωμένα σφίγξαι μᾶλλον ἐνῆν, καὶ στρογγυλώτερα ὧδέ πως ποιῆσαι· „Κἀκεῖνοι μὲν, ἐλευθεροῦντες τὴν Ἑλλάδα καὶ σώ-„ζοντες, ἐπὶ τὴν ἡγεμονίαν προῆλθον· ἡμεῖς δὲ, „καταδουλούμενοι καὶ διολλύντες, ἀγανακτοῦμεν, „εἰ μὴ τῶν ἴσων τευξόμεθα.“ καὶ ἡ μετὰ ταῦτα διάνοια πλατέως τ' εἴρηται, καὶ ἀσυγκρότητός ἐστιν· „Οἷ τοσοῦτον ἀπολελείμμεθα καὶ ταῖς διανοίαις „καὶ τοῖς ἔργοις τῶν κατ' ἐκεῖνον τὸν χρόνον γενο-„μένων, ὅσον οἱ μὲν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευ-„θερίας τήν τε πατρίδα τὴν ἑαυτῶν ἐκλιπεῖν ἐτόλ-„μησαν, καὶ μαχόμενοι καὶ ναυμαχοῦντες, τοὺς „βαρβάρους ἐνίκησαν.“ . . . . . αὐτῆς ἐπι-στρέψαι τὸ πλάτος, οὕτως ἐξενεγκών. „Οἷ τοσοῦτοι „χείρους ἐσμὲν τῶν προγόνων, ὅσον οἱ „μὲν, ὑπὲρ τοῦ σῶσαι τοὺς Ἕλληνας, τήν τε πα-„τρίδα τὴν ἑαυτῶν ἐξέλιπον, καὶ μαχόμενοι πρὸς „τοὺς βαρβάρους ἐνίκησαν.“ μύρια καὶ ταύτης ἐστὶ λαβεῖν τῆς ἀσθενείας δείγματα· ἔξω γὰρ ὀλί-γων τινῶν, οἷς οὐκ ἐκ προνοίας μᾶλλον, ἢ κατ' αὐ-τοματισμὸν, συμβέβηκε τὸ συνεστράφθαι, τἆλλα ἐν πλάτει λέγεται.

20. Ἄτονος δὲ δὴ καὶ λαβὰς οὐ κραταιὰς ἔχου-

Digitized by Google

σά πως ἐστὶν ἡ λέξις, τῷ ἐπιφέρειν τινὰ τοῖς εἰρημένοις διάνοιαν ταύτην· „Τοσοῦτον δὲ χείρους „ἐσμὲν τῶν προγόνων, οὐ μόνον τῶν εὐδοκιμησάν„των, ἀλλὰ καὶ τῶν μισηθέντων, ὅσον ἐκεῖνοι μέν, „εἰ πολεμεῖν πρός τινα ψηφίσαιντο, μεστῆς οὔσης „ἀργυρίου καὶ χρυσίου τῆς ἀκροπόλεως, ὅμως ὑπὲρ „τῶν δοξάντων τοῖς ἑαυτῶν σώμασιν ᾤοντο δεῖν „κινδυνεύειν· ἡμεῖς δὲ, εἰς τοσαύτην ἀπορίαν ἐλη„λυθότες, καὶ τοσοῦτοι τὸ πλῆθος ὄντες, ὥσπερ „βασιλεὺς ὁ μέγας, μισθωτοῖς χρώμεθα τοῖς στρα„τοπέδοις." φέρε δὲ πῶς ἐνῆν αὐτὴν εἰπεῖν στρογγυλωτέραν; „Ἀλλὰ ταῦτα μὲν ἴσως χείρους ἐσμὲν „τῶν προγόνων, τὰ δ' ἄλλα βελτίους· οὐ λέγω τῶν „εὐδοκιμησάντων· πόθεν γάρ; ἀλλὰ τῶν μισηθέν„των. καὶ τίς οὐκ οἶδεν, ὅτι ἐκεῖνοι μὲν πλείστων „ποτὲ πληρώσαντες χρημάτων τὴν ἀκρόπολιν, οὐ „κατεμισθοφόρουν τὸν κοινὸν πλοῦτον εἰς τοὺς πο„λεμίους· ἀλλ' ἀπὸ τῶν ἰδίων εἰσφέροντες, ἦσαν „ὅτε καὶ τοῖς ἑαυτῶν σώμασι κινδυνεύειν ἠξίουν· „ἡμεῖς δὲ, σῦτως ἄντες ἄποροι, καὶ τοσοῦτοι τὸ „πλῆθος, μισθοφόροις τοῖς στρατεύμασι πολεμοῦ„μεν, ὥσπερ καὶ βασιλεὺς ὁ μέγας." ἀλλὰ μὴν ὅτι γ' ἄψυχός ἐστιν ἡ διάλεκτος αὐτοῦ, καὶ οὐ παθητικὴ, πνεύματός τε, οὗ μάλιστα δεῖ τοῖς ἐναγωνίοις λόγοις, ἐλαχίστην ἔχουσα μοῖραν, οἶομαι μὲν ἔγωγε καὶ χωρὶς ὑπομνήσεως ἅπασιν εἶναι φανερόν. εἰ δ' ἄρα καὶ παραδειγμάτων δεῖ, πολλῶν ὄντων, ἃ τις ἂν εἰπεῖν ἔχοι, μιᾷ διανοίᾳ χρησάμενος ἀρκεσθήσομαι. διαδέχεται δὴ τὴν ὀλίγῳ πρότερον

Digitized by Google

μακρὰ μὲν οὖν ἡ λέξις οὕτως ἐστὶν αὐτῷ· πλατεῖα δὲ [καὶ] ἀσυγκρότητος πῶς; „Κἀκεῖνοι μέν, ἐλευ-„θεροῦντες τὰς πόλεις τὰς Ἑλληνίδας, καὶ βοη-„θοῦντες αὐταῖς, τῆς ἡγεμονίας ἠξιώθησαν· ἡμεῖς „δὲ, καὶ καταδουλούμενοι, καὶ τἀναντία τοῖς τότε „πράττοντες, ἀγανακτοῦμεν, εἰ μὴ τὴν αὐτὴν ἐκεί-„νοις τιμὴν ἔξομεν.“ ταῦτα κεκολπωμένα σφίγξαι μᾶλλον ἐνῆν, καὶ στρογγυλώτερα ὧδέ πως ποιῆσαι· „Κἀκεῖνοι μέν, ἐλευθεροῦντες τὴν Ἑλλάδα καὶ σώ-„ζοντες, ἐπὶ τὴν ἡγεμονίαν προῆλθον· ἡμεῖς δὲ, „καταδουλούμενοι καὶ διαλλύντες, ἀγανακτοῦμεν, „εἰ μὴ τῶν ἴσων τευξόμεθα.“ καὶ ἡ μετὰ ταῦτα διάνοια πλατέως τ' εἴρηται, καὶ ἀσυγκρότητός ἐστιν· „Οἷ τοσοῦτον ἀπολελείμμεθα καὶ ταῖς διανοίαις „καὶ τοῖς ἔργοις τῶν κατ' ἐκεῖνον τὸν χρόνον γενο-„μένων, ὅσον οἱ μὲν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευ-„θερίας τήν τε πατρίδα τὴν ἑαυτῶν ἐκλιπεῖν ἐτόλ-„μησαν, καὶ μαχόμενοι καὶ ναυμαχοῦντες, τοὺς „βαρβάρους ἐνίκησαν.“ . . . . . αὐτῆς ἐπι-στρέψαι τὸ πλάτος, οὕτως ἐξενεγκών. „Οἷ το-„σοῦτον χείρους ἐσμὲν τῶν προγόνων, ὅσον οἱ „μὲν, ὑπὲρ τοῦ σῶσαι τοὺς Ἕλληνας, τήν τε πα-„τρίδα τὴν ἑαυτῶν ἐξέλιπον, καὶ μαχόμενοι πρὸς „τοὺς βαρβάρους ἐνίκησαν.“ μύρια καὶ ταύτης ἐστὶ λαβεῖν τῆς ἀσθενείας δείγματα· ἔξω γὰρ ὀλί-γων τινῶν, οἷς οὐκ ἐκ προνοίας μᾶλλον, ἢ κατ' αὐ-τοματισμὸν, συμβέβηκε τὸ συνεστράφθαι, τἆλλα ἐν πλάτει λέγεται.

20. Ἄτονος δὲ δὴ καὶ λαβὰς οὐ κραταιὰς ἔχου-

Digitized by Google

σά πως ἐστὶν ἡ λέξις, τῷ ἐπιφέρειν τινὰ τοῖς εἰρημένοις διάνοιαν ταύτην· „Τοσοῦτον δὲ χείρους „ἐσμὲν τῶν προγόνων, οὐ μόνον τῶν εὐδοκιμησάν„των, ἀλλὰ καὶ τῶν μισηθέντων, ὅσον ἐκεῖνοι μέν, „εἰ πολεμεῖν πρός τινα ψηφίσαιντο, μεστῆς οὔσης „ἀργυρίου καὶ χρυσίου τῆς ἀκροπόλεως, ὅμως ὑπὲρ „τῶν δοξάντων τοῖς ἑαυτῶν σώμασιν ᾤοντο δεῖν „κινδυνεύειν· ἡμεῖς δὲ, εἰς τοσαύτην ἀπορίαν ἐλη„λυθότες, καὶ τοσοῦτοι τὸ πλῆθος ὄντες, ὥσπερ „βασιλεὺς ὁ μέγας, μισθωτοῖς χρώμεθα τοῖς στρα„τοπέδοις." φέρε δὲ πῶς ἐνῆν αὐτὴν εἰπεῖν στρογγυλωτέραν; „Ἀλλὰ ταῦτα μὲν ἴσως χείρους ἐσμὲν „τῶν προγόνων, τὰ δ' ἄλλα βελτίους· οὐ λέγω τῶν „εὐδοκιμησάντων· πόθεν γάρ; ἀλλὰ τῶν μισηθέν„των. καὶ τίς οὐκ οἶδεν, ὅτι ἐκεῖνοι μὲν πλείστων „ποτὲ πληρώσαντες χρημάτων τὴν ἀκρόπολιν, οὐ „κατεμισθοφόρουν τὸν κοινὸν πλοῦτον εἰς τοὺς πο„λεμίους· ἀλλ' ἀπὸ τῶν ἰδίων εἰσφέροντες, ἔστιν „ὅτε καὶ τοῖς ἑαυτῶν σώμασι κινδυνεύειν ἠξίουν· „ἡμεῖς δὲ, σῦτως ὄντες ἄποροι, καὶ τοσοῦτοι τὸ „πλῆθος, μισθοφόροις τοῖς στρατεύμασι πολεμοῦ„μεν, ὥσπερ καὶ βασιλεὺς ὁ μέγας." ἀλλὰ μὴν ὅτι γ' ἄψυχός ἐστιν ἡ διάλεκτος αὐτοῦ, καὶ οὐ παθητικὴ, πνεύματός τε, οὗ μάλιστα δεῖ τοῖς ἐναγωνίοις λόγοις, ἐλαχίστην ἔχουσα μοῖραν, οἶομαι μὲν ἔγωγε καὶ χωρὶς ὑπομνήσεως ἅπασιν εἶναι φανερόν. εἰ δ' ἄρα καὶ παραδειγμάτων δεῖ, πολλῶν ὄντων, ἃ τις ἂν εἰπεῖν ἔχοι, μιᾷ διανοίᾳ χρησάμενος ἀρκεσθήσομαι. διαδέχεται δὴ τὴν ὀλίγῳ πρότερον

Digitized by Google

ἐξέτασθεῖσαν ἀντίθεσιν ἑτέρα τοιαύτη τις ἀντίθεσις· „Καὶ τότε μέν, εἰ τριήρεις ἐπληροῦμεν, τοὺς „μὲν ξένους καὶ δούλους ναύτας ἐνεβιβάζομεν, τοὺς „δὲ πολίτας μεθ' ὅπλων ἐξεπέμπομεν· νῦν δὲ τοῖς „μὲν ξένοις ὁπλίταις χρώμεθα, τοὺς δὲ πολίτας „ἐλαύνειν ἀναγκάζομεν. ὥσθ', ὁπόταν ἀποβαίνω„σιν εἰς τὴν τῶν πολεμίων, οἱ μὲν ἄρχειν τῶν Ἑλ„λήνων ἀξιοῦντες, ὑπηρέσιον ἔχοντες ἐκβαίνουσιν· „οἱ δὲ τοιοῦτοι τὰς φύσεις ὄντες, οἵους ὀλίγῳ πρό„τερον εἶπον, μεθ' ὅπλων κινδυνεύουσιν." ἐν τούτοις οὐ μέμφομαι τὸν ἄνδρα τοῦ λήμματος· γενναία γὰρ ἡ διάνοια, καὶ δυναμένη κινῆσαι πάθος· τὸ δὲ τῆς λέξεως λεῖον καὶ μαλακὸν αἰτιῶμαι. τραχεῖαν γὰρ ἔδει καὶ πικρὰν εἶναι, καὶ πληγῇ τι παραπλήσιον ποιεῖν· ἡ δ' ἔστιν ὑγρὰ καὶ ὁμαλή, καὶ ὥσπερ ἔλαιον ἀψαφητὶ διὰ τῆς ἀκοῆς ῥέουσα, θέλγειν γέ τοι καὶ ἡδύνειν ζητοῦσα τὴν ἀκοήν. ἀλλ' ἐν τοῖς σχήμασιν ἔχει τοὺς ἀγῶνας, πολλοῖς οὖσι καὶ ποικίλοις· καὶ διὰ τούτων παθαίνει τοὺς ἀκούοντας; πολλοῦ γε καὶ δεῖ. τὰ γὰρ ἐκλύοντα μάλιστα τὴν δύναμιν αὐτοῖς, καὶ ἀποστρέφοντα τὴν ἀκοήν, τοῦτ' ἔστι τὰ μειρακιώδη πάρισα, καὶ τὰ ψυχρὰ ἀντίθετα, καὶ τὰ παραπλήσια τούτοις, αὐτίκα ἐν αὐτῇ ταύτῃ τῇ λέξει, περὶ ἧς ὁ λόγος. τό τε πρᾶγμα ὅλον ἐστὶν ἀντίκειται· καὶ τῶν περιόδων ἑκάστη δι' ἀντιθέτων κατεσκεύασται, ὥστ' ἀποκναίειν τοὺς ἀκούοντας ἀηδίᾳ καὶ κόρῳ. ὃ δὲ λέγω, τοιοῦτόν ἐστι. πάσης διανοίας καὶ περιόδου καὶ λήμματος αἵ τ' ἀρχαὶ καὶ αἱ ἐπιφοραὶ τοιαῦταί εἰσιν·

Digitized by Google

„Ἐκεῖνοι μὲν γάρ," „Ἡμεῖς δὲ," καὶ „Τοῦτο „μὲν," „Τοῦτο δέ." ταῦτ' ἀπὸ τῆς ἀρχῆς ἕως τελευτῆς κύκλῳ· καὶ τροπαὶ δὲ καὶ μεταβολαὶ, καὶ ποικιλίαι σχημάτων, ἃ πέφυκε λύειν τὸν τῆς διανοίας σκοπόν, οὐδαμοῦ. πολλὰ ἄν τις ἔχοι καὶ ἄλλα ἐπιτιμᾶν Ἰσοκράτει, τῶν περὶ τὴν διάλεκτον ἐλλειμμάτων. ἀλλὰ καὶ ταῦθ' ἱκανά.

21. Εἰσαγέσθω δὴ μετὰ τοῦτον ὁ Δημοσθένης, καὶ λαμβανέσθω πρὸς ἐκείνου λέξις ἐκ μιᾶς τῶν κατὰ Φιλίππου δημηγοριῶν, δι' ἧς καὶ αὐτὸς συγκρίνει τὰ καθ' ἑαυτὸν ἔργα τοῖς ἐπὶ τῶν προγόνων, καὶ τοὺς νέους δημαγωγοὺς τοῖς παλαιοῖς· οὐ καθ' ἓν ἔργον ἕκαστον ἀρχαῖον ἔργῳ καινῷ παρατιθεὶς, οὐδὲ πάντα μικρολογῶν συγκρίσει, ἀλλὰ ὅλῃ ποιούμενος ὅλην τὴν ἀντίθεσιν διεξοδικήν· οὕτως· „Καίτοι σκέψασθε, ὦ ἄνδρες Ἀθηναῖοι, ἃ τις ἂν „κεφάλαια εἰπεῖν ἔχοι, τῶν τ' ἐπὶ τῶν προγόνων „[ἔργων,] καὶ τῶν ἐφ' ἡμῶν. ἔσται δὲ βραχὺς [καὶ] „γνώριμος ὑμῖν ὁ λόγος. οὐ γὰρ ἀλλοτρίοις χρωμέ„νοις ὑμῖν παραδείγμασιν, ἀλλ' οἰκείοις, ὦ ἄνδρες „Ἀθηναῖοι, εὐδαίμοσιν ἔξεστι γίγνεσθαι. ἐκεῖνοι „τοίνυν, οἷς οὐκ ἐχαρίζοντο οἱ λέγοντες, οὐδ' ἐφί„λουν αὐτοὺς, ὥσπερ ὑμᾶς οὗτοι νῦν, πέντε μὲν „καὶ τετταράκοντα ἔτη τῶν Ἑλλήνων ἦρξαν ἑκόντων· „πλείω δ', ἢ μύρια τάλαντα εἰς τὴν ἀκρόπολιν „συνήγαγον· ὑπῆκουε δὲ ὃ ταύτην τὴν χώραν ἔχων „αὐτοῖς βασιλεύς, ὥσπερ ἐστὶ πρωσῆκον βάρβαρον „Ἕλλησι· πολλὰ δὲ καὶ καλὰ καὶ πεζοῖ καὶ ναυμα„χοῦντες ἔστησαν τρόπαια αὐτοὶ στρατευόμενοι·

Digitized by Google

„μόνοι δ' ἀνθρώπων κρείττω τὴν ἐπὶ τοῖς ἔργοις „δόξαν τῶν φθονούντων κατέλιπον. ἐπὶ μὲν δὴ „τῶν Ἑλληνικῶν ἦσαν τοιοῦτοι· ἐν δὲ τοῖς κατὰ „τὴν πόλιν αὐτὴν, θεάσασθε, ὁποῖοι ἔν [τε] τοῖς „κοινοῖς καὶ ἐν τοῖς ἰδίοις. δημοσίᾳ μὲν τοίνυν οἰ„κοδομήματα καὶ κάλλη τοσαῦτα καὶ τοιαῦτα κα„τεσκεύασαν ἡμῖν ἱερῶν καὶ τῶν ἐν τούτοις ἀναθη„μάτων, ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβο„λὴν λειφθῆναι. ἰδίᾳ δὲ οὕτω σώφρονες ἦσαν καὶ „σφόδρα ἐν τῇ τῆς πολιτείας ἤθει μένοντες, ὥστε τὴν „Ἀριστείδου καὶ Μιλτιάδου καὶ τῶν τότε λαμπρῶν οἰ„κίαν, εἴ τις ἄρ' οἶδεν ὑμῶν, ὁποία ποτ' ἐστὶν, ὁρᾷ „τῆς τοῦ γείτονος οὐδὲν σεμνοτέραν οὖσαν. οὐ γὰρ εἰς „περιουσίαν αὐτοῖς ἐπράττετο τὰ τῆς πόλεως, ἀλλὰ „τὸ κοινὸν αὔξειν ἕκαστος ᾤετο δεῖν. ἐκ δὲ τοῦ τὰ „μὲν Ἑλληνικὰ πιστῶς, τὰ πρὸς τοὺς θεοὺς εὐσε„βῶς, τὰ δ' ἐν αὐτοῖς ἴσως διοικεῖν, μεγάλην εἰκό„τως ἐκέκτηντο εὐδαιμονίαν. τότε μὲν δὴ τοῦτον „τὸν τρόπον εἶχε τὰ πράγματα [ἐκείνοις, χρωμέ„νοις, οἷς εἶπον, προστάταις. νυνὶ δὲ πῶς ὑμῖν „ὑπὸ τῶν χρηστῶν τῶν νῦν τὰ πράγματα] ἔχει; ἆρά „γε ὁμοίως καὶ παραπλησίως; τὰ μὲν ἄλλα σιωπῶ, „πολλὰ ἔχων εἰπεῖν· ἀλλ' ὅσης πάντες ὁρᾶτε ἐρη„μίας ἐπειλημμένοι, καὶ Λακεδαιμονίων μὲν ἀπο„λωλότων, Θηβαίων δ' ἀσχόλων ὄντων, τῶν δ' ἄλ„λων οὐδενὸς ὄντος ἀξιόχρεω περὶ τῶν πρωτείων „ὑμῖν ἀντᾶραι· ἔξὸν [δ'] ἡμῖν καὶ τὰ ἡμέτερα αὐ„τῶν ἀσφαλῶς ἔχειν, καὶ τὰ τῶν ἄλλων δίκαια „βραβεύειν, ἀπεστερήμεθα μὲν χώρας οἰκείας, πλείω

Digitized by Google

„δ' ἢ χίλια καὶ πεντακόσια τάλαντα ἀνηλώκαμεν
„εἰς οὐδὲν δέον· οὓς δ' ἐν τῷ πολέμῳ συμμάχους
„ἐκτησάμεθα, εἰρήνης οὔσης ἀπολωλέκασιν οὗτοι·
„ἐχθρὸν δ' ἐφ' ἡμᾶς αὐτοὺς τηλικοῦτον ἠσκήκαμεν.
„ἦ φρασάτω τις ἐμοὶ παρελθών; πόθεν ἄλλοθεν
„ἰσχυρὸς γέγονεν, ἢ παρ' ἡμῶν αὐτῶν, ὁ Φίλιπ-
„πος; ἀλλ' ὦ τῶν εἰ ταῦτα φαύλως, τό γ' ἐν αὐτῇ
„τῇ πόλει νῦν ἄμεινον ἔχει. καὶ τί δὴ εἰπεῖν τις
„ἔχοι τὰς ἐπάλξεις, ἃς κονιῶμεν, καὶ τὰς ὁδοὺς,
„ἃς ἐπισκευάζομεν, καὶ κρήνας, καὶ κλήρους; ἀπο-
„βλέψατε δὴ πρὸς τοὺς ταῦτα πολιτευομένους, ὡς
„οἱ μὲν ἐκ πτωχῶν πλούσιοι γεγόνασιν, οἱ δ' ἐξ
„ἀδόξων ἔντιμοι· ἔνιοι δὲ τὰς ἰδίας οἰκίας τῶν δη-
„μοσίων οἰκοδομημάτων σεμνοτέρας εἰσὶ κατεσκευ-
„ασμένοι· ὅσῳ δὲ τὰ τῆς πόλεως ἐλάσσω γέγονε,
„τοσούτῳ καὶ τούτων ηὔξηται. τί δὴ τὸ πάντων αἴ-
„τιον τούτων; καὶ τί δή ποτ' εἶχεν ἅπαντα καλῶς
„τότε, καὶ νῦν οὐκ ὀρθῶς; ὅτι τὸ μὲν πρῶτον καὶ
„στρατεύεσθαι τολμῶν αὐτὸς ὁ δῆμος δεσπότης τῶν
„πολιτευομένων ἦν, [καὶ κύριος αὐτὸς ἁπάντων
„τῶν ἀγαθῶν· καὶ ἀγαπητὸν ἦν] παρὰ τοῦ δήμου
„τῶν ἄλλων ἑκάστῳ καὶ τιμῆς καὶ ἀρχῆς καὶ ἀγα-
„θοῦ τινος μεταλαβεῖν. νῦν δὲ τοὐναντίον, κύριοι
„μὲν τῶν ἀγαθῶν οἱ πολιτευόμενοι, καὶ διὰ τούτων
„ἅπαντα πράττεται· ὑμεῖς δὲ, ὁ δῆμος, ἐκνενευρισ-
„μένοι καὶ περιῃρημένοι χρήματα, συμμάχους, ἐν
„ὑπηρέτου καὶ προσθήκης μέρει γεγένησθε, ἀγαπῶν-
„τες, ἂν μεταδῶσι θεωρικὸν ὑμῖν, ἢ βοΐδια πέμ-
„ψωσιν οὗτοι· καὶ, τὸ πάντων ἀνανδρότατον, τῶν

Digitized by Google

μὲν εἰρωνευόμενον, νῦν δ' ἀγανακτοῦντα, νῦν δὲ νεμεσῶντα· δεδιττόμενον αὖ καὶ θεραπεύοντα, καὶ νουθετοῦντα, καὶ παρορμῶντα, καὶ πάνθ', ἃ βούλεται ποιεῖν ἡ λέξις, ἀποδεικνύμενον ἐπὶ τῆς προφορᾶς. εἰ δὴ τὸ διὰ τοσούτων ἐγκαταμιγνύμενον τοῖς βιβλίοις πνεῦμα τοσαύτην ἰσχὺν ἔχει, καὶ οὕτως ἄγων ἐπὶ τῶν αὐτῶν, ἦ που τό τε ὑπερφυές τι καὶ δεινὸν χρῆμα ἦν ἐπὶ τῶν ἐκείνου λόγων.

23. Ἀλλὰ γάρ, ἵνα μὴ περὶ ταῦτα διατρίβων ἀναγκασθῶ παραλιπεῖν τι τῶν περιλειπομένων, Ἰσοκράτην μὲν, καὶ τὸν χαρακτῆρα τῆς ἀγωγῆς ἐκείνης εἰάσω, περὶ δὲ Πλάτωνος ἤδη διαλέξομαι τά γ' ἐμοὶ δοκοῦντα, μετὰ παῤῥησίας, οὐθὲν οὔτε τῇ δόξῃ τἀνδρὸς προστιθεὶς, οὔτε τῆς ἀληθείας ἀφαιρούμενος· καὶ μάλιστα ἐπεί τινες ἀξιοῦσι πάντων αὐτὸν ἀποφαίνειν φιλοσόφων τε καὶ ῥητόρων ἑρμηνεῦσαι τὰ πράγματα δαιμονιώτατον, παρακελεύονταί τε ἡμῖν ὅρῳ καὶ κανόνι χρῆσθαι καθαρῶν ἅμα καὶ ἰσχυρῶν λόγων τούτῳ τῷ ἀνδρὶ. ἤδη δέ τινων ἤκουσά ἐγὼ λεγόντων, ὡς, εἰ καὶ παρὰ θεοῖς διάλεκτός ἐστιν, ᾗ τὸ τῶν ἀνθρώπων κέχρηται γένος, οὐκ ἄλλως ὁ βασιλεὺς ὢν αὐτῶν διαλέγεται θεός, ἢ ὡς Πλάτων. πρὸς δὴ τοιαύτας ὑπολήψεις καὶ τερατείας ἀνθρώπων ἡμιτελῶν περὶ λόγους, οἳ τὴν εὐγενῆ κατασκευὴν οὐκ ἴσασιν, ἥτις ποτ' ἐστὶν, οὐδὲ δύνανται . . . . . πᾶσαν εἰρωνείαν ἀφεὶς, ὡς πέφυκα, διαλέξομαι. ὃν δ' ἀξιῶ τρόπον ποιήσασθαι τὴν ἐξέτασιν αὐτοῦ, βούλομαι προειπεῖν. ἐγὼ τὴν μὲν ἐν τοῖς διαλόγοις δεινότητα τοῦ

Digitized by Google

ἀνδρὸς, καὶ μάλιστα ἐν οἷς ἂν φυλάττῃ τὸν Σωκρατικὸν χαρακτῆρα, ὥσπερ ἐν τῷ Φιλήβῳ, πάνυ ἄγαμαί τε καὶ τεθαύμακα· τῆς δ' ἀπειροκαλίας αὐτὸν οὐδεπώποτ' ἐζήλωσα τῆς ἐν ταῖς ἐπιθέτοις κατασκευαῖς, ὥσπερ ἔφην καὶ πρότερον, καὶ πάντων ἥκιστα ἐν οἷς ἂν εἰς πολιτικὰς ὑποθέσεις συγκαθεὶς ἐγκώμια καὶ ψόγους, κατηγορίας τε καὶ ἀπολογίας ἐπιχειρῇ γράφειν. ἕτερος γάρ τις αὐτοῦ γίνεται τότε, καὶ καταισχύνει τὴν φιλόσοφον ἀξίωσιν· καί μοι γε πολλάκις ἐπῆλθεν εἰπεῖν ἐπὶ τῶν τοιούτων αὐτοῦ λόγων, ὃ πεποίηται παρ' Ὁμήρῳ πρὸς τὴν Ἀφροδίτην ὁ Ζεὺς λέγων·

Οὔ τοι, τέκνον ἐμόν, δέδοται πολεμήϊα ἔργα·
Ἀλλὰ σὺ γ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο.

Σωκρατικῶν διαλόγων· ταῦτα δὲ πολιτικοῖς καὶ ῥήτορσιν ἀνδράσι μελήσει. ποιοῦμαι δὲ τῆς ἐμαυτοῦ δόξης κοινοὺς κριτὰς τοὺς φιλολόγους ἅπαντας· ὑπεξαιρούμενος, εἴ τινές εἰσι φιλότιμοι, καὶ πρὸς τὰς δόξας, ἀλλὰ μὴ πρὸς τὴν ἀλήθειαν, κρίνοντας τὰ πράγματα. τὸ μὲν οὖν ἐκλέγειν ἐξ ἁπάντων αὐτοῦ τῶν λόγων, εἴ τι κάκιστον εἴρηται, ὃ ποιοῦσιν ἕτεροί τινες, κἄπειτα τούτοις ἀντιπαρατιθέναι τὴν κράτιστα ἔχουσαν Δημοσθένους λέξιν, οὐκ ἐδοκίμαζον· τὸ δ' ἐκ τῶν ἀμφοτέρων μάλιστα εὐδοκιμούντων, ταῦτα παρ' ἄλληλα θεὶς, ἐξετάζειν τὰ κρείττω, τοῦτ' ἔδοξεν εἶναι δίκαιον· καὶ ἐπ' αὐτὸ δὴ τρέμομαι τὸ μέρος. δικανικὸς μὲν οὖν λόγος εἷς ἐστι Λυσίου, Σωκράτους ἀπολογία, δικαστηρίου μέν, ἢ ἀγορᾶς, οὐδὲ θύρας ἰδών, καὶ ἄλλην δέ τινα βού-

Digitized by Google

λησιν γεγραμμένος, οὔτ' ἐν λόγοις τόπον ἔχων, οὔτ' ἐν διαλόγοις· τοῦτο μὲν οὖν ἐᾷ· δημηγορία δ' οὐδεμία· πλὴν εἴ τις ἄρα τὰς ἐπιστολὰς βούλεται δημηγορίας καλεῖν· ἀφίστωσαν δὴ καὶ αὐταί. ἐγκώμια δ' ἐν τῷ συμποσίῳ πολλὰ μὲν ἔρωτος· ὧν ἔνια οὐκ ἄξια σπουδῆς οὐδὲ Σωκράτους, ὁποῖόν τι δή ποτε. νῦν δ' οὐδὲν δέομαι περὶ τούτου λέγειν. κράτιστος δὴ πάντων τῶν πολιτικῶν λόγων ὁ Μενέξενος, ἐν ᾧ τὸν ἐπιτάφιον διεξέρχεται λόγον, ὡς μὲν ἐμοὶ δοκεῖ, Θουκυδίδην παραμιμούμενος· ὡς δ' αὐτός φησιν, Ἀρχῖνον καὶ Λίωνα. τοῦτον δὴ παραλήψομαι τὸν λόγον, καὶ παρ' αὐτὸν ἐξετάσω Δημοσθένους λέξεις τινάς· οὐκ ἐκ τούτου· τὸν μὲν γὰρ οὐχ ἡγοῦμαι ὑπ' ἐκείνου τοῦ ἀνδρὸς γεγράφθαι· ἀλλ' ἐκ τῶν ἄλλων αὐτοῦ λόγων, ὅσοι περί τε τοῦ καλοῦ καὶ τῆς ἀρετῆς εἴρηνται· μᾶλλον δ' ἐξ ἑνὸς ἀγῶνος· οὐ γὰρ ἔχω καιρὸν ὅσοις βούλομαι παραδείγμασι χρήσασθαι, πάντων μάλιστα βουληθεὶς ἄν. τοιοῦτος μὲν οὖν τις ὁ τρόπος ἔσται μοι τῆς συγκρίσεως.

24. Λαμβανέσθω δὴ πρότερος Πλάτων. καὶ ἐπειδὴ μέγα φρονεῖν ἔοικεν ἐπὶ τῇ ἀκριβείᾳ καὶ σεμνότητι ὀνομάτων, ταῦτα ἐπὶ τῶν αὐτοῦ βασανίσω, ἀρξάμενος, ὅθεν περ κἀκεῖνος, τοῦ λόγου· „Ἔργῳ μὲν ἡμῖν οἶδε ἔχουσι τὰ προσήκοντα σφίσιν „αὐτοῖς· ὧν τυχόντες, πορεύονται τὴν εἱμαρμένην „πυρείαν." ἡ μὲν εἰσβολὴ θαυμαστὴ καὶ πρέπουσα τοῖς ὑποκειμένοις πράγμασι, κάλλους τ' ὀνομάτων ἕνεκα, καὶ σεμνότητος, καὶ ἁρμονίας· τὰ δ'

Digitized by Google

ἐπιλεγόμενα οὐκέθ' ὅμοια τοῖς πρώτοις αὐτίκα· „Προπεμφθέντες κοινῇ μὲν ὑπὸ τῆς πόλεως, ἰδίᾳ „δὲ ὑπὸ τῶν οἰκείων." ἐν γὰρ τῷ, „Πάντα τὰ „προσήκοντα σφίσιν αὐτοῖς ἔχειν θαπτομένους," ἐνῆν καὶ τὸ „Προπεμφθῆναι τὰ σώματ' αὐτῶν ἐπὶ „τὰς ταφὰς δημοσίᾳ τε καὶ ἰδίᾳ." ὥστ' ἀναγκαῖον, ἦν πάλιν ταὐτὸ λέγειν· εἰ μὴ κράτιστον . . . τῶν περὶ τὰς ταφὰς νομίμων τοῦτο ὑπελάμβανεν ὁ ἀνὴρ εἶναι· λέγω δὴ τὸ παρεῖναι πολλοὺς ταῖς ἐκκομιδαῖς· καὶ οὐθὲν ἄτοπον ἐδόκει ποιεῖν συμπεριλαβὼν τ' αὐτὸ τοῖς ἄλλοις, καὶ χωρὶς ὑπὲρ αὐτοῦ μόνου λέγων. ἠλίθιος ἄρα τις ἦν, εἰ τοῦτον ἐδόκει τελευτήσασι λαμπρότατον εἶναι τῶν κόσμων, οἷς ἡ πόλις αὐτοὺς ἐκόσμει· ἵνα γὰρ ἀφῶ πάντα τὰ ἄλλα, τὸ δημοσίᾳ γηροτροφεῖσθαι τοὺς υἱεῖς ἕως ἔβης, πόσῳ κρεῖττον ἦν τοῦ προπέμπεσθαι τὰ σώματα δημοσίᾳ; ἐμοὶ μὲν δοκεῖ μακρῷ. οὐκοῦν οὐκ ἀναγκαία Πλάτωνι ἡ προσθήκη. ἀλλ' ἆρα γ' εἰ μὴ τοῦ ἀναγκαίου, κάλλους γε, ἢ τῶν ἄλλων τινὸς τῶν ἐπιθέτων ἕνεκα κώμων, παρείληπται τὸ κῶλον αὐτῷ τουτί; πολλοῦ γε καὶ δεῖ· προσδιαφθείρει καὶ τὴν πρὸ αὐτῆς περίοδον, λυμαίνεται γοῦν τήν τε συμμετρίαν αὐτῆς καὶ τὴν εὐφωνίαν. νῦν μὲν γὰρ δύσὸ περιλαμβάνομένη κώλοις, σύμμετρός ἐστι καὶ ἐναρμόνιος καὶ στογγύλη, καὶ βάσιν εἴληφεν ἀσφαλῆ· ἐὰν δὲ προσλάβῃ τουτὶ κῶλον, ἅπαντα ταῦτ' ἀπεκρίθησαν, καὶ μεταλήμψεται τὸν ἱστορικὸν ἀντὶ τοῦ λογικοῦ τύπον. εἰ δὲ χωρίσαντες τοῦτο τὸ κῶλον ἀπὸ τῶν προηγουμένων, αὐτὸ καθ' αὑτὸ ἐξοίσομεν,

Digitized by Google

ἀναγκαίου, τέλος ἤδη τῆς διανοίας ἐχούσης, προσείληπται τὸ „Παρὰ τῶν ἀκουσάντων.“ ἆρά γε ὁμοίως ἡρμήνευται ὁ αὐτὸς νοῦς οὗτοσὶ τοῖς ποιηταῖς, οὓς περιφρονεῖ καὶ ἀπελαύνει τῆς πολιτείας ὁ φιλόσοφος· ἢ κάλλιον καὶ γενναιότερον; „Πρέπει „δ' ἐσθλοῖσιν ὑμνεῖσθαι καλλίσταις ἀοιδαῖς. τοῦτο „γὰρ ἀθανάτοις τιμαῖσι ποτιψαύει μόνον ῥηθέν· „θνάσκει δὲ σιγαθὲν καλὸν ἔργον.“ Πίνδαρος τοῦτο πεποίηκεν εἰς Ἀλέξανδρον τὸν Μακεδόνα, περὶ τὰ μέλη καὶ τοὺς ῥυθμοὺς μᾶλλον, ἢ περὶ τὴν λέξιν, ἐσπουδακώς· Πλάτων δὲ, ὃς ἐπαγγέλλεται σοφίαν, τρυφεροῖς καλλωπίζει καὶ περιέργοις σχήμασι τὴν φράσιν. καὶ οὔπω τοῦθ' ἱκανόν· ἀλλὰ καὶ ἐν τῇ μετ' αὐτὴν περιόδῳ τὰ αὐτὰ ποιῶν φανήσεται. φησὶ γάρ· „Δεῖ δὴ τοιούτου τινὸς λόγου, ὅστις τοὺς „μὲν τετελευτηκότας ἱκανῶς ἐπαινέσει, τοῖς δὲ ζῶ„σιν εὐμενῶς παραινέσει.“ οὐκοῦν ἐπίῤῥημα ἐπιῤῥήματι παράκειται, καὶ ῥήματι ῥῆμα· τὸ μὲν „Ἱκανῶς“ τῷ „Εὐμενῶς,“ τῷ δ' „Ἐπαινέσει“ τὸ „Παραινέσει,“ καὶ ταῦτα τὰ πάρισα; οὐ Λιμύμνιοι ταῦτ' εἰσὶν, οὐδ' Ἀγάθωνες, οἱ λέγοντες ὕβριν ἢ πρὶν μισθῷ πρόθεν, ἢ μόχθον πατρίδων· ἀλλ' ὁ δαιμόνιος ἑρμηνεῦσαι Ἰλιέων. καὶ οὐ τοῖς σχήμασιν ἐπιτιμῶ· φέρει γάρ ποτε καὶ ταῦτα τοῖς λόγοις ὥραν οὐ χαρ . . . . . οὐδ' αὐτὴν τὴν ἐπιτήδευσιν αὐτῶν καὶ τὴν ἀκαιρίαν αὐτῶν· καὶ μάλιστα ὅταν ὑπὸ τοιούτου γένηται ἀνδρὸς, ᾧ κανόνι ὀρθοεπείας χρήσασθαι ἀξιοῦμεν. ἐν γὰρ δὴ τῷ αὐτῷ λόγῳ τούτῳ κἀκεῖνά ἐστιν· „Ὧν δ' οὔτε ποιητής πω

Digitized by Google

„δόξαν ἀξίαν ἐπ᾽ ἀξίοις λαβὼν ἔχει.“ καὶ αὖθις· „Τειχισαμένη δὲ, καὶ ναυπηγησαμένη, ἐκδεξαμένη „τὸν πόλεμον.“ καὶ ἔτι· „Ὧν ἕνεκα καὶ πρῶτον, „καὶ ὕστατον, καὶ διὰ παντὸς, πᾶσαν πάντως προ„θυμίαν πειρᾶσθε ἔχειν.“ καὶ πάλιν· „Φέροντες „μὲν τὰς συμφορὰς ἀνδρείως, δόξουσι τῷ ὄντι ἀν„δρείων παίδων πατέρες εἶναι.“ κἀκεῖνά γέ τοι· „Τοὺς μὲν παιδεύοντες κοσμίως, τοὺς δὲ γηροτρο„φοῦντες ἀξίως.“ καὶ πάλιν που· „Καὶ αὐτὸς „δέομαι ὑπὲρ ἐκείνων, τῶν μὲν, μιμεῖσθαι τοὺς „ἑαυτῶν, τῶν δ᾽, ἐγκαρτερεῖν ὑπὲρ ἑαυτῶν.“ καὶ ταυτί· „Πολιτεία γὰρ ἀνθρώπων τροφός ἐστι· καὶ „ἡ μὲν ἀγαθὴ ἀγαθῶν· μὴ καλὴ δὲ, κακῶν.“ κἀκεῖνα δ᾽ ἔτι· „Νικήσαντες μὲν τοὺς πολεμίους, „λυσάμενοι δὲ τοὺς φίλους, ἀναξίου τύχης τυχόν„τες.“ πολύς ἐστι τῶν τοιούτων σχημάτων ὄχλος δι᾽ ὅλου τοῦ ἐπιταφίου. ἀλλ᾽ ἐάσας τὸ περὶ τούτων ἀκριβολογεῖν, ἐπ᾽ ἐκεῖνά τ᾽ ἐλεύσομαι, καί μοι πάνυ μὲν αἰδουμένῳ καὶ ὀκνοῦντι εἰπεῖν, ὅμως δ᾽ εἰρήσεται, ὅτι παχύτητος καὶ ἀδυναστίας ἔδοξεν εἶναι μηνύματα τὰ τοιαῦτα.

27. Προειπὼν γὰρ ὁ ἀνὴρ ποιόν τι σχῆμα λαβεῖν ἁρμόττει τὸν λόγον, ἐπιτίθησι ταυτί· „Ἐπὶ „[δὲ] τούτοις τὴν τῶν ἔργων πρᾶξιν ἐπιδείξομεν, „ὡς καλὴν [καὶ] ἀξίαν ἀποφηναμένην.“ οὐκ οἶδα, εἴ τις ἂν ἠξίωσεν εἰπεῖν τῶν τὴν λεπτὴν καὶ ἀκριβῆ καὶ καθαρὰν διάλεκτον ἐπιτηδευόντων, πράττεται μὲν γὰρ τὰ πράγματα, ἐργάζεται δὲ τὰ ἔργα, ἀποφάσεως δ᾽ ἀξιοῦνται τὰ ἄλῆπτα. τοῦτο μὲν δὴ παχὺ

Digitized by Google

εἴρηται· τὸ τὸν τούτῳ λεγόμενον ἐνθύμημα, ἀσθενέστερον. διὰ μακροῦ τε γὰρ, καὶ ἀκατάλληλον, καὶ οὔτε δεινότητα ἔχον, οὔτε σύνταξιν· „Τῆς δ' εὐγε„νείας πρῶτον ὑπῆρξε τοῖσδε ἡ τῶν προγόνων γέν„νις, οὐκ ἐπήλυς οὖσα, οὐδὲ τοὺς ἐκγόνους τούτους „ἀποφῆναμένη μετοικοῦντας ἐν τῇ χώρᾳ, ἄλλοθεν „σφῶν ἡκόντων, ἀλλ' αὐτόχθονας καὶ τῷ ὄντι πα„τρίδα οἰκοῦντας· καὶ ζῶντας καὶ τρεφομένους „οὐχ ὑπὸ μητρυιᾶς, ὡς οἱ ἄλλοι, ἀλλ' ὑπὸ μητρὸς „τῆς χώρας, ἐν ᾗ ᾤκουν· καὶ νῦν κεῖσθαι τελευτή„σαντας ἐν οἰκείοις τόποις, τῆς τεκούσης τε καὶ „θρεψάσης καὶ ὑποδεξαμένης.“ ποῖον ἔθνος ἀνθρώπων, καθαρᾷ διαλέκτῳ χρώμενον, ἐρεῖ γένεσιν, τὴν μὲν, αὐτόχθονα, τὴν δ', ἐπήλυδα; ἡμῖν γὰρ δή τι συμβεβηκός ἐστι τὸ εἶναι αὐτόχθοσιν, ἢ μὴ ἐπιχωρίοις, οὐχὶ τῇ γενέσει. δύναται γοῦν τις ἀλλαχῇ γενόμενος ἀνὴρ, ἑτέρωσε μετοικῆσαι. ἢ τίς ἂν ἀξιώσειε τῶν εὖ διαλέγεσθαι σπουδαζόντων εἰπεῖν, ὅτι ἡ γένεσις ἡ τῶν προγόνων τοὺς ὕστερον γεννησομένους ἀπεφήνατο αὐτόχθονας καὶ μὴ μετοίκους εἶναι τῆς χώρας, ἐν ᾗ ἐγένοντο; οὔτε γὰρ ἡ γένεσις αὐτή τι ἀποφαίνεσθαι φύσιν ἔχει, οὔτε μετοικεῖν τις, ἐν ᾗ ἂν γένηται· ἀλλ' ἀποφαινόμεθα μὲν ἡμεῖς τὰ λεκτά, μετοικοῦσι δ' οἱ ἐξ ἄλλης ἀφικόμενοι χώρας ἐν τῇ ὑποδεξαμένῃ. τίς δὲ βουλόμενος σώζειν τὴν ἀκολουθίαν, εἶπε τὴν γένεσιν· καὶ περὶ ταύτης τὸν λόγον ἀποδιδοὺς ἐπιζεύξειεν ἂν τό· „Ἄλλοθεν „σφῶν ἡκόντων.“ τὸ ἀῤῥενικὸν τῷ θηλυκῷ, καὶ τὸ ἑνικὸν τῷ πληθυντικῷ; ἦν γὰρ δή που κατάλληλος

Digitized by Google

ὁ λόγος, εἰ πρὸς τὴν γένεσιν ἀναφέρων, ὑπὲρ ἧς ὁ λόγος ἦν, ἐπέθηκεν· „Ἄλλοθεν αὐτῆς ἠκούσης·“ ἐπὶ δὲ τῶν ἀνδρῶν μέλλων ποιεῖσθαι τὸν λόγον, ἐξ ἀρχῆς οὕτως ἂν κατεστήσατο τὴν φράσιν· „Τῆς δ' „εὐγενείας πρῶτον ὑπῆρξαν τοῖσδε οἱ πρόγονοι, „οὐχὶ ἐπήλυδες ὄντες, οὐδὲ τοὺς ἐκγόνους τούτους „ἀποφήναντες μετοικοῦντας ἐν τῇ χώρᾳ, ἄλλοθεν „σφᾶς ἥκοντας, ἀλλ' αὐτόχθονας.“

28. Ἄξιον δὲ, ὃ καὶ περὶ τῆς εὐγενείας τῶν ἀνδρῶν εἴρηκε, τὴν χώραν πρῶτον ἐπαινῶν, ἐξ ἧς ἐγένοντο, μὴ παρέργως ἰδεῖν. φησὶ δὲ, Θεοφιλῆ αὐτὴν εἶναι· καὶ παρέχεται τούτου μάρτυρας τοὺς ἀμφισβητήσαντας περὶ αὐτῆς θεούς, κοινόν τι πρᾶγμα, καὶ ὑπὸ πάντων σχεδὸν τῶν ἐπαινεσάντων τὴν πόλιν εἰρημένον. καὶ οὐ τοῦτο συκοφαντεῖν ἄξιον, ἀλλὰ, πῶς ἡρμήνευκεν αὐτὴν, καταμαθεῖν· „Μαρ„τυρεῖ δ' ἡμῖν τῷ λόγῳ ἡ τῶν ἀμφισβητησάντων „περὶ αὐτῆς θεῶν ἔρις. ἦν δὲ θεοὶ ἐπῄνεσαν, πῶς „οὐχ ὑπ' ἀνθρώπων γε συμπάντων δικαίως ἐπαινεῖ„σθαι;“ ταπεινὴ μοι δοκεῖ καὶ ἄζηλος ἡ λέξις, καὶ οὐδὲν ἔχουσα τῆς περιμαχήτου πόλεως ἄξιον, ὡς ἐμοὶ δοκεῖ. ποῖος γὰρ ἐνθάδε πλοῦτος ὀνομάτων; ποία σεμνότης; ποῖον ὕψος; τί οὐ μαλακώτερον τῆς ἀξίας; τί δ' οὐκ ἐνδεέστερον τῆς ἀληθείας; οὕτως ἐχρῆν ὑπὸ Πλάτωνος εἰρῆσθαι τῆς Ἀθηνᾶς καὶ Ποσειδῶνος ὑπὲρ τῆς Ἀττικῆς στάσιν, ἔριν τε, καὶ κρίσιν; οὕτως τὸν ἔρωτα, ὃν ἔσχον οἱ θεοὶ τῶν ἐν αὐτῇ τιμῶν, εἰς φαῦλόν τι καὶ μέτριον ῥῆμα ἀγαγεῖν; „Ἵν δὲ θεοὶ ἐπῄνεσαν,“ εἰπόντα· ἀλλὰ

Digitized by Google

τὴν μάχην. ἔστι δὲ τάδε· „Φράσω δὲ ὑμῖν, ἅ τε „αὐτῶν ἤκουσα ἐκείνων, καὶ οἷα νῦν ἡδέως [ἄν] „εἴποιεν ὑμῖν, ἀναλαβόντες δύναμιν· τεκμαιρόμε„νος ἐξ ὧν τότ' ἔλεγον. ἀλλὰ χρὴ νομίζειν ἀκούειν „αὐτῶν ἐκείνων, ἃ [ἄν] ἀπαγγέλλω. ἔστι δὲ τάδε· ὦ „παῖδες, ὅτι μέν ἐστε πατέρων ἀγαθῶν, αὐτὸ μη„νύει τὸ νῦν παρόν. ἡμῖν γὰρ ἐξὸν ζῆν μὴ καλῶς, „[καλῶς] αἱρούμεθα μᾶλλον τελευτᾶν, πρὶν ὑμᾶς „τε καὶ τοὺς ἔπειτα εἰς ὀνείδη καταστῆσαι, καὶ πρὶν „τοὺς ἡμετέρους πατέρας καὶ πᾶν τὸ πρόσθεν γέ„νος αἰσχῦναι· ἡγούμενοι τῷ τοὺς αὑτοῦ αἰσχύνον„τι ἀβίωτον εἶναι, καὶ τῷ τοιούτῳ οὔτε τινὰ ἀν„θρώπων, οὔτε θεῶν, φίλον εἶναι, οὔτ' ἐπὶ γῆς, „οὔθ' ὑπὸ γῆς τελευτήσαντι. χρὴ οὖν μεμνημένους „τῶν ἡμετέρων λόγων, ἤν τι καὶ ἄλλο ἀσκῆτε, „ἀσκεῖν μετ' ἀρετῆς· εἰδότας, ὅτι τούτου λειπόμενα „πάντα καὶ κτήματα καὶ ἐπιτηδεύματα, αἰσχρὰ καὶ „κακά. οὔτε γὰρ πλοῦτος κάλλος φέρει τῷ κεκτημέ„νῳ ἀνδρίαν· ἄλλοις γὰρ ὁ τοιοῦτος πλουτήσει, καὶ „οὐχ ἑαυτῷ· οὔτε κάλλος σώματος, οὔτ' ἰσχὺς, δει„λῷ καὶ κακῷ ξυνοικοῦντα, πρέποντα φαίνεται, „ἀλλ' ἀπρεπῆ, καὶ ἐπιφανεστέραν ἔχοντα τὴν δει„λίαν· πᾶσά τε ἐπιστήμη χωριζομένη δικαιοσύνης „καὶ τῆς ἄλλης ἀρετῆς, πανουργία, [ἀλλ'] οὐ σοφία „γίνεται. ὧν ἕνεκα πρῶτα καὶ ὕστατα καὶ διὰ παν„τὸς πᾶσαν πάντως προθυμίαν πειρᾶσθε ἔχειν, „ὅπως μάλιστα μὲν ὑπερβαλεῖσθε καὶ ἡμᾶς καὶ „τοὺς πρόσθεν εὐκλείᾳ· εἰ δὲ μὴ, ἴστε, ὡς ἡμῖν, ἂν „μὲν νικῶμεν ὑμᾶς ἀρετῇ, ἡ νίκη αἰσχύνην φέρει·

Digitized by Google

„ἢ δὲ ἧττα, ἐὰν ἡττώμεθα, εὐδαιμονίαν. μᾶλλον δ'
„ἂν νικῶμεθα, καὶ ὑμεῖς νικῶητε, εἰ παρασκευάσε-
„σθε τῇ τῶν προγόνων δόξῃ μὴ καταχρησάμενοι,
„μηδ' ἀναλώσαντες ταύτην· γνόντες, ὅτι ἀνδρὶ,
„οἰομένῳ τι εἶναι, οὐκ ἔστιν αἴσχιον [οὐδέν,] ἢ
„παρέχειν ἑαυτὸν τιμώμενον μὴ δι' αὐτὸν, ἀλλὰ διὰ
„δόξαν προγόνων. εἶναι μὲν γὰρ τιμὰς γονέων ἐκγό-
„νοις, καλὸς θησαυρὸς καὶ μεγαλοπρεπής· κατα-
„χρήσασθαι δὲ χρημάτων καὶ τιμῶν θησαυρῷ, καὶ
„μὴ τοῖς ἐκγόνοις παραδιδόναι, αἰσχρὸν καὶ ἄναν-
„δρον, ἀπορίᾳ ἰδίων αὐτοῦ κτημάτων τε καὶ εὐδο-
„ξιῶν. καὶ ἢν μὲν ταῦτα ἐπιτηδεύσητε, φίλοι παρὰ
„φίλους ἡμᾶς ἀφίξεσθε, ὅταν [δὴ] ὑμᾶς ἡ προσή-
„κουσα μοῖρα κομίσῃ· ἀμελήσαντες δὲ ὑμᾶς καὶ
„κακισθέντας, οὐδεὶς εὐμενῶς ὑποδέξεται. τοῖς μὲν
„οὖν παισὶ ταῦτ' εἰρήσθω. πατέρας [δὲ ἡμῶν, οἷς
„εἰσι, καὶ μητέρας] ἀεὶ χρὴ παραμυθεῖσθαι, ὡς
„[χρὴ] ῥᾷστα φέρειν τὴν συμφοράν, [ἐὰν ἄρα ξυμβῇ
„γενέσθαι, καὶ μὴ ξυνοδύρεσθαι· οὐ γὰρ] τοῦ λυ-
„πήσαντος προσδεήσονται· ἱκανὴ γὰρ ἔσται καὶ ἡ
„γενομένη τύχη τοῦτο πορίζειν. ἀλλ' ἰωμένους καὶ
„παραῦνοντας, ἀναμιμνήσκειν αὐτοὺς, ὅτι, ὧν εὖ-
„χοντο, τὰ μέγιστα αὐτοῖς οἱ θεοὶ ἐπήκοοι γεγόνα-
„σιν. οὐ γὰρ ἀθανάτους σφίσι [τοὺς] παῖδας εὔ-
„χοντο γενέσθαι, ἀλλ' ἀγαθοὺς καὶ εὐκλεεῖς· ὧν
„ἔτυχον, μεγίστων ἀγαθῶν ὄντων· πάντα δ' σὺ
„ῥᾴδιον θνητῷ ἀνδρὶ κατὰ νοῦν ἐν τῷ σφετέρῳ βίῳ
„ἐκβαίνειν. καὶ φέροντες μὲν τὰς συμφορὰς ἀνδρεί-
„ως, δόξουσι τῷ ὄντι ἀνδρείων παίδων πατέρες εἶ-

Digitized by Google

τὴν μάχην. ἔστι δὲ τάδε· „Φράσω δὲ ὑμῖν, ἃ τε „αὐτῶν ἤκουσα ἐκείνων, καὶ οἷα νῦν ἡδέως [ἄν] „εἴποιεν ὑμῖν, ἀναλαβόντες δύναμιν· τεκμαιρόμε„νος ἐξ ὧν τότ' ἔλεγον. ἀλλὰ χρὴ νομίζειν ἀκούειν „αὐτῶν ἐκείνων, ἃ [ἄν] ἀπαγγέλλω. ἔστι δὲ τάδε· ὦ „παῖδες, ὅτι μέν ἐστε πατέρων ἀγαθῶν, αὐτὸ μη„νύει τὸ νῦν παρόν. ἡμῖν γὰρ ἔξὸν ζῆν μὴ καλῶς, „[καλῶς] αἱρούμεθα μᾶλλον τελευτᾶν, πρὶν ὑμᾶς „τε καὶ τοὺς ἔπειτα εἰς ὀνείδη καταστῆσαι, καὶ πρὶν „τοὺς ἡμετέρους πατέρας καὶ πᾶν τὸ πρόσθεν γέ„νος αἰσχῦναι· ἡγούμενοι τῷ τοὺς αὑτοῦ αἰσχύνον„τι ἀβίωτον εἶναι, καὶ τῷ τοιούτῳ οὔτε τινὰ ἀν„θρώπων, οὔτε θεῶν, φίλον εἶναι, οὔτ' ἐπὶ γῆς, „οὔθ' ὑπὸ γῆς τελευτήσαντι. χρὴ οὖν μεμνημένους „τῶν ἡμετέρων λόγων, ἤν τι καὶ ἄλλο ἀσκῆτε, „ἀσκεῖν μετ' ἀρετῆς· εἰδότας, ὅτι τούτου λειπόμενα „πάντα καὶ κτήματα καὶ ἐπιτηδεύματα, αἰσχρὰ καὶ „κακά. οὔτε γὰρ πλοῦτος κάλλος φέρει τῷ κεκτημέ„νῳ ἀνδρίαν· ἄλλοις γὰρ ὁ τοιοῦτος πλουτήσει, καὶ „οὐχ ἑαυτῷ· οὔτε κάλλος σώματος, οὔτ' ἰσχὺς, δει„λῷ καὶ κακῷ ξυνοικοῦντα, πρέποντα φαίνεται, „ἀλλ' ἀπρεπῆ, καὶ ἐπιφανεστέραν ἔχοντα τὴν δει„λίαν· πᾶσά τε ἐπιστήμη χωριζομένη δικαιοσύνης „καὶ τῆς ἄλλης ἀρετῆς, πανουργία, [ἀλλ'] οὐ σοφία „γίνεται. ὧν ἕνεκα πρῶτα καὶ ὕστατα καὶ διὰ παν„τὸς πᾶσαν πάντως προθυμίαν πειρᾶσθε ἔχειν, „ὅπως μάλιστα μὲν ὑπερβαλεῖσθε καὶ ἡμᾶς καὶ „τοὺς πρόσθεν εὐκλείᾳ· εἰ δὲ μὴ, ἴστε, ὡς ἡμῖν, ἂν „μὲν νικῶμεν ὑμᾶς ἀρετῇ, ἡ νίκη αἰσχύνην φέρει·

Digitized by Google

„ἢ δὲ ἧττα, ἐὰν ἡττώμεθα, εὐδαιμονίαν. μᾶλλον δ'
„ἂν νικῶμεθα, καὶ ὑμεῖς νικῶητε, εἰ παρασκευάσε-
„σθε τῇ τῶν προγόνων δόξῃ μὴ καταχρησάμενοι,
„μηδ' ἀναλώσαντες ταύτην· γνόντες, ὅτι ἀνδρὶ,
„οἰομένῳ τι εἶναι, οὐκ ἔστιν αἴσχιον [οὐδέν,] ἢ
„παρέχειν ἑαυτὸν τιμώμενον μὴ δι' αὐτὸν, ἀλλὰ διὰ
„δόξαν προγόνων. εἶναι μὲν γὰρ τιμὰς γονέων ἐκγό-
„νοις, καλὸς θησαυρὸς καὶ μεγαλοπρεπής· κατα-
„χρήσασθαι δὲ χρημάτων καὶ τιμῶν θησαυρῷ, καὶ
„μὴ τοῖς ἐκγόνοις παραδιδόναι, αἰσχρὸν καὶ ἄνανδ-
„ρον, ἀπορίᾳ ἰδίων αὐτοῦ κτημάτων τε καὶ εὐδο-
„ξιῶν. καὶ ἢν μὲν ταῦτα ἐπιτηδείσητε, φίλοι παρὰ
„φίλους ἡμᾶς ἀφίξεσθε, ὅταν [δὴ] ὑμᾶς ἡ προσή-
„κουσα μοῖρα κομίσῃ· ἀμελήσαντες δὲ ὑμᾶς καὶ
„κακισθέντας, οὐδεὶς εὐμενῶς ὑποδέξεται. τοῖς μὲν
„οὖν παισὶ ταῦτ' εἰρήσθω. πατέρας [δὲ ἡμῶν, οἷς
„εἰσι, καὶ μητέρας] ἀεὶ χρὴ παραμυθεῖσθαι, ὡς
„[χρὴ] ῥᾷστα φέρειν τὴν συμφοράν, [ἐὰν ἄρα ξυμβῇ
„γενέσθαι, καὶ μὴ ξυνοδύρεσθαι· οὐ γὰρ] τοῦ λυ-
„πήσαντος προσδεήσονται· ἱκανὴ γὰρ ἔσται καὶ ἡ
„γενομένη τύχη τοῦτο πορίζειν. ἀλλ' ἰωμένους καὶ
„παραῦνοντας, ἀναμιμνήσκειν αὐτοὺς, ὅτι, ὧν εὔ-
„χοντο, τὰ μέγιστα αὐτοῖς οἱ θεοὶ ἐπήκοοι γεγόνα-
„σιν. οὐ γὰρ ἀθανάτους σφίσι [τοὺς] παῖδας εὔ-
„χοντο γενέσθαι, ἀλλ' ἀγαθοὺς καὶ εὐκλεεῖς· ὧν
„ἔτυχον, μεγίστων ἀγαθῶν ὄντων· πάντα δ' σὺ
„ῥᾴδιον θνητῷ ἀνδρὶ κατὰ νοῦν ἐν τῷ σφετέρῳ βίῳ
„ἐκβαίνειν. καὶ φέροντες μὲν τὰς συμφορὰς ἀνδρεί-
„ως, δόξουσι τῷ ὄντι ἀνδρείων παίδων πατέρες εἶ-

Digitized by Google

τὴν μάχην. ἔστι δὲ τάδε· „Φράσω δὲ ὑμῖν, ἃ τε „αὐτῶν ἤκουσα ἐκείνων, καὶ οἷα νῦν ἡδέως [ἄν] „εἴποιεν ὑμῖν, ἀναλαβόντες δύναμιν· τεκμαιρόμε„νος ἐξ ὧν τότ' ἔλεγον. ἀλλὰ χρὴ νομίζειν ἀκούειν „αὐτῶν ἐκείνων, ἃ [ἄν] ἀπαγγέλλω. ἔστι δὲ τάδε· ὦ „παῖδες, ὅτι μέν ἐστε πατέρων ἀγαθῶν, αὐτὸ μη„νύει τὸ νῦν παρόν. ἡμῖν γὰρ ἔξὸν ζῆν μὴ καλῶς, „[καλῶς] αἱρούμεθα μᾶλλον τελευτᾶν, πρὶν ὑμᾶς „τε καὶ τοὺς ἔπειτα εἰς ὀνείδη καταστῆσαι, καὶ πρὶν „τοὺς ἡμετέρους πατέρας καὶ πᾶν τὸ πρόσθεν γέ„νος αἰσχῦναι· ἡγούμενοι τῷ τοὺς αὑτοῦ αἰσχύνον„τι ἀβίωτον εἶναι, καὶ τῷ τοιούτῳ οὔτε τινὰ ἀν„θρώπων, οὔτε θεῶν, φίλον εἶναι, οὔτ' ἐπὶ γῆς, „οὔθ' ὑπὸ γῆς τελευτήσαντι. χρὴ οὖν μεμνημένους „τῶν ἡμετέρων λόγων, ἤν τι καὶ ἄλλο ἀσκῆτε, „ἀσκεῖν μετ' ἀρετῆς· εἰδότας, ὅτι τούτου λειπόμενα „πάντα καὶ κτήματα καὶ ἐπιτηδεύματα, αἰσχρὰ καὶ „κακά. οὔτε γὰρ πλοῦτος κάλλος φέρει τῷ κεκτημέ„νῳ ἀνδρίαν· ἄλλοις γὰρ ὁ τοιοῦτος πλουτήσει, καὶ „οὐχ ἑαυτῷ· οὔτε κάλλος σώματος, οὔτε ἰσχὺς, δει„λῷ καὶ κακῷ ξυνοικοῦντα, πρέποντα φαίνεται, „ἀλλ' ἀπρεπῆ, καὶ ἐπιφανεστέραν ἔχοντα τὴν δει„λίαν· πᾶσά τε ἐπιστήμη χωριζομένη δικαιοσύνης „καὶ τῆς ἄλλης ἀρετῆς, πανουργία, [ἀλλ'] οὐ σοφία „γίνεται. ὧν ἕνεκα πρῶτα καὶ ὕστατα καὶ διὰ παν„τὸς πᾶσαν πάντως προθυμίαν πειρᾶσθε ἔχειν, „ὅπως μάλιστα μὲν ὑπερβαλεῖσθε καὶ ἡμᾶς καὶ „τοὺς πρόσθεν εὐκλείᾳ· εἰ δὲ μή, ἴστε, ὡς ἡμῖν, ἂν „μὲν νικῶμεν ὑμᾶς ἀρετῇ, ἡ νίκη αἰσχύνην φέρει·

Digitized by Google

„ἢ δὲ ἥττα, ἐὰν ἡττώμεθα, εὐδαιμονίαν. μᾶλλον δ'
„ἂν νικῶμεθα, καὶ ὑμεῖς νικῶητε, εἰ παρασκευάσε-
„σθε τῇ τῶν προγόνων δόξῃ μὴ καταχρησάμενοι,
„μηδ' ἀναλώσαντες ταύτην· γνόντες, ὅτι ἀνδρὶ,
„οἰομένῳ τι εἶναι, οὐκ ἔστιν αἴσχιον [οὐδὲν,] ἢ
„παρέχειν ἑαυτὸν τιμώμενον μὴ δι' αὐτὸν, ἀλλὰ διὰ
„δόξαν προγόνων. εἶναι μὲν γὰρ τιμὰς γονέων ἐκγό-
„νοις, καλὸς θησαυρὸς καὶ μεγαλοπρεπής· κατα-
„χρήσασθαι δὲ χρημάτων καὶ τιμῶν θησαυρῷ, καὶ
„μὴ τοῖς ἐκγόνοις παραδιδόναι, αἰσχρὸν καὶ ἄναν-
„δρον, ἀπορίᾳ ἰδίων αὐτοῦ κτημάτων τε καὶ εὐδο-
„ξιῶν. καὶ ἢν μὲν ταῦτα ἐπιτηδεύσητε, φίλοι παρὰ
„φίλους ἡμᾶς ἀφίξεσθε, ὅταν [δὴ] ὑμᾶς ἡ προσή-
„κουσα μοῖρα κομίσῃ· ἀμελήσαντες δὲ ὑμᾶς καὶ
„κακισθέντας, οὐδεὶς εὐμενῶς ὑποδέξεται. τοῖς μὲν
„οὖν παισὶ ταῦτ' εἰρήσθω. πατέρας [δὲ ἡμῶν, οἷς
„εἰσι, καὶ μητέρας] ἀεὶ χρὴ παραμυθεῖσθαι, ὡς
„[χρὴ] ῥᾷστα φέρειν τὴν συμφοράν, [ἐὰν ἄρα ξυμβῇ
„γενέσθαι, καὶ μὴ ξυνοδύρεσθαι· οὐ γὰρ] τοῦ λυ-
„πήσαντος προσδεήσονται· ἱκανὴ γὰρ ἔσται καὶ ἡ
„γενομένη τύχη τοῦτο πορίζειν. ἀλλ' ἰωμένους καὶ
„παραῦνοντας, ἀναμιμνήσκειν αὐτοὺς, ὅτι, ὧν εὔ-
„χοντο, τὰ μέγιστα αὐτοῖς οἱ θεοὶ ἐπήκοοι γεγόνα-
„σιν. οὐ γὰρ ἀθανάτους σφίσι [τοὺς] παῖδας εὔ-
„χοντο γενέσθαι, ἀλλ' ἀγαθοὺς καὶ εὐκλεεῖς· ὧν
„ἔτυχον, μεγίστων ἀγαθῶν ὄντων· πάντα δ' σὺ
„ῥᾴδιον θνητῷ ἀνδρὶ κατὰ νοῦν ἐν τῷ σφετέρῳ βίῳ
„ἐκβαίνειν. καὶ φέροντες μὲν τὰς συμφορὰς ἀνδρεί-
„ως, δόξουσι τῷ ὄντι ἀνδρείων παίδων πατέρες εἶ-

Digitized by Google

„ναι, καὶ αὐτοὶ τοιοῦτοι· ὑπείκοντες δ', ὑποψίαν „παρέξουσιν, ἢ μὴ ἡμέτεροι εἶναι, ἢ ἡμῶν τοὺς „ἐπαινοῦντας καταψεύδεσθαι. χρὴ δὲ οὐδέτερα τού- „των· ἀλλ' ἐκείνους μάλιστα [πάντων] ἐπαινέτας „ἡμῶν εἶναι, ἔργῳ παρέχοντας αὑτοὺς φαινομένους „τῷ ὄντι πατέρας ὄντας ἀνδρας ἀνδρῶν. πάλαι γὰρ „[δὴ] τὸ Μηδὲν ἄγαν λεγόμενον, καλῶς δοκεῖ λέγε- „σθαι· τῷ ὄντι γὰρ εὖ λέγεται. ὅτῳ γὰρ ἀνδρὶ εἰς „ἑαυτὸν ἀνήρτηται πάντα τὰ πρὸς εὐδαιμονίαν φέ- „ροντα, ἢ ἐγγὺς τούτου, καὶ μὴ ἐν ἄλλοις ἀνθρώ- „ποις αἰωρεῖται, ἐξ ὧν ἢ εὖ, ἢ κακῶς, πραξάντων „πλανᾶσθαι ἠναγκάσθη καὶ τὰ ἐκείνου, τούτῳ ἄρι- „στα παρεσκεύασται ζῆν, οὗτός ἐστι ὁ σώφρων, καὶ „οὗτος ἀνδρεῖος, καὶ φρόνιμος οὗτος, γιγνομένων „παίδων καὶ χρημάτων, καὶ διαφθειρομένων, καὶ „μάλιστα πείθεται τῇ παροιμίᾳ· οὔτε γὰρ χαίρων, „οὔτε λυπούμενος ἄγαν φανήσεται, διὰ τὸ αὐτῷ „πεποιθέναι. τοιούτους δὴ ἡμεῖς [γε] ἀξιοῦμεν καὶ „τοὺς ἡμετέρους εἶναι, καὶ βουλόμεθα, καὶ φαμέν· „καὶ ἡμᾶς αὐτοὺς νῦν παρέχομεν τοιούτους, οὐκ „ἀγαναχτοῦντας, οὐδὲ φοβουμένους ἄγαν, εἰ δεῖ τε- „λευτᾶν ἐν τῷ παρόντι. δεόμεθα δὲ καὶ πατέρων „καὶ μητέρων, τῇ αὐτῇ ταύτῃ διανοίᾳ χρωμένους, „τὸν ἐπίλοιπον βίον διάγειν, καὶ εἰδέναι, ὅτι οὐ „θρηνοῦντες, οὐδ' ὀλοφυρόμενοι ἡμᾶς, ἡμῖν μάλι- „στα χαριοῦνται· ἀλλ' εἴ τις ἐστὶ τοῖς τετελευτηκό- „σιν αἴσθησις τῶν ζώντων, οὕτως ἀχάριστοι εἶεν ἂν „μάλιστα, [ἑαυτοὺς τε κακοῦντες, καὶ βαρέως φέ- „ροντες τὰς ξυμφοράς· κούφως δὲ καὶ μετρίως.

Digitized by Google

„μάλιστ' ἂν] χαρίζοιντο. τὰ μὲν γὰρ ἡμέτερα τελευ-
„τὴν ἤδη ἕξει, ἥπερ καλλίστη γίγνεται ἀνθρώποις·
„ὥστε πρέπει αὐτὰ μᾶλλον κοσμεῖν, ἢ θρηνεῖν. γυ-
„ναικῶν δὲ τῶν ἡμετέρων καὶ παίδων ἐπιμελούμε-
„νοι, [καὶ τρέφοντες] καὶ ἐνταῦθα τὸν ναῦν τρέπον-
„τες, τῆς τε τύχης μάλιστ' ἂν εἶεν ἐν λήθῃ, καὶ ζῷεν
„κάλλιον καὶ ὀρθότερον, καὶ ἡμῖν προσφιλέστερον.
„ταῦτα δὴ ἅπανα τοῖς ἡμετέροις παρ' ἡμῶν ἀπαγ-
„γέλλειν· τῇ δὲ πόλει παρακελευόμεθα, ὅπως ἡμῖν
„καὶ πατέρων καὶ υἱῶν ἐπιμελήσονται· τοὺς μὲν,
„παιδεύοντες κοσμίως· τοὺς δὲ, γηροτροφοῦντες
„ἀξίως. νῦν δ' ἴσμεν, ὅτι, κἂν μὴ ἡμεῖς παρακε-
„λευώμεθα, ἱκανῶς ἐπιμελήσεται. ταῦτ' οὖν, ὦ γο-
„νεῖς καὶ παῖδες τῶν τελευτησάντων, ἐκεῖνοί τ' ἐπέ-
„σκηπτον ὑμῖν [ἀπαγγέλλειν, καὶ ἐγὼ, ὡς δύναμαι,
„προθυμότατα] ἀπαγγέλλω." αὕτη δοκεῖ κάλλιστα ἔχειν Πλάτωνι ἡ λέξις ἐν τούτῳ τῷ λόγῳ. ἔχει μέντοι τὰ πλείω καλῶς. οὐ γὰρ δοκεῖ ψεύδεσθαι, πλὴν ὅτι πολιτικόν γε τὸ σχῆμα αὐτῆς ἐστιν, οὐκ ἐναγώνιον.

31. Ἀντιπαρεξετάσωμεν οὖν ταύτῃ Δημοσθένους λαβόντες λέξιν ἐκ τοῦ κατὰ Κτησιφῶντος λόγου. ἔστι δ' οὐ παράκλησις Ἀθηναίων ἐπὶ τὸ καλὸν καὶ τὴν ἀρετὴν, ὥσπερ παρὰ τῷ Πλάτωνι, ἀλλ' ἐγκώμιον τῆς πόλεως, ὅτι πάντα ἡγεῖται τἄλλα ἐλάττω τιμῆς δόξης, ἧς φέρουσι καλαὶ πράξεις, κἂν εἰ μή τις αὐτὰς μέλλῃ κατορθοῦν. ἔστι δ' ἡ λέξις ἥδε· „Ἐπειδὴ δὲ πολὺς τοῖς συμβεβηκόσιν ἔγκει-
„ται, βούλομαί τι καὶ παράδοξον εἰπεῖν· καί μου,

Digitized by Google

„πρὸς Διός καὶ θεῶν, μηδεὶς τὴν ὑπερβολὴν θαυ-
„μάσῃ, ἀλλὰ μετ' εὐνοίας, ἃ λέγω, θεωρησάτω. εἰ
„γὰρ ἦν ἅπασι πρόδηλα τὰ μέλλοντα γενήσεσθαι,
„καὶ προῄδεσαν ἅπαντες, καὶ σὺ προὔλεγες, [Αἰσχί-
„νη,] καὶ διεμαρτύρου, βοῶν καὶ κεκραγώς· ὃς
„οὐδ' ἐφθέγξω· οὐδ' οὕτως ἀποστατέον τῇ πόλει
„τούτων ἦν, εἴπερ [ἦ] δόξης, ἢ προγόνων, ἢ τοῦ
„μέλλοντος αἰῶνος, εἶχε λόγον. νῦν μέν γ' ἀποτυ-
„χεῖν δοκεῖ τῶν πραγμάτων· ὃ πᾶσι κοινόν ἐστιν
„ἀνθρώποις, ὅταν τῷ θεῷ ταῦτα δοκῇ· τότε δ'
„ἀξιοῦσα προεστάναι τῶν Ἑλλήνων, εἶτ' ἀποστᾶσα
„τούτου, Φιλίππῳ προδεδωκέναι πάντως ἂν ἔσχεν
„αἰτίαν. εἰ γὰρ ταῦτα προεῖτο ἀκονιτί, περὶ ὧν οὐ-
„θένα κίνδυνον ὄντινοῦν οὐχ ὑπέμειναν οἱ πρόγο-
„νοι, τίς οὐχὶ κατέπτυσεν ἂν σοῦ; μὴ γὰρ τῆς πό-
„λεώς γε, μηδ' ἐμοῦ. τίσι δ' ὀφθαλμοῖς, πρὸς Διός,
„ἑωρῶμεν ἂν τοὺς εἰς τὴν πόλιν ἀνθρώπους ἀφι-
„κνουμένους, εἰ τὰ μὲν πράγματα εἰς ὅπερ νυνὶ πε-
„ριέστη, ἡγεμὼν δὲ καὶ κύριος ἦρέθη Φίλιππος
„ἁπάντων· τὸν δ' ὑπὲρ τοῦ μὴ γενέσθαι ταῦτα
„ἀγῶνα, ἕτεροί [τινές] χωρὶς ἡμῶν ἦσαν πεπαιημέ-
„νοι; καὶ ταῦτα μηδεπώποτε τῆς πόλεως ἐν τοῖς
„πρόσθε χρόνοις ἀσφάλειαν ἄδοξον μᾶλλον, ἢ τὸν
„ὑπὲρ τῶν καλῶν κίνδυνον, ἠρημένης. τίς γὰρ οὐκ
„οἶδεν Ἑλλήνων, τίς δὲ βαρβάρων, ὅτι καὶ παρὰ
„[Θηβαίων καὶ παρὰ] τῶν ἔτι τούτων πρότερον
„ἰσχυρῶν γενομένων Λακεδαιμονίων, καὶ παρὰ τοῦ
„Περσῶν βασιλέως, μετὰ πολλῆς χάριτος τοῦτ' ἂν
„ἁσμένως ἐδόθη τῇ πόλει, ὅ τι βούλεται, λαβούσῃ,

Digitized by Google

„καὶ τὰ ἑαυτῆς ἐχούσῃ, τὸ κελευόμενον ποιεῖν, καὶ
„ἐᾶν ἕτερον τῶν Ἑλλήνων προεστάναι; ἀλλ' οὐκ ἦν,
„ὡς ἔοικε, ταὐτὸ τοῖς [τότε] Ἀθηναίοις πάτρια, οὐδ'
„ἀνεκτά, οὐδ' ἔμφυτα· οὐδ' ἐδυνήθη πώποτε τὴν
„πόλιν οὐδεὶς ἐκ παντὸς τοῦ χρόνου πεῖσαι τοῖς
„ἰσχύουσι μὲν, μὴ δίκαια δὲ πράττουσι, προστιθε-
„μένην, ἀσφαλῶς δουλεύειν· ἀλλ' ἀγωνιζομένη περὶ
„πρωτείων καὶ [ὑπὲρ] τιμῆς καὶ δόξης, κινδυνεύου-
„σα πάντα τὸν αἰῶνα διετέλεσε. καὶ ταῦθ' οὕτως
„σεμνὰ [καὶ καλὰ] καὶ προσήκοντα τοῖς ὑμετέροις
„ἤθεσιν ὑμεῖς ὑπολαμβάνετε εἶναι, ὥστε καὶ τῶν
„προγόνων τοὺς ταῦτα πράξαντας μάλιστα ἐπαινεῖ-
„τε· εἰκότως. τίς γὰρ οὐκ ἂν ἀγάσαιτο τῶν ἀνδρῶν
„ἐκείνων τῆς ἀρετῆς, οἳ καὶ τὴν χώραν καὶ τὴν πό-
„λιν ἐκλιπεῖν ὑπέμειναν, εἰς τὰς τριήρεις ἐμβάντες,
„ὑπὲρ τοῦ μὴ τὰ κελευόμενον ποιῆσαι· τὸν μὲν
„ταῦτα συμβουλεύσαντα Θεμιστοκλέα στρατηγὸν
„ἑλόμενοι, τὸν δ' ὑπακούειν ἀποφηνάμενον τοῖς
„ἐπιταττομένοις Κυρσίλον καταλιθώσαντες, οὐ μό-
„νον αὐτὸν, ἀλλὰ καὶ αἱ γυναῖκες αἱ ὑμέτεραι τὴν
„γυναῖκα αὐτοῦ; οὐ γὰρ ἐζήτουν οἱ τότ' Ἀθηναῖοι
„οὔτε ῥήτορα, οὔτε στρατηγὸν, δι' ὅτου δουλεύσου-
„σιν εὐτυχῶς· ἀλλ' οὐδὲ ζῆν ἠξίουν, εἰ μὴ μετ'
„ἐλευθερίας [αὐτοῖς] ἐξέσται τοῦτο ποιεῖν. ἡγεῖτο
„γὰρ αὐτῶν ἕκαστος, οὐχὶ τῷ πατρὶ καὶ τῇ μητρὶ
„μόνον γεγενῆσθαι, ἀλλὰ καὶ τῇ πατρίδι. διαφέρει
„δέ τι; ὅτι ὁ μὲν τοῖς γονεῦσι μόνον γεγενῆσθαι
„νομίζων, τὸν τῆς εἱμαρμένης καὶ τὸν αὐτόματον
„θάνατον περιμένει· ὁ δὲ καὶ τῇ πατρίδι, ὑπὲρ

Digitized by Google

„τοῦ μὴ ταύτην ἐπιδεῖν δουλεύουσαν, ἀποθνήσκειν „ἐθελήσει, καὶ φοβερωτέρας ἡγήσεται [τοῦ θανά- „του] τὰς ὕβρεις καὶ τὰς ἀτιμίας, ἃς ἐν δουλευσύσῃ „τῇ πόλει φέρειν ἀνάγκη. εἰ μὲν τοίνυν τοῦτ' ἐπε- „χείρησα [νῦν] λέγειν, ὡς ἐγὼ προήγαγον ὑμᾶς „ἄξια τῶν προγόνων φρονεῖν, τίς οὐκ ἂν εἰκότως „ἐπετίμησέ μοι; νῦν [δ'] ἐγὼ μὲν ὑμετέρας τὰς „τοιαύτας προαιρέσεις ἀποφαίνω, καὶ δείκνυμι, ὅτι „καὶ πρὸ ἐμοῦ τοῦτ' εἶχε τὸ φρόνημα ἡ πόλις· τῆς „μέντοι διακονίας τῆς ἐφ' ἑκάστοις τῶν πεπραχμέ- „νων, καὶ ἐμαυτῷ μετεῖναί φημι. οὗτος δὲ [ὁ] τῶν „ὅλων κατηγορῶν, καὶ κελεύων ὑμᾶς ἐμοὶ πικρῶς „ἔχειν, ὡς φόβων καὶ κινδύνων αἰτίῳ τῇ πόλει [γε- „γενημένῳ,] τῆς μὲν εἰς τὸ παρὸν τιμῆς ἐμὲ ἀπο- „στερῆσαι γλίχεται, τὰ δ' ἐξῆς ἅπαντα τὸν [λοιπὸν] „χρόνον ἐγκώμια ὑμῶν ἀφαιρεῖται. εἰ γάρ, ὡς οὐ „τὰ βέλτιστα ἐμοῦ πολιτευσαμένου, [τουδὶ] κατα- „ψηφιεῖσθε, διημαρτηκέναι δόξετε, οὐ τῇ τῆς τύχης „ἀγνωμοσύνῃ τὰ συμβάντα παθεῖν. ἀλλ' οὐκ ἔστιν, „ὅπως ἡμάρτετε, ἄνδρες Ἀθηναῖοι, [οἱ] τὸν ὑπὲρ „τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας κίνδυνον „ἀράμενοι. οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύ- „σαντας τῶν προγόνων, καὶ τοὺς ἐν Πλαταιαῖς „παραταξαμένους, καὶ τοὺς ἐν Σαλαμῖνι ναυμαχή- „σαντας, καὶ τοὺς ἐπ' Ἀρτεμισίῳ, καὶ πολλοὺς ἑτέ- „ρους τοὺς ἐν τοῖς δημοσίοις μνήμασι κειμένους „ἀγαθοὺς ἄνδρας· οὓς ἅπαντας ὁμοίως ἡ πόλις τῆς „αὐτῆς ἀξιώσασα τιμῆς, ἔθαψεν, Αἰσχίνη, οὐχὶ „τοὺς κρατήσαντας αὐτῶν, οὐδὲ τοὺς κατορθώσαν-

Digitized by Google

„τας μόνους· δικαίως. ὃ μὲν γὰρ ἦν ἀγαθῶν ἀν-
„δρῶν ἔργον, ἅπασι πέπρακται· τῇ τύχῃ δὲ, ἣν
„ὁ δαίμων ἕνειμεν ἑκάστοις, ταύτῃ κέχρηνται.“

32. Οὐθείς ἐστιν, ὃς οὐχ ὁμολογήσειεν, εἰ μόνον ἔχοι μετρίαν αἴσθησιν περὶ λόγους, καὶ μήτε βάσκανος ᾖ, μήτε δύσερίς τις, οὕτω διαφέρειν τὴν ἀρτίως παρατεθεῖσαν λέξιν τῆς προτέρας, ὅσῳ διαλλάττει πολεμιστήρια μὲν ὅπλα πομπευτηρίων, ἀληθιναὶ δ' ὄψεις εἰδώλων, ἐν ἡλίῳ δὲ καὶ πόνοις τεθραμμένα σώματα τῶν σκιᾷ καὶ ῥᾳστώνας διωκόντων. ἡ μὲν γὰρ, οὐδὲν ἔξω τῆς εὐμορφίας ἐπιτηδεύει, καὶ παρὰ τοῦτ' ἔστιν αὐτοῖς τὸ κακὸν ἐν ἀληθεύσιν· ἡ δ' οὐδὲν, ὅ τι οὐκ ἐπὶ τὸ χρήσιμον καὶ ἀληθινὸν ἄγει. καί μοι δοκεῖ τις οὐκ ἂν ἁμαρτεῖν, τὴν μὲν Πλάτωνος λέξιν εἰκάσας ἀνθηρῷ χωρίῳ καταγωγὰς ἡδείας ἔχοντι καὶ τέρψεις ἐφημέρους, τὴν δὲ Δημοσθένους διάλεκτον εὐκάρπῳ καὶ παμφόρῳ γῇ, καὶ οὔτε τῶν ἀναγκαίων εἰς βίον, οὔτε τῶν περιττῶν εἰς τέρψιν, σπανιζούσῃ. δυνάμενος δ' ἂν, εἰ βουλοίμην, καὶ τὰ κατὰ μέρος ἑκατέρας κατορθώματα ἐξετάζειν, καὶ δεικνύειν, ὅσῳ κρείττων ἐστὶν ἡ Δημοσθένους λέξις τῆς Πλατωνικῆς, οὐ μόνον κατὰ τὸ ἀληθινὸν καὶ πρὸς ἀγῶνας ἐπιτήδειον· τοῦτο μὲν γὰρ, ὡς προειδότας ὁμοίως ἅπαντας, οὐδὲ λόγου δεῖν οἶμαι· ἀλλὰ καὶ κατὰ τὸ τροπικὸν, περὶ ὃ μάλιστα δεινὸς ὁ Πλάτων δοκεῖ εἶναι. καὶ πολλὰς ἔχων ἀφορμὰς λόγων, ταύτην μὲν εἰς ἕτερον καιρὸν ἀναβάλλομαι τὴν θεωρίαν, εἴπερ προσέσται μοι χρόνος· ἰδίαν γὰρ οὐκ ὀκνήσω περὶ αὐτῆς ἐξενέγκαι

Digitized by Google

πραγματείαν· νυνὶ δὲ, ὅσα ἐν τῷ παρόντι ἥρμοττεν, εἴρηται. ἐπειδὴ δὲ παρελθεῖν ἡμῶν οὐκ ἐνῆν Πλάτωνα, ᾧ τὰ πραγτεῖα τινὲς ἀπονέμουσι, καταιρίψαι δὲ τὸν χρόνον περὶ μίαν ταύτην θεωρίαν, ἐπιλελησμένον τῆς ὑποθέσεως, ἣν, τῇδέ μοι περιγεγράφθω. βούλομαι δὲ δὴ καὶ συλλογίσασθαι τὰ εἰρημένα ἐξ ἀρχῆς, καὶ δεῖξαι πάνθ', ὅσα ὑπεσχόμην ἀρχόμενος τῆς θεωρίας τοῦ λεκτικοῦ τόπου, πεποιηκότα ἐμαυτόν.

33. Ἡ πρόθεσις ἦν μοι καὶ τὸ ἐπάγγελμα τοῦτο, τῇ κρατίστῃ λέξει καὶ πρὸς ἅπασαν ἀνθρώπου φύσιν ἡρμοσμένῃ μετριώταια, Δημοσθένη κεχρημένον ἐπιδεῖξαι, καὶ τοῦτό γε συνάγειν ἐπειρώμην, οὐκ ἐξ αὐτῆς ἐκείνης μόνης τὰς πίστεις διδούς· ᾔδειν γὰρ, ὅτι οὐδὲν αὐταρκές ἐστιν ἐφ' ἑαυτοῦ θεωρούμενον, οἷόν ἐστιν ὀφθῆναι καὶ καθαρῶς· ἀλλ' ἀντιπαρατιθεὶς αὐτῇ τὰς τῶν ἄλλων ῥητόρων τε καὶ φιλοσόφων λέξεις τὰς κράτιστα δοκούσας ἔχειν, καὶ τῇ δι' ἀλλήλων βασάνῳ φανερὰν ποιῶν τὴν ἀμείνω· ἵνα τὴν φυσικὴν ὁδὸν ὁ λόγος μοι λάβῃ, τοὺς χαρακτῆρας τῶν διαλέκτων τοὺς ἀξιολογωτάτους κατηριθμησάμην, καὶ τοὺς πρώτους ὄντας ἐν αὐτοῖς ἄνδρας ἐπῆλθον· ἔπειτα, δείξας ἀτελεῖς ἅπαντας ἐκείνους, καὶ καθ' ὃ μάλιστα ἑκάστου ὑπελάμβανον τοῦ τέλους ἐκλογισάμενος διὰ βραχέων, ἦλθον ἐπὶ τὸν Δημοσθένη. τοῦτον δὲ ἑνὸς μὲν οὐδενὸς ἀποφηνάμενος οὔτε χαρακτῆρος, οὔτ' ἀνδρὸς, ζηλωτὴν γενέσθαι, ἐξ ἁπάντων δὲ τὰ κράτιστα ἐκλεξάμενον, κοινὴν καὶ φιλάνθρωπον τὴν ἑρμηνείαν

Digitized by Google

κατεσκευακέναι, καὶ κατὰ τοῦτο μάλιστα διαφέρειν τῶν ἄλλων, πίστεις ὑπὲρ τοῦδε παρειχόμην· διελόμενος μὲν τὴν λέξιν εἰς τρεῖς χαρακτῆρας τοὺς γενικωτάτους, τόν τ' ἰσχνὸν, καὶ τὸν ὑψηλὸν, καὶ τὸν μεταξὺ τούτων· ἀποδεικνὺς δ' αὐτὸν ἐν τοῖς τρισὶ γένεσι κατορθοῦντα τῶν ἄλλων μάλιστα, λέξεις τινὰς αὐτοῦ λαμβάνων, αἷς ἀντιπαριξήταζον ἑτέρας ὁμοειδεῖς, λόγου μὲν ἀξίας, οὐ μὴν ἀνεπιλήπτους γε τελέως, οὐδ', ὥσπερ ἐκείνη, πάσας τὰς ἀρετὰς ἐχούσας. καὶ γὰρ ἦ τ' Ἰσοκράτους καὶ Πλάτωνος καὶ τῶν θαυμασιωτάτων ἀνδρῶν μνήμη καὶ σύγκρισις, οὐκ ἔξω τοῦ εἰκότος ἐγίγνετό μοι· ἀλλ', ἐπεὶ τοῦ μέσου καὶ κρατίστου χαρακτῆρος οὗτοι ζηλωταὶ γενόμενοι, μεγίστης δόξης ἔτυχον· ἵνα δείξαιμι, κἂν, εἰ τῶν ἄλλων ἀμείνους εἰσὶ, Δημοσθένει γ' οὐκ ἀξίους ὄντας ἁμιλλᾶσθαι περὶ τῶν ἀριστείων· ὀλίγα τούτοις ἔτι προσθεὶς περὶ τῆς λέξεως, ἐπὶ τὰ καταλειπόμενον τῆς θεωρίας μέρος μεταβήσομαι.

34. Ταῦτα δ' ἐστὶν, ἃ τοῖς τρισὶ πλάσμασιν ἔφην ἰδίας ἀρετὰς συμβεβηκέναι τοῖς Δημοσθενικοῦ, μηνύματα χαρακτηριστικὰ καὶ ἀνυφαίρετα· ὑπομνήσω δὲ πρῶτον μέν, ἃ τοῖς ἄλλοις πλάσμασιν ἔφην ἰδίας ἀρετὰς συμβεβηκέναι τοῖς Δημοσθένους, ἢ Λυσίου· ἵν' εὐσύνοπτος μᾶλλον γένηταί μοι ὁ λόγος. δοκεῖ δή μοι τῶν μὲν ὑψηλῇ καὶ περιττῇ καὶ ἐξηλλαγμένῃ λέξει κεχρημένων, κατὰ τὸ σαφέστερον καὶ κοινότερον τῇ ἑρμηνείᾳ κεχρῆσθαι, προὔχειν ὁ Δημοσθένης. τούτων γὰρ ἐν πάσῃ κατασκευῇ στοχάζεται μέγεθος ἐχούσῃ, καὶ ταύταις κέχρηται χα-

Digitized by Google

ραχτηριστικωτάταις ἀρεταῖς ἐπὶ τῆς ὑψηλῆς καὶ ξενοπρεποῦς ὀνομασίας, ὡς γε μάλιστα· τῶν δὲ τὴν λιτὴν καὶ ἰσχνὴν καὶ ἀπέριττον ἐπιτηδευόντων φράσιν, τῷ τόνῳ τῆς λέξεως ἐδόκει μοι διαλλάττειν, καὶ τῷ βάρει, καὶ τῇ στρυφνότητι, καὶ τῷ πικραίνειν ὡς ἐπὶ τὸ πολύ· ταῦτα γάρ ἐστιν ἐκείνου χαρακτηριστικὰ τοῦ πλάσματος παρ' αὐτῷ, καὶ τὰ παραπλήσια τούτοις. τῶν δὲ τὴν μέσην διάλεκτον ἠσκηκότων, ἣν δὴ κρατίστην ἀποφαίνομαι, κατὰ ταῦτα διαφέρειν αὐτὸν ὑπελάμβανον, κατὰ τὴν ποικιλίαν, κατὰ τὴν συμμετρίαν, κατὰ τὴν εὐκαιρίαν· ἔτι πρὸς τούτοις κατὰ τὸ παθητικόν τε καὶ ἐναγώνιον καὶ δραστήριον, καὶ τελευταῖον τὸ πρέπον, ὃ τῶν ἄστρων ψαύει παρὰ Δημοσθένει. ταῦτα μὲν οὖν χωρὶς ἑκάστῳ τῶν τριῶν πλασμάτων παρακολουθεῖν ἔφην, καὶ ἐκ τούτων ἠξίουν τὴν Δημοσθένους δύναμιν· πεφυκότα μὲν καὶ τοῖς ἄλλοις παρακολουθεῖν πλάσμασι, κρατίστην δ' ὄψιν ἔχοντα καὶ ἐκπρεπεστάτην ἐν τούτοις τοῖς χωρίοις. εἰ δέ τις ἀξιώσει συκοφαντεῖν τὴν διαίρεσιν, ἐπειδὴ τὰς κοινῇ παρακολουθούσας πᾶσι τοῖς πλάσμασιν ἀρετὰς τρίχα διανείμασα, τὸ ἴδιον ἑκάσταις ἀποδίδωσιν, ἐκεῖνα ἂν εἴποιμι πρὸς αὐτόν, ὅτι καθ' ὃ μάλιστα χωρίον ἑκάστη τῶν ἀρετῶν ὄψιν ἡδίστην ἔχει καὶ χρῆσιν ὠφελιμωτάτην, κατὰ τοῦτο τάττειν αὐτὴν ἀξιῶ· ἐπεὶ καὶ τῆς σαφηνείας καὶ τῆς συντομίας καὶ τοῦ πιθανοῦ χωρίον ἀποφαίνουσιν οἱ τεχνογράφοι τὴν διήγησιν· οὐχ, ὡς οὐκ ἀλλαχοῦ σύδαμοῦ δέον

Digitized by Google

ἐξετάζεσθαι τὰς ἀρετὰς ταύτας. πολὺ γὰρ ἄτοπον· ἀλλ' ὡς ἐν τῇ διηγήσει δίον μάλιστα.

35. Φέρε δέ, τούτων εἰρημένων ἡμῖν, λέγωμεν ἤδη καὶ τῶν ὀνομάτων ἢ ῥημάτων ὅ ἀνήρ. ὅτι μὲν οὖν πειστική τις ἐστιν ἡ τῆς λέξεως τῆς Δημοσθένους ἁρμονία, καὶ μεμιγμένη δηλονότι ἀπὸ τῶν ἀκροτάτων τὰς τῶν ἄλλων ῥητόρων, οὐκ ἔμοιγε δοκεῖ μῦθος. ἅπαντες γὰρ οἶδ' ὅτι ταύτην αὐτῷ τὴν ἀρετὴν μαρτυρήσειαν, ὅσοι μὴ παντάπασι πολιτικῶν εἰσιν ἄπειροι λόγων· ὅπου γε καὶ οἱ κατὰ τὴν αὐτὴν ἡλικίαν ἀκμάσαντες ἀνεῖναι, θαυμάζοντές τι δῆλοί εἰσιν αὐτοῦ, καὶ ζηλοῦντες ταύτην μάλιστα τὴν εὐτυχίαν· καίτοι τινὲς οὐδ' οἰκείως διακείμενοι πρὸς αὐτόν, ὥστε κολακείας ἐξενέγκασθαι δόξαν· ἀλλ' ἔνιοί γε καὶ σφόδρα ἐσπουδασμένοι, καὶ ἀθαλλάκτους ἐπανηρημένοι πολέμους· ὧν ἦν Αἰσχίνης ὁ ῥήτωρ, ἀνὴρ λαμπροτάτῃ φύσει περὶ λόγους χρησάμενος· ὃς οὐ πολὺ ἂν ἀπέχειν δοκεῖ τῶν ἄλλων ῥητόρων, καὶ μετὰ Δημοσθένην μηδενὸς δεύτερος ἀριθμεῖσθαι. οὗτος μὲν δὴ τῆς ἄλλης δεινότητος, ἣ περὶ τὸν ἄνδρα τοῦτον ἐγένετο, κατὰ τὸ λεκτικὸν ἔτι διαπλέξει καὶ συνοφαντεῖ, πρᾶγμα ἐχθροῦ παιῶνι· καὶ γὰρ καινότητα ὀνομάτων, καὶ ἀηθείαν, καὶ περιεργίαν, καὶ τὸ σκοτεινὸν δὴ τοῦτο καὶ πικρὸν ψυχὴ ἄλλα πολλὰ τοιαῦτα προστρίβεται αὐτῷ, βασκαίνων μέν, ὥσπερ ἔφην, καὶ ταῦτα· ὅμως δ' οὖν ἀφορμάς γέ τινας τοῦ συκοφαντεῖν εὐλόγους λαμβάνων· περὶ δὲ τῆς συνθέσεως τῶν ὀνομάτων οὐδὲν οὔτε μεῖζον ἢ καὶ γλίσχρα φέρων. ἢ οὐχὶ τοῦτό γε θαυμάζειν, ἀλλ' ὅτι καὶ μαρ-

Digitized by Google

τυρῶν πολλαχῇ τὴν ἀρετὴν τῷ ῥήτορι κατάδηλός ἐστι καὶ ζηλῶν. φανερὸν δὲ τοῦτο γένοιτ' ἂν ἐξ ὧν αὐτὸς εἴρηκε, τότε μὲν οὕτω πως γράφων· „Ὅταν „δ' ἄνθρωπος ἐξ ὀνομάτων συγκείμενος, καὶ τού„των πικρῶν καὶ περιέργων." ἐν γὰρ δὴ τούτοις αὐτὴν ἐκλογὴν ἐπαινεῖ τῶν ὀνομάτων αὐτοῦ, νὴ Δία. τίς γὰρ ἂν γένοιτο πικρᾶς καὶ περιέργου ζῆλος ὀνομασίας ἐν ἀηδίᾳ; ἑτέρῳ δὲ λόγῳ οὕτωσί πως λέγων· „Ὡς ὑμᾶς ὀῤῥωδῶ κακῶς πάσχοντας, τὴν „σύνθεσιν τῶν Δημοσθένους ὀνομάτων ἀγαπήσαν„τας." καὶ γὰρ ἐνταῦθα πάλιν οὐ δέδοικε, μὴ τὸ κάλλος καὶ τὴν μεγαλοπρέπειαν αὐτοῦ τῶν ὀνομάτων ἀγαπήσωσιν Ἀθηναῖοι, ἀλλὰ μὴ λάθωσιν ὑπὸ τῆς συνθέσεως γοητευθέντες· ὥστε καὶ τῶν φανερῶν αὐτὸν ἀδικημάτων ἀφεῖναι διὰ τὰς σειρῆνας τὰς ἐπὶ τῆς ἁρμονίας. ἐκ δὲ τούτων οὐ χαλεπὸν ἰδεῖν, ὅτι δεινότητα μὲν αὐτῷ, ὅσην οὐχ ἑτέρῳ, μαρτυρῶν, καὶ ταῖς σειρῆσιν ἀπεικάζων αὐτοῦ τὴν μουσικὴν, ἀγάμενος δ' οὐ τῆς ἐκλογῆς τῶν ὀνομάτων αὐτὸν, ἀλλὰ τῆς συνθέσεως, ἀναμφιλόγως αὐτῷ ταύτην παρακεχώρηκε τὴν ἀρετήν.

36. Τουτὶ μὲν οὖν τὸ μέρος, ὡς οὐ πολλοῦ λόγου δεόμενον, λέγω δὴ τὸ περιττὸν εἶναι συνθέτην ὀνομάτων τὸν Δημοσθένην, μαρτυρίαις τ' ἀξιοχρέοις καὶ τῷ μηδένα τἀναντία ἔχειν εἰπεῖν βεβαιούμενον, ἐάσω. τίς δὲ ὁ τῆς ἁρμονίας αὐτοῦ χαρακτὴρ, καὶ ἀπὸ ποίας γέγονεν ἐπιτηδεύσεως τοιοῦτος, καὶ πῶς ἄν τις αὐτὸν διαγνοίη παρεξετάζων ἑτέροις, ταύτῃ πειράσομαι λέγειν, ἐκεῖνα προειπών· Πολλὴ

Digitized by Google

τις ἐγένετο ἐν τοῖς ἀρχαίοις ἐπιθυμίαι καὶ πρόνοια τοῦ καλῶς ἁρμόττειν τὰ ὀνόματα, ἔν τε μέτροις, καὶ δίχα μέτρων· καὶ πάντες, οἳ σπουδαίας ἐβουλήθησαν ἐξενεγκεῖν γραφὰς, οὐ μόνον ἐζήτησαν ὀνόμασαι τὰ νοήματα καλῶς, ἀλλὰ καὶ αὐτὰ εὐκόσμῳ συνθέσει περιλαβεῖν· πλὴν οὐ τὴν αὐτήν γε πάντες ἐπετήδευσαν ἁρμονίαν· ὥστ' οὐδὲ κατὰ τὰς αὐτὰς ἦλθον ἅπαντες ὁδούς. τούτου δ' αἰτίας οἶμαι γενέσθαι πολλάς. πρῶτον μὲν, τὴν ἑκάστου φύσιν, ᾗ ἄλλος πρὸς ἄλλα πεφύκαμεν εὖ. δευτέραν δὲ, τὴν ἐκ λόγου καὶ προαιρέσεως ἐμφυομένην δόξαν, ἃ ἢν τὰ μὲν ἀσπαζόμεθα, τοῖς δ' ἀπεχθόμεθα. τρίτην δὲ, τὴν ἐκ συνηθείας χρονίου κατασκευαζομένην ὑπόληψιν, ὡς σπουδῆς ἀξίων, ὧν ἂν τοὺς ἐθισμοὺς λάβωμεν. τετάρτην ἐπὶ τὴν πρὸς οὓς ἂν φιλονεικούμενοι τυγχάνωμεν ὁποῖ' ἄττα ἂν ἐκεῖνοι ζηλῶσιν, ἀναφοράν τε καὶ μίμησιν. ἔχοι δ' ἄν τις καὶ ἄλλα λέγειν. ἀλλὰ ἐγὼ τὰ φανερώτατα εἰπὼν, ἐῶ τὰ λοιπά. ὅθεν οἱ μὲν, τὴν εὐτραφῆ καὶ βαρεῖαν καὶ αὐχηρὰν καὶ φιλάρχαιον καὶ σεμνὴν καὶ φεύγουσαν ἅπαν τὸ κομψὸν, ἐπιτηδεύουσιν ἁρμονίαν· οἱ δὲ, τὴν γλαφυρὰν καὶ λιγυρὰν καὶ θεατρικὴν, καὶ πολὺ τὸ κομψὸν καὶ ἁβρὸν ἐπιφαίνουσαν, ᾗ πανηγύρεις τε κηλοῦνται, καὶ ὁ συμφορητὸς ὄχλος· οἱ δὲ, συνθέντες ἀφ' ἑκατέρας χρησιμωτάτην, μικτὴν καὶ μέσην ἐζήλωσαν ἀγωγήν.

37. Τρεῖς γὰρ δὴ συνθέσεως σπουδαίας χαρακτῆρες οὗτοί εἰσι γενικώτατοι· οἱ δ' ἄλλοι παρὰ τούτους τε καὶ ἀπὸ τούτων εἰσὶ κατεσκευασμένοι, πολ-

Digitized by Google

λοὶ ἀφόδρα ὄντες, ἐπιτάσει τε καὶ ἀνέσει διαφέροντες ἀλλήλων. εἰλικρινὴς μὲν οὖν ἁρμονία, καὶ ἀκραιφνὴς χαρακτὴρ κατὰ πᾶν, οὐκ ἂν εὑρεθείη παρ' οὐδενὶ, οὔτ' ἐμμέτρων, οὔτε πεζῶν ποιητῇ λόγων, οὐδὲ χρὴ μαρτύρια τοιαῦτα παρ' οὐδενὸς ἀπαιτεῖν. ὅπου γὰρ οὐδὲ τῶν στοιχείων τῶν πρώτων, ἐξ ὧν ἡ τοῦ παντὸς συνέστη φύσις, γῆς τε καὶ ὕδατος, καὶ ἀέρος καὶ πυρὸς, οὐδὲν εἰλικρινές ἐστιν, ἀλλὰ πάντα μετέχει πάντων, ὠνόμασται δ' ἕκαστον αὐτῶν κατὰ τὸ πλεονάζον· τί θαυμαστὸν, εἰ αἱ τῆς λέξεως ἁρμονίαι, τρεῖς οὖσαι τὸν ἀριθμὸν, οὐκ ἔφυσαν εἰλικρινῆ τὴν φύσιν, οὐδ' ἀπεπέμιξαν, ἀλλ' ἐκ τῶν ὡς ἐπὶ τὸ πολὺ συμβεβηκότων αὐταῖς ὀνόματός τ' ἠξίωνται καὶ χαρακτῆρος ἰδίου; ὥσθ', ὅταν παρέχωμαι δείγματα ἑκάστης, καὶ μαρτύρια φέρω, λέξεις τινὰς παρατιθεὶς τῶν χρησαμένων αὐταῖς ποιητῶν τε καὶ συγγραφέων, μηδεὶς συκοφαντείτω τὰς ἐπιπλοκὰς καὶ τὰς κατὰ μόρια ποιότητας αὐτῶν· ἀλλὰ κατὰ τὸ πλεονάζον ἕκαστον τῶν παραλαμβανόντων σκοπείτω, τεκμαιρόμενος, εἰ πολλαχῇ τοιοῦτόν ἐστι τὸ δεικνύμενον, οὐκ εἰ ἁπανταχῇ.

38. Τῆς μὲν οὖν αὐστηρᾶς καὶ φαλαρχείου καὶ μὴ τὸ κομψὸν, ἀλλὰ τὸ σεμνὸν ἐπιτηδευούσης ἁρμονίας, τοιόσδε ὁ χαρακτήρ· ὀνόμασι χρῆσθαι φιλεῖ μεγάλοις καὶ μακροσυλλάβοις, καὶ τὰς ἕδρας αὐτῶν εἶναι πλουσίως πάνυ βεβηκυίας, χρόνων δ' ἀξιολόγων ἐμπεριλήψει διορίζεσθαι θάτερα ἀπὸ τῶν ἑτέρων. τοῦτο τὸ σχῆμα τῆς ἁρμονίας ποιοῦσιν αἱ τῶν φωνηέντων γραμμάτων παραθέσεις, ὅταν ἢ τε προη-

Digitized by Google

γουμένη λέξις εἰς ἣν τούτων λήγῃ, καὶ ἡ συνάπτουσα ταύτῃ τὴν ἀρχὴν ἀπό τούτων τινὸς λαμβάνῃ. ἀναγκαῖον γάρ ἐστι χρόνον τινὰ μέσον ἀμφοῖν ἀξιόλογον ἀπολαμβάνεσθαι. καὶ μηδεὶς εἴπῃ· „Τί δὲ τοῦτο ἔστιν,“ ἢ πῶς ἄν τις γένοιτο χρόνος, ὃς μεταθῇ ὀνόματα ἀπ' ἀλλήλων διεστάναι κατὰ τὰς τῶν φωνηέντων συμβολάς; δείκνυται γὰρ ὑπό τε μουσικῶν καὶ μετρικῶν ὅτι καὶ μέσου τῶν φωνηέντων χρόνος, ἑτέρων παρεμβολῇ γραμμάτων ἡμιφώνων ἀναπληροῦσθαι δυνάμενος. τοῦτο δ' οὐκ ἂν ἐγίγνετο, μὴ σιωπῆς τινος ἀξιολόγου διεργαούσης τὰ φωνήεντα ἀπ' ἀλλήλων. πρῶτον μὲν δὴ τοῦτο τῆς ἁρμονίας ταύτης ἐστὶν ἰδίωμα, ὡς ἐπὶ τὸ πολύ. ἕτερον δέ, τοιοῦτον· ἀναπαύσεις καὶ ἀντιστιγμοὺς λαμβάνειν καὶ τραχύτητας ἐν ταῖς συμπλοκαῖς τῶν ὀνομάτων, ἐπιστυφούσας τὴν ἀκοὴν ἡσυχῇ βούλεται. ἐνταῦθα πάλιν ἡ τῶν ἀφώνων τε καὶ ἡμιφώνων γραμμάτων δύναμις αἰτία, ὅπως ἂν τὰ λήγοντα τῶν ἡγουμένων μορίων ἢ κράμματα τοῖς ἡγουμένοις, ὡς μηδὲν τῶν ἐπιφερομένων μήτε συναλείφεσθαι, μήτε συγχεῖσθαι, φύσιν ἔχῃ. πολὺ γὰρ δὴ τὸ ἀντίτυπον ἐν ταῖς τούτων συμβολαῖς γίνεται, ὥσπερ γε καὶ ἐν αὐτοῖς ὀνόμασιν, ὅτ' ἂν ἐκ τῶν τραχυνόντων τὴν φωνὴν γραμμάτων αἱ κλεούμεναι συλλαβαὶ συντεθῶσι. πολλῆς δέ τινος ἐνταῦθα δεῖ τῆς τεχνήσεως, ἵνα μὴ κακόφωνον, μηδ' ἄηδες, μηδ' ἄλλην τινὰ ὄχλησιν, ἐνεγκάμεναι ταῖς ἀκοαῖς λάθωσιν αἱ τοιαῦται συζυγίαι, ἀλλ' ἐπανθῇ τις αὐταῖς χνοῦς ἀρχαιοπρεπὴς καὶ χάρις ἀβίαστος. ἀρκεῖ γάρ, ὡς ἂν εἰδόσι λέγοντας,

Digitized by Google

ὅτι φύσιν ἔχει μηδὲν τῶν σπουδαίων ῥημάτων ἄμοιρον ὥρας εἶναι καὶ χάριτος ἰδίας, τοσοῦτον μόνον εἰπεῖν.

39. Ἐν μὲν δὴ τοῖς ἐλαχίστοις τε καὶ στοιχειώδεσι μορίοις τῆς λέξεως ταῦτα χαρακτηριστικὰ τῆς πρώτης ἐστὶν ἁρμονίας· ἐν δὲ τοῖς καλουμένοις κώλοις, ἃ συντίθεται μὲν ἐκ τῶν ὀνομάτων, συμπληροῖ δὲ τὰς περιόδους, οὐ μόνον ταῦτα, ἀλλὰ καὶ τὸ τοὺς ῥυθμοὺς τοὺς καταμετροῦντας αὐτά, μὴ ταπεινοὺς, μηδὲ μαλθακοὺς, μηδ' ἀγενεῖς εἶναι, ὑψηλοὺς δὲ καὶ ἀνδρώδεις καὶ μεγαλοπρεπεῖς. οὐ γὰρ δὴ φαῦλόν τι πρᾶγμα ῥυθμὸς ἐν λόγοις, οὐδὲ προσθήκης τινὸς μοῖραν ἔχον οὐκ ἀναγκαίας· ἀλλ' εἰ δεῖ τἀληθὲς, ὡς ἐμὴ δόξα, εἰπεῖν, ἁπάντων κυριώτατον τῶν γοητεύειν δυναμένων, κηλεῖν τὰς ἀκοάς. πρὸς δὲ τοῖς ῥυθμοῖς καὶ τὸ τοὺς σχηματισμοὺς τῶν ἐννοιῶν γενναίους εἶναι καὶ ἀξιωματικοὺς, οὐ μόνον τοὺς κατὰ τὰς νοήσεις, ἀλλὰ καὶ κατ' αὐτὴν τὴν λέξιν συνισταμένους. ἐξαριθμεῖσθαι δὲ νῦν, ὅσα γένη σχηματισμῶν ἐστι, τῶν τε κατονομασμένων καὶ τῶν ἀκατονομάστων, καὶ τίσιν αὐτῶν ἡ τοιαύτη μάλιστα πέφυκεν ἁρμονία χαίρειν, οὐκ ἔχω καιρόν· ἐπεὶ τῆς ἁρμονίας ταύτης οἰκεῖόν ἐστι καὶ τὸ τὰς περιόδους αὐτουργούς τινας εἶναι καὶ ἀφελεῖς, καὶ μήτε συναρπαζούσας ἑαυτῶν τὸν νοῦν, μήτε συμμετρουμένας τῷ πνεύματι τοῦ λέγοντος, μηδέ γε παραπληρώμασι τῶν ὀνομάτων οὐκ ἀναγκαίοις, ὡς πρὸς τὴν ὑποκειμένην διάνοιαν, χρωμένας, μηδ' εἰς θεατρικούς τινας καὶ γλαφυρούς καταληγούσας;

Digitized by Google

ῥυθμούς. καθάλου δέ γ' οὐδ' ἁπαξάπασι τὸ ἐμπεριόδου ἥδε ἡ σύνθεσις ὡς καὶ πολλαὶ ἀποιήτως δὲ ἅπας καὶ ἀφελῶς, καὶ τὰ πλείω πραγματικῶς κατεσκευάσθαι βούλεται, παραδείγμα ἡγούμενη τὴν ἐπεισόδιον φύσιν. εἰ δὲ πατ' ἀκολουθήσειεν τοῖς ἐνηνοημένοις πόλεως, ἢ περιόδοις, ἢ βάσεσιν εὐρύθμοις, τὰ συμβαίνοντα τῆς αὐτομάτου τύχης, οὐκ ἀποδοκιμάζω· καὶ τοῦτο δ' ἔστι τῆς ἀρχαίας καὶ αὐστηρᾶς ἁρμονίας ἴστε χαρακτηριστικόν· τὸ μήτε συνδέσμοις χρῆσθαι πολλοῖς, μήτ' ἄρθροις συνεχέσιν, ἀλλ' ἔστιν ὅτε καὶ τῶν ἀναγκαίων ἐλάττοσι· τό μὴ χρονίζειν ἐπὶ τῶν αὐτῶν πτώσεων τὸν λόγον, ἀλλὰ θᾶττον μεταπίπτειν· τὸ τῆς ἀκολουθίας τῶν προειρημένων ὑπεροπτικῶς ἔχειν τὴν φράσιν, μηδὲ κατάλληλον· τὸ περιττῶς καὶ ἰδίως καὶ μὴ κατὰ τὴν ὑπόληψιν, ἢ βούλησιν τῶν ἄλλων συζεύγνυσθαι τὰ μόρια. καὶ παραδείγματα δ' αὐτῆς ποιητῶν μὲν καὶ μελοποιῶν ἥ τ' Αἰσχύλου λέξις ὀλίγου δεῖν πᾶσα, καὶ ἡ Πινδάρου· χωρὶς ὅτι μετὰ Καρτερίας, καὶ εἴ τινα τούτοις ὅμοια. κἂν τούτοις συμφωνία καὶ σεμνότης ἁρμονίας τὸν ἀρχαῖον φυλάττουσα τύπον. συγγραφέων δὲ λαμπρότατός τε καὶ μάλιστα τῶν ἄλλων κατορθῶν περὶ ταύτην τὴν ἰδέαν Θουκυδίδης. εἰ δέ τῳ δοκεῖ μαρτυρίων ἔτι δεῖν τῷ λόγῳ, παραλήψῃ τοὺς ποιητάς, ἐκ τῆς Θουκυδίδου λέξεως ταυτί· „Τούτου δὲ τοῦ πολέμου μεγάθη τε μέγα προύβη, παθήματά τε ἐγένετο μεγάλα [ἐν αὐτῷ] τῇ Ἑλλάδι [πολλά,] οἷα οὐκ ἄλλα ἐν ἴσῳ χρόνῳ. οὔτε γὰρ πόλεις τοσάδε ληφ-

Digitized by Google

„θεῖσαι ἠρημώθησαν, αἱ μὲν ὑπὸ βαρβάρων, αἱ „δὲ σφῶν αὐτῶν ἀντιπολεμούντων· εἰσὶ δὲ αἱ καὶ „οἰκήτορας μετέβαλον ἁλισκόμεναι· οὔτε φυγαὶ „τοσαίδε ἀνθρώπων, καὶ φόνος, ὁ μὲν κατ' αὐτὸν „τὸν πόλεμον, ἁ δὲ διὰ τὸ στασιάζειν· τά τε πρό„τερον ἀκοῇ μὲν λεγόμενα, ἔργῳ δὲ σπανιώτερον „βεβαιούμενα, οὐκ ἄπιστα κατέστη, σεισμῶν τε „πέρι, οἱ ἐπὶ πλεῖστον ἅμα μέρος γῆς καὶ ἰσχυρό„τατοι οἱ αὐτοὶ ἐπέσχον· ἡλίου τ' ἐκλείψεις αἱ „πυκνότεραι παρὰ τὰ ἐκ τοῦ πρὶν χρόνου μνημο„νευόμενα ξυνέβησαν· αὐχμοί τ' ἔστι παρ' οἷς με„γάλοι· καὶ ἀπ' αὐτῶν καὶ λιμοί· καὶ οὐχ ἥκιστα „καὶ ἡ βλάψασα καὶ μέρος τε φθείρασα, ἡ λοιμώ„δης νόσος." ἡ μὲν δὴ πρώτη τῶν ἁρμονιῶν ἡ γενικὴ καὶ αὐστηρὰ καὶ μεγαλόφρων καὶ τὸ ἀρχαιοπρεπὲς διώκουσα, τοιάδε τίς ἐστι κατὰ τὸν χαρακτῆρα.

40. Ἡ δὲ μετὰ ταύτην γλαφυρὰ καὶ θεατρικὴ, καὶ τὸ κομψὸν αἱρουμένη πρὸ τοῦ σεμνοῦ, τοιαύτη· ὀνομάτων αἰεὶ βούλεται λαμβάνειν τὰ λειότατα καὶ μαλακώτατα, τὴν εὐφωνίαν θηρωμένη καὶ τὴν ἐμμέλειαν, ἐξ αὐτῶν δὲ τὸ ἡδὺ· ἔπειτα οὐχ ὡς ἔτυχεν ἀξιοῖ ταῦτα τιθέναι, οὐδ' ἀπερισκέπτως συναρμόττειν θάτερα τοῖς ἑτέροις, ἀλλὰ διακρίνουσα τὰ ποῖα τοῖς ποίοις παρατιθέμενα μουσικωτάτους ποιεῖν δυνήσεται τοὺς ἤχους· καὶ σκοποῦσα, κατὰ ποῖον σχῆμα ληφθέντα χαριεστέρας ἀποτελέσει τὰς συζυγίας, οὕτως συναρμόττειν ἕκαστα πειρᾶται, πολλὴν σφόδρα ποιουμένη φροντίδα τοῦ συνεξέσθαι

καὶ συνειλῆφθαι, καὶ προσπεπεῖς ἁπάντων αὐτῶν εἶναι τὰς ἁρμονίας. καὶ διὰ τοῦτο φεύγει μὲν ἁπάσῃ σπουδῇ τὰς τῶν φωνηέντων συμβολὰς, ὡς τὴν λειότητα καὶ τὴν εὐέπειαν διαπώσας· φεύγει δὲ, ὅση δύναμις αὐτῇ, τῶν ἡμιφώνων τε καὶ ἀφώνων γραμμάτων τὰς συζυγίας, ὅσαι τραχύνουσι τοὺς ἤχους, καὶ ταράττειν δύνανται τὰς ἀκοάς. ἐπειδὴ γὰρ οὐκ ἐνδέχεται πᾶσαν σημαινούσαν σῶμα [ἢ] πρᾶγμα λέξιν ἐξ εὐφώνων συγκεῖσθαι, τὰς αὐτὰς καὶ κακῶς ἐνδέχεται. ὃ δὴ διδοῦσιν ἡ φύσις, τοῦτο πειρᾶται λαμβάνειν ταῖς συζυγίαις αὐταῖς, καὶ ποιεῖν ἡδίους καὶ μαλακωτέρας λέξεις ὑπομένει, πρὸς τὸν ὑποκείμενον νοῦν οὔτ' ἀναγκαίας, οὔτ' ἴσως χρησίμας, δεσμοῦ δέ τινος, ἢ κόλλης, τάξιν ταῖς πρὸ αὐτῶν καὶ μετὰ ταύτας κειμέναις ἀνομοίαις παρεξομένας· ἵνα μὴ συναπτόμεναι πρὸς ἀλλήλας αἱ καταλήγουσαί τε εἰς τραχὺ γράμμα, καὶ αἱ τὴν ἀρχὴν ἀπό τινος τοιούτου λαμβάνουσαι, σπασμοὺς τῶν ἤχων ποιῶσι καὶ ἀντιτυπίας, τῇ δὲ παρεμπιπτούσῃ λέξει προσαναπαυόμεναι, μαλακοὺς φαίνεσθαι ποιῶσι τοὺς ἤχους καὶ συνεχεῖς· τὸ γὰρ ὅλον ἐστὶν αὐτῆς βούλημα, καὶ ἡ πολλὴ πραγματεία, περὶ τὸ συνᾆσθῆναί τε καὶ συνυφάνθαι πάντα τὰ μόρια τῆς περιόδου, μιᾶς λέξεως ἀποτελοῦντα φαντασίαν. καὶ ἔτι πρὸς τούτῳ περὶ τὸ πᾶσαν εἶναι τὴν λέξιν, ὥσπερ ἐν ταῖς μουσικαῖς συμφωνίαις, ἡδεῖαν καὶ λιγυράν. τούτων δὲ τὸ μὲν αἱ τῶν ἁρμονιῶν ἀκρίβειαι ποιοῦσι, τὸ δὲ αἱ τῶν πραγμάτων δυνάμεις οἰκείως ἐχόντων πρὸς ἄλληλα

Digitized by Google

ταῖς κατὰ τοὺς νόμους συμπαθείαις· ὑπὲρ ὧν ἑτέρας ἐπιστήμης θεωρία. ἐπιτρόχαλος δή τις χίνεται καὶ καταφερὴς ἡ ῥύσις τῆς λέξεως, ὥσπερ κατὰ πρανοῦς φερόμενα χωρίου σώματα, μηδενὸς αὐτῆς ἀνακούοντος· καὶ διαῤῥεῖ διὰ τῆς ἀκοῆς ἡδέως πως καὶ ἀσπαστῶς, οὐδὲν ἧττον, ἢ τὰ δι' ᾠδῆς καὶ ὀργάνου μουσωθέντα κρούματα καὶ μέλη. ἔτι τῆς συνθέσεως ταύτης ἐστὶ καὶ τὰ κῶλα δεῖνα ποιήμασιν ἐμφερῆ, μαλακόφωνα καὶ λεῖα, πολὺ τὸ κωτίλον ἔχοντα, κατά τινα φιλότητα φυσικὴν συζευγνύμενα ἀλλήλοις, ἐξ ὧν ἡ περίοδος συνέστηκεν. οὐδὲν γὰρ ἔξω περιόδου συντίθησιν ἐπὶ τῶν ῥυθμῶν. εἰς ἃς δὲ ἀποστέλλεται περιόδους, οὐ τοὺς ἀξιωματικοὺς βούλεται λαμβάνειν, ἀλλὰ τοὺς χαριεστάτους· εὐκόρυφοι δὴ φαίνονται καὶ εὔγραμμοι διὰ τοῦτο, καὶ εἰς ἕδραν ἀσφαλῆ τελευτῶσι· τῶν δὲ σχημάτων διώκει τὰ κινητικώτατα τῶν ὄχλων· καλλωπίζεται γὰρ καὶ τέθηλε τούτοις, ἂν ἄχρι τοῦ μὴ λυπῆσαι τὰς ἀκοὰς προβαίνῃ· ὡς εἰσὶν αἵ τε παρισώσεις καὶ παρομοιώσεις καὶ ἀντιθέσεις, καὶ τὰ παρωνομασμένα, τὰ τ' ἀντιστρέφοντα, καὶ τὰ ἐπαναφερόμενα, καὶ ἄλλα πολλά. τοιαῦτά τινά μοι καὶ ταύτης εἶναι φαίνεται χαρακτηριστικὰ τῆς ἁρμονίας. παραδείγματα δ' αὐτῆς ποιοῦμαι, ποιητῶν μὲν Ἡσίοδόν τε καὶ Σαπφῶ καὶ Ἀνακρέοντα· τῶν δὲ πεζῇ λέξει χρησαμένων Ἰσοκράτην τε τὸν Ἀθηναῖον, καὶ τοὺς ἐκείνῳ πλησιάσαντας. εἴρηνται μὲν οὖν πρότερον ἤδη λέξεις τινὲς, ἐν αἷς τὸν ὅλον χαρακτῆρα αὐτοῦ τῆς λέξεως ὑπέγραφον· ἐξ ὧν καὶ τὰ περὶ τὴν σύνθεσιν, εἰ τοιαῦτά

Digitized by Google

ἐστιν, οἷα λέγομεν ἡμεῖς, οὐ χαλεπῶς ἄν τις ἴδοι. ἵνα δὲ μὴ δόξωμεν διαρτᾶν τὰς ἀκολουθίας, τοὺς ἀναγινώσκοντας ἐπὶ τὰ ἐν ἀρχαῖς ῥηθέντα παραδείγματα κελεύοντες ἀναστρέφειν, λαμβανέσθω κἀνταῦθα ἐκ τῶν πανηγυρικῶν αὐτοῦ λόγων λέξις οὐ πολλὴν διατριβὴν παρέξουσα τοῖς ἀναγνωσομένοις, ἐν ᾗ διεξέρχεται τὰ πραχθέντα Ἀθηναίοις περὶ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν. ἔστι δὲ ἥδε· „Ἐπειδὴ γὰρ οὐχ οἷοί τε ἦσαν πρὸς ἀμφοτέρας ἅμα „παρατάξασθαι τὰς δυνάμεις, παραλαβόντες ἅπαν„τα τὸν ὄχλον, ἐκ τῆς πόλεως εἰς τὴν ἐχομένην νῆ„σον ἐξέπλευσαν, ἵν' ἐν μέρει πρὸς ἑκατέραν δύνα„μιν, καὶ μὴ πρὸς ἀμφοτέρας ἅμα, κινδυνεύωσι. „καίτοι πῶς ἂν ἐκείνων ἄνδρες ἀμείνους, ἢ μᾶλλον „φιλέλληνες ὄντες ἐπιδειχθεῖεν, οἵτινες ἔτλησαν „ἐπιδεῖν, ὥστε μὴ τοῖς πολλοῖς αἴτιοι γενέσθαι τῆς „δουλείας, ἐρήμην μὲν [τὴν] πόλιν γιγνομένην, τὴν „δὲ χώραν πορθουμένην, ἱερὰ δὲ συλώμενα, καὶ „νεῶς ἐμπιμπραμένους, ἅπαντα δὲ τὸν πόλεμον „περὶ [τὴν] πατρίδα τὴν αὐτῶν γενόμενον; καὶ „μηδὲ ταῦτ' ἀπέχρησεν αὐτοῖς, ἀλλὰ πρὸς διακοσίας „καὶ χιλίας τριήρεις μόνοι διαναυμαχεῖν οὐκ ἐμέλ„λησαν; οὐ μὴν εἰάθησάν [γε.] καταισχυνθέντες „[τε] γὰρ Πελοποννήσιοι τὴν ἀρετὴν αὐτῶν, καὶ „νομίσαντες, προδιαφθαρέντων μὲν τῶν ἡμετέρων, „οὐδ' αὐτοὶ σωθήσεσθαι, κατορθωσάντων δ', εἰς „ἀτιμίαν τὰς αὐτῶν πόλεις καταστήσειν, ἠναγκά„σθησαν μετασχεῖν τῶν κινδύνων. καὶ τοὺς μὲν „θορύβους τοὺς ἐν τῷ πράγματι γιγνομένους, καὶ

Digitized by Google

„τὰς κραυγὰς καὶ τὰς παρακελεύσεις, ἃ κοινὰ πάν-
„των ἐστὶ τῶν ναυμαχούντων, οὐκ οἶδ', ὅ τι δεῖ
„λέγοντα διαπρίβειν· ἃ δ' ἔστιν ἴδια καὶ τῆς ἡγε-
„μονίας ἄξια, καὶ τοῖς προειρημένοις ὁμολογούμε-
„να, ταῦτα δ' ἐμοὶ ἔργον ἐστὶν εἰπεῖν. τοσοῦτον
„γὰρ ἡ πάλις ἡμῶν διέφερεν, ὅτε ἦν ἀκέραιος, ὥστε
„ἀνάστατος γενομένη, πλείους μὲν συνεβάλετο τριή-
„ρεις εἰς τὸν κίνδυνον τὸν ὑπὲρ τῆς Ἑλλάδος, ἢ
„σύμπαντες οἱ [ναυμαχήσαντες· οὐδεὶς δὲ πρὸς
„ἡμᾶς οὕτως ἔχει δυσμενῶς, ὅστις οὐκ ἂν ὁμολο-
„γήσειε, διὰ μὲν τὴν] ναυμαχίαν ἡμᾶς τῷ πολέμῳ
„κρατῆσαι, ταύτης δὲ τὴν πάλιν αἰτίαν γεγενῆσθαι.
„καίτοι μελλούσης στρατείας ἐπὶ τοὺς βαρβάρους
„ἔσεσθαι, τίνας χρὴ τὴν ἡγεμονίαν ἔχειν; οὐ τοὺς
„ἐν τῷ προτέρῳ πολέμῳ μάλιστα εὐδοκιμήσαντας,
„καὶ πολλάκις μὲν ἰδίᾳ προκινδυνεύσαντας, ἐν δὲ
„τοῖς κοινοῖς τῶν ἀγώνων ἀριστείων ἀξιωθέντας;
„οὐ τοὺς τὴν αὐτῶν καταλιπόντας περὶ τῆς τῶν ἄλ-
„λων σωτηρίας, καὶ τό τε παλαιὸν οἰκιστὰς πλεί-
„στων πόλεων γενομένους, καὶ πάλιν αὐτὰς ἐκ τῶν
„μεγίστων συμφορῶν διασώσαντας; πῶς δ' οὐκ
„ἂν δεινὰ πάθοιμεν, εἰ τῶν κακῶν πλεῖστον μέρος
„μετασχόντες, ἔλαττον ταῖς τιμαῖς ἔχειν ἀξιωθεί-
„μεν, καὶ τότε προταχθέντες πρὸ τῶν ἄλλων, νῦν
„ὑπολαυθεῖν ἀναγκασθείημεν;"

41. Τῆς δὲ τρίτης ἁρμονίας, ἣν ἔφην μικτὴν
ἐξ ἀμφοῖν εἶναι, τὰ χρησιμώτατα ἐκλέγουσαν ἀφ'
ἑκατέρας, οὐδείς ἐστι χαρακτὴρ ἴδιος· ἀλλ' ὡς ἂν
οἱ μετιόντες αὐτὴν προαιρέσεως ἔχωσιν, ἢ δυνά-

Digitized by Google

μεως, τὰ μὲν φυγεῖν, τὰ δὲ λαβεῖν, οὕτως κίρνανται, καθάπερ ἐν τῇ ζωγραφίᾳ τὰ μίγματα. ταύτης τῆς ἁρμονίας κράτιστος μὲν ἐγένετο κανὼν ὁ ποιητὴς Ὅμηρος, καὶ οὐκ ἂν τις εἴποι λέξιν ἄμεινον ἡρμοσμένην τῆς ἐκείνου πρὸς ἄμφω ταῦτα· λέγω δὲ τήν τε ἡδονὴν, καὶ τὸ σεμνόν. ἐζήλωσαν δ' αὐτὸν ἐπῶν τε πολλοὶ ποιηταὶ καὶ μελῶν, ἔτι δὲ τραγῳδίας τε καὶ κωμῳδίας· συγγραφεῖς τ' ἀρχαῖοι καὶ φιλόσοφοι καὶ ῥήτορες· ὧν ἁπάντων μεμνῆσθαι πολὺ ἂν ἔργον εἴη. ἀρκέσει δὲ τῶν ἐν λόγοις δυναστευσάντων, οὓς ἐγὼ κρατίστους εἶναι πείθομαι, δύω παρασχέσθαι μόνους· συγγραφέων μὲν Ἡρόδοτον, φιλοσόφων δὲ Πλάτωνα· καὶ γὰρ ἀξίωμα καὶ χάρις αὐτῶν ἐπιρέχει ταῖς ἁρμονίαις. εἰ δ' ὑρθὰ ἐγὼ καὶ εἰκότα ἔγνωκα περὶ αὐτῶν ἐξετάσας, τῷ βουλομένῳ σκοπεῖν ἐστιν. φέρε δή τις οὐκ ἂν ὁμολογήσειε τῆς τ' αὐστηρᾶς καὶ τῆς ἡδείας ἁρμονίας μέσην εἶναι τήνδε τὴν λέξιν, καὶ τὰ κράτιστα εἰληφέναι παρ' ἑκατέρας, ἣ κέχρηται Ἡρόδοτος ἔξῃ περιτιθεὶς τὸν λόγον, ὅτ' ἐβουλεύετο περὶ τῆς πρὸς τοὺς Ἕλληνας στρατείας, μετακεκόμισται δ' εἰς τὴν Ἀττίδα διάλεκτον ἡ λέξις· „Ἄνδρες Πέρσαι, „οὔτε αὐτὸς καθηγήσομαι νόμον τόνδ' ἐν ὑμῖν τι„θεὶς· παραδεξάμενός τε αὐτῷ χρήσομαι. ὡς [γὰρ] „ἐγὼ πυνθάνομαι τῶν πρεσβυτέρων, οὐδένα χρό„νον ἠτρεμήσαμεν, ἐξ οὗ παρελάβομεν τὴν ἡγεμό„νίαν τήνδε παρὰ [τῶν] Μήδων, Κύρου καθελόν„τος Ἀστυάγην· ἀλλὰ θεός τε οὕτως ἐνάγει, καὶ „αὐτοῖς ἡμῖν πολλὰ ἐπιοῦσι συμφέρεται ἐπὶ τὰ

Digitized by Google

„ἄμεινον. ἃ μὲν δὴ Κῦρός τε καὶ Καμβύσης, πα-
„τήρ τε ὁ ἐμός, Δαρεῖος, κατειργάσαντο [καὶ προσ-
„εκτήσαντο] ἔθνη, ἐπισταμένοις οὐκ ἄν τις λέγοι·
„ἐγὼ δ', ἐπειδὴ παρέλαβον τὸν θρόνον, τούτου
„ἐφρόντιζον, ὅπως μὴ λείψομαι τῶν πρόσθεν γε-
„νομένων ἐν [τῇ] τιμῇ τῇδε, μηδ' ἐλάσσω προσκτή-
„σωμαι δύναμιν Πέρσαις. φροντίζων δὲ εὑρίσκω
„ἅμα μὲν κῦδος ἡμῖν προσγινόμενον, χώραν τε,
„ἧς νῦν κεκτήμεθα, οὐκ ἐλάσσονα, οὐδὲ φαυλο-
„τέραν, πολλαπλασίονά τε, ἅμα δὲ τιμωρίαν καὶ
„τίσιν γινομένην. διὰ δὴ ταῦτα νῦν ὑμᾶς ἐγὼ συν-
„έλεξα, ἵνα, ἃ διανοοῦμαι πράττειν, ὑποθῶ ὑμῖν.
„μέλλω, ζεύξας τὸν Ἑλλήσποντον, ἐλαύνειν στρα-
„τὸν διὰ τῆς Εὐρώπης ἐπὶ τὴν Ἑλλάδα, ἵνα Ἀθη-
„ναίους τιμωρήσωμαι, ὅσα δὴ πεποιήκασι Πέρσας
„τε καὶ πατέρα τὸν ἐμόν. ὁρᾶτε μὲν δὴ καὶ [πα-
„τέρα τὸν ἐμὸν] Δαρεῖον προθυμούμενον στρατεύε-
„σθαι ἐπὶ τοὺς ἄνδρας τούτους· ἀλλ' ὁ μὲν τετε-
„λεύτηκε, καὶ οὐκ ἐξεγένετ' αὐτῷ τιμωρήσασθαι·
„ἐγὼ δ' ὑπέρ τ' ἐκείνου καὶ τῶν ἄλλων Περσῶν οὐ
„πρόσθεν παύσομαι, πρὶν ἕλω τε καὶ πυρώσω τοὺς
„Ἀθήνας· οἵ γε ἐμέ τε καὶ πατέρα τὸν ἐμὸν ὑπῆρ-
„ξαν ἄδικα ποιοῦντες. πρῶτα μὲν εἰς Σάρδεις ἐλ-
„θόντες ἅμα Ἀρισταγόρᾳ τῷ Μιλησίῳ, δούλῳ δὲ
„ἡμετέρῳ, ἐνέπρησαν τὰ τ' ἄλση καὶ τὰ ἱερά· δεύ-
„τερα δὲ, ὑμῶν αὐτῶν ἔδρασαν, εἰς τὴν γῆν τὴν σφε-
„τέραν ἀποβάντας, ὅτε Δάτις τε καὶ Ἀρταφέρνης
„ἐστρατήγουν, ἐπίστασθέ που πάντες. τούτων μέν-
„τοι ἕνεκα ἀνώρμημαι ἐπ' αὐτοὺς στρατεύεσθαι.

Digitized by Google

„ἀγαθὰ δ' ἐν αὐτοῖς τοσάδε ἀνευρίσκω λογιζόμε-
„νος, εἰ τούτους τε καὶ τοὺς τούτοις πλησιοχώρους
„καταστρεψόμεθα, τὸ Ἰλλυριῶν τοῦ Φρυγῶν πε-
„μονέστατα χώραν, γῆν τε τὴν Περσῶν ἀποδείξομεν
„τῆς Δηλίων νήσου ἐλάττω οὖσαν. οὐ γὰρ δὴ χώραν
„γε οὐδὲ μίαν κατόψεται ὁ ἥλιος ὅμορον οὖσαν τῇ
„ἡμετέρᾳ, ἀλλ' αὐτῆς ἁπάσης ἐγὼ ὑμῖν μίαν
„χώραν θήσω, διὰ πόντου ἐξελθὼν τῆς Εὐρώπης.
„πυνθάνομαι γὰρ οὐδὲ ἔχειν οὔτε τινὰ πόλιν αὐ-
„τῶν εὐδαιμονίαν, οὔτε ἔθνος ἀνθρώπων οὐδέν, ὑπο-
„λείπεσθαι ὑμῶν, ὃ οἷόν τε ἦσαι ἐλθεῖν εἰς μάχην,
„τοῦτον, ὃν ἐλέγχω, ὑπερημένον· οὕτως οὔ τε
„ἡμῖν ἀνάγκη ἔχουσα δουλεύειν ἔγωγε, οὔτε Ἀθηναῖοι
„ὑμεῖς δ' ἄν μοι τάδε ποιοῦντες χαρίζεσθε, ὅταν
„δὲν ὑμῶν σημήνω τὸν χρόνον, εἰς ὃν ἡμῖν ἥκειν
„δοκεῖ, προθύμους ὑμᾶς ἅπαντας δεῦρο παρεῖναι.
„ὃς δ' ἂν ἕλθῃ ἔχων κατεσκευασμένον στρατιὸν
„πλείστην, δώσω αὐτῷ δεῖπνον, ἢ μὴ σκηνοῦντα
„νομίζεσθαι ἐν τῇ ἡμετέρᾳ. ποιητὸν μὲν δὴ τοῦ-
„τον οὕτως ἵνα ἀβίωτον ἡμῖν ἀπεργάσωμαι ὑμῖν δοκῶν
„εἶναι τὸ παραγγέλλειν μόνον, χρήματα δὲ τοῦτο
„ὑμῶν τὸν βουλόμενον ἀποφαίνεσθαι.“

42. Ἐβουλόμην δ' ἂν πλείω παρασκευάσασθαι παρα-
δείγματα τῆς τοῦ συγγράφεως ἀρχαιότητος· ἰσχυροτέρα
γὰρ ἡ πίστις οὕτως ἂν γένοιτο. νῦν δὲ ἐξείργομαι,
σπεύδων ἐπὶ τὰ ὑποκείμενα, καὶ ἅμα δόξαν ὑφορώ-
μενος ἀπειρίας. συγγνώσεται δέ μοι καὶ πλείων ὁ
θαυμάσας, εἰ μὴ παραθήσομαι κἀκεῖνον λέξεις, ἣ
μάλα ὑπόμνησις ὡς ἐν εἰδόσι. καὶ τοῦτο δὲ δὴ βου-

Digitized by Google

λόμενος τάς τε διαφορὰς τῶν ἁρμονιῶν, καὶ τοὺς χαρακτῆρας αὐτῶν καὶ τοὺς πρωτεύσαντας ἐν αὐτοῖς διῆλθον· ἵν', ἐπειδὰν ἀποφαίνωμαι γνώμην, ὅτι τὴν μέσην τε καὶ μικτὴν ἁρμονίαν ἐπεσήμανεν ὁ Δημόσθενης, μηδεὶς ὑποτυγχάνῃ μοι, ταῦτα λέγων· Αἱ γὰρ ἄκραι τίνες εἰσὶν ἁρμονίαι; καὶ τίς αὐτῶν ἑκατέρας φύσις; καὶ τίς ἡ μίξις, ἢ ἡ πρᾶσις αὐτῶν; οὐδὲν γὰρ δεῖ τῶν ἄκρων. τούτου μὲν δὴ πρώτου χάριν, ὥσπερ ἔφην, ἠναγκάσθην προειπεῖν. ἔπειτα, ἵνα μοι μὴ μονόκωλος ᾖ, μηδ' αὐστηρὸς ὁ λόγος, ἀλλ' ἔχῃ τινὰς εὐπαιδεύτους διαγωγάς· φεῦγε γὰρ πιστεύειν τὰς τοιαύτας προσθήκας, οὔτε ἀπαιτοῦντος λόγου παραλιπεῖν· κακῶς ἂν ἔχοι.

43. Δεδειγμένης δή μοι σῆς διαιρέσεως τοῦ ῥήτορος ταύτης, ἤδη τις παρ' ἐμοῦ σκοπείτω τὰ λεχθέντα, ὅτι τοιοῦτ' ἔστιν, ἐνθυμούμενος μὲν, ὅσα σεμνῶς κατεσκεύασται τῷ ἀνδρὶ καὶ αὐστηρῶς καὶ ἐξιωματικῶς· ἐνθυμούμενος δὲ, ὅσα περιττῶς καὶ ἡδέως. εἰ δὲ μὴ ἐντεῦθεν ἔδοξέ τι δεῖν ἡ πάτις ἀναβαίνειν, ὅπερ ἐβουλόμην τῶν λόγων αὐτοῦ προχειριζόμενος, καὶ ἀφ' οὗ βούλεται μέρους ἀρξάμενος, καταβαίνων τε καὶ σκοπῶν τῶν λεγομένων ἕκαστον, ἃ τὰ μὲν ἀναβεβηκέναι ἔχει πρὸς ἁρμονίας καὶ διαστάσεις, τὰ δὲ προσκεκλῶσθαι καὶ συμπεπυκνωμένα· καὶ τὰ μὲν ἀπευθύνει τε καὶ προαίνει τὴν ἀκοήν, τὰ δὲ πραΰνει καὶ λειαίνει· καὶ τὰ μὲν εἰς πάθος ἐκτρέπει τοὺς ἀκούοντας, τὰ δ' εἰς ἦθος ὑπάγεται, τὰ δ' ἄλλας τινὰς ἐργάζεται καὶ

Digitized by Google

πολλὰς διαφορὰς παρ' αὐτὴν τὴν σύνθεσιν, οἷά ἐστι ταυτί· χρήσομαι δὲ παραδείγμασιν οὐκ ἐξ ἐπιτηδεύσεως, ἀλλ' οἷς ἐνέτυχον, ἐξ ἑνὸς τῶν Φιλιππικῶν λαβών· „Εἰ δέ τις ὑμῶν, ὦ [ἄνδρες] Ἀθηναῖοι, τὸν Φίλιππον εὐτυχοῦντα ὁρῶν, ταύτῃ φοβερὸν προσπολεμῆσαι νομίζει, σώφρονος μὲν ἀνθρώπου προνοίᾳ χρῆται· μεγάλη γὰρ ῥοπή, μᾶλλον δὲ ἅλον ἡ τύχη παρὰ πάντ' ἔστι τὰ τῶν ἀνθρώπων πράγματα. οὐ μὴν ἀλλ' ἔγωγε, εἴ τις αἱρεσίν μοι δοίη, τὴν τῆς ἡμετέρας πόλεως τύχην ἂν ἑλοίμην, ἐθελόντων, ἃ προσήκει ποιεῖν, ὑμῶν καὶ κατὰ μικρόν, ἢ τὴν ἐκείνου." ἐν ταῖς τρισὶ περιόδοις ταύταις τὰ μὲν ἄλλα ὀνόματα πάντα εὐφώνως τε σύγκειται καὶ ἡδέως, τῷ συγκεῖσθαι σφόδρα, καὶ μαλακὰς αὐτῶν εἶναι τὰς ἁρμονίας· ὀλίγα δ' ἔστι παντάπασιν, ἃ διΐστησι τὰς ἁρμονίας, καὶ τραχείας φαίνεσθαι ποιεῖ αὐτάς. ἐν μὲν τῇ πρώτῃ περιόδῳ κατὰ δύο τρόπους τὰ φωνήεντα συγκρουόμενα, ἔν τε τῷ „Ὦ ἄνδρες Ἀθηναῖοι," καὶ [ἐν τῷ] „Εὐτυχοῦντα ὁρῶν·" ἃ καὶ διΐστησι τὸ συναφές. καὶ κατ' ἄλλους δύο τρόπους, ἢ τρεῖς, τὰ ἡμίφωνα παραπίπτοντα ἀλλήλοις τὰ φύσιν οὐκ ἔχοντα συναλείφεσθαι, ἔν τε τῷ „Τὸν Φίλιππον," καὶ ἐν τῷ „Ταύτῃ φοβερὸν προσπολεμῆσαι," ταράττει τοὺς ἤχους μετρίως, καὶ οὐκ ἰᾷ φαίνεσθαι μαλακούς. ἐν δὲ τῇ δευτέρᾳ περιόδῳ τραχύνεται μὲν ἡ σύνθεσις ἐν τῷ „Μεγάλη γὰρ ῥοπή," διὰ τὸ μὴ συναλείφεσθαι τὰ δύο ρ ρ· καὶ ἐν τῷ „Ἀνθρώπων πράγματα," διὰ τὸ μὴ συλλείπεσθαι τῷ ἑξῆς· δια-

Digitized by Google

σπᾶται δ' ἐν τῷ „Μᾶλλον δὲ ὅλον ἡ τύχη," βραχέων φωνηέντων πολὺν τὸν μεταξὺ χρόνον περιλαμβανόντων. ἐν δὲ τῇ τρίτῃ περιόδῳ τὰ φωνήεντα μέν, εἴ τις αὐτὰ βούλοιτο συναλείψας ἐκθλίβειν, ὥσπερ τὸ „Οἴομαι" καὶ „Δέον," οὐκ ἂν εὕροις συμπλεκόμενα ἀλλήλοις. τῶν δὲ συμφωνουμένων δυσὶν, ἢ τρισὶν χωρίοις τὴν λειότητα μὴ φυλάττουσαι συντυπαιμένοις εὑρεθήσονται, ἐν τῷ „Αἱρεσίν μοι „δοίη," καὶ ἐν τῷ „Τῆς ἡμετέρας πόλεως." μέχρι μὲν δὴ τῶν ἡ δευτέρα τὰ πρωτεῖα ἁρμονία φέρει· ἐν δὲ τοῖς ἑξῆς ἡ πρατέρα διέσπασται μᾶλλον τῆς ἑτέρας· „Πολὺ γὰρ πλείους ἀφορμὰς εἰς τὸ „τὴν παρὰ τῶν θεῶν εὔνοιαν ἔχειν ὁρῶ ὑμῖν ἐνού„σας, ἢ ἐκείνοις. ἀλλ', οἶμαι, καθήμεθα οὐδὲν „ποιοῦντες· οὐκ ἔνι δ' αὐτὸν ἀργοῦντα οὐδὲ φί„λοις ἐπιτάττειν, μή τί γε θεοῖς." ἐν τούτοις γὰρ δὴ τὰ φωνήεντα πολλοχῇ συγκρουόμενα δῆλά ἐστι, καὶ τὰ ἡμίφωνα καὶ ἄφωνα· ἐξ ὧν στηριγμούς τε καὶ ἐγκαθισμοὺς αἱ ἁρμονίαι λαμβάνουσι, καὶ τραχύτητας αἱ φωναὶ συχνάς· ἔπειθ' αἱ ταύταις ἐπιβάλλουσι φωνήεντων· καὶ παρὰ τοῦτο ἐπιτρόχαλος αὐτῶν ἐστιν ἡ σύνθεσις. ἄφωνα δὲ καὶ ἡμιφώνων συμβολαῖς διαχαραττόμενα, τραχύνουσι τὴν φωνὴν συμμέτρως. καὶ τἆλλα δὲ τὸν αὐτὸν ἅπαντα κατεσκεύασται τρόπον. τί γὰρ δεῖ τὰ πλείω λέγοντα μηκύνειν; αὖ μόνον δὲ αἱ τῶν ὀνομάτων συζυγίαι τὴν μικτὴν ἁρμονίαν λαμβάνουσι παρ' αὐτῷ καὶ μέσην, ἀλλὰ καὶ αἱ τῶν κώλων κατασκευαί τε καὶ συνθέσεις, καὶ τὰ τῶν περιόδων μήκη τε καὶ

Digitized by Google

σχήματα, καὶ δὶ περιλαμβάνοντες αὐτάς τε καὶ τὰ κῶλα ῥυθμοί. καὶ γὰρ καὶ κατὰ κόμματα πολλὰ εἴρηται τῷ ἀνδρί· καὶ τὰ πλεῖστά γε οὕτως κατεσκεύασται· καὶ ἐν περιόδοις οὐκ ὀλίγα. τῶν δὲ περιόδων αἱ μὲν εἰσιν εὐκόρυφοι καὶ στρογγύλαι ὥσπερ ἀπὸ τόρνου· αἱ δὲ ὕπτιαί τε καὶ κεχυμέναι, καὶ οὐκ ἔχουσαι τὰς βάσεις περιττάς· μήκει τε αἱ μὲν θάττους, ὥστε συμμετρηθῆναι πρὸς ἀνδρὸς πνεῦμα· αἱ δὲ πολλῷ μείζους, οἷαι καὶ μέχρι τῆς τετάρτης ἀναπαύσεως προελθοῦσαι, τότε λήγειν εἰς πέρας. τῶν τε σχημάτων ἔνθα μὲν ἄν τις εὕροι τὰ σεμνὰ καὶ αὐστηρὰ καὶ ἀρχαῖα πλεονάζοντα· ἔνθα δὲ τὰ λυρικὰ καὶ γλαφυρὰ καὶ ἀρχαῖα καὶ θεατρικά· καὶ τῶν ῥυθμῶν πολλαχῇ μὲν τοὺς ἀνδρώδεις καὶ ἀξιωματικοὺς καὶ εὐγενεῖς, σπανίως δέ που τοὺς ὑπορχηματικούς τε καὶ Ἰωνικοὺς καὶ διακλωμένους· ὑπὲρ ὧν ὀλίγον ὕστερον ἐροῦμεν· ἕτερος γὰρ ἐπιτηδειότερος αὐτοῖς ἔσται τόπος. νυνὶ δέ, ὃ προσαπαιτῶν ἔοικεν ὁ λόγος, ἔτι προσθεὶς, ἐπὶ τὰ λοιπὰ τῶν προκειμένων μεταβήσομαι.

44. Τί δὲ τοῦτ' ἔστιν; ἐπειδὴ πρατίστην μὲν ἔφην εἶναι τὴν μικτὴν σύνθεσιν, ταύτῃ δὲ κεχρῆσθαί φημι τὸν Δημοσθένην ἁπάντων μετριώτατα τῶν ἄλλων, ἐπιτάσεις δὲ καὶ ἀνέσεις ἀξιολόγους ἐν αὐτῇ ποιεῖσθαι, τοτὲ μὲν ἀξιωματικωτέραν, τοτὲ δ' εὐπρεπεστέραν, ποιοῦντα τὴν ἀγωγήν· τί δή ποτε βουλόμενος σὺ πορεύεται μίαν αἰεὶ καὶ τὴν [αὐτὴν] ὁδόν; καὶ τὸ ἐν τῷδε, ἢ τῷδε, πλεονάζειν χαρακτῆρι, ποίοις τισὶν ὁρίζει κανόσι; δοκεῖ δή

Digitized by Google

μοι φύσει τε καὶ πείρᾳ διδαχθεὶς ὁ ἀνὴρ, πρῶτον μὲν ἐκεῖνο καταμαθεῖν, ὅτι οὐχ ὁμοίας ἀπαιτοῦσι κατασκευὰς λέξεως οἱ πρὸς τὰς παννυχίδας καὶ σχολὰς συῤῥέοντες ὄχλοι τοῖς εἰς τὰ δικαστήρια καὶ τὰς ἐκκλησίας ἀπαντῶσιν· ἀλλ' οἱ μὲν ἀπάτης ἐρέγονται καὶ ψυχαγωγίας, οἱ δὲ διδαχῆς ὧν ἐπιζητοῦσι καὶ ὠφελείας. οὔδε δὴ τὸν ἐν δικαστηρίοις λόγον ἔφετο δεῖν κωτίλλειν καὶ λιγαίνειν, οὔτε τὸν ἐπιδεικτικὸν αὐχμοῦ μεστὸν εἶναι καὶ πίνου. παννυχικοὺς μὲν οὖν λόγους οὐκ ἔχομεν αὐτοῦ παρασχέσθαι· πάντας γὰρ ἔγωγε τοὺς ἀναφερομένους εἰς αὐτὸν, ἀλλοτρίους εἶναι πείθομαι, καὶ οὐδὲ κατὰ μικρὸν ἔχονας τὸν ἐκείνου χαρακτῆρα, οὔτ' ἐν τοῖς νοήμασι, τῆς δὲ συνθέσεως ὅλῳ καὶ τῷ παντὶ λειπομένους· ὧν ἐστιν ὅ τε φορτικὸς καὶ πενὸς καὶ παιδαριώδης ἐπιτάφιος, καὶ τὸ τοῦ σοφιστικοῦ λήρου μεστὸν ἐγκώμιον εἰς Παυσανίαν. τὰς δὲ περὶ τούτων ἀποδείξεις οὐχ οὗτος ὁ καιρὸς λέγειν.

45. Ἐκ δὲ τῶν ἐναγωνίων αὐτοῦ λόγων, ὅσοι πρὸς δικαστήρια γεγόνασιν, ἢ πρὸς ἐκκλησίας, τεκμαίρομαι, ὅτι ταύτην τὴν γνώμην ὁ ἀνὴρ εἶχεν. ὁρῶ γὰρ αὐτὸν, εἴ ποτε λάβοι πράγματα χαριεστέρας δεόμενα κατασκευῆς, παννυχικὴν αὐτοῖς ἀποδιδόντα τῆς λέξεως ἁρμονίαν, ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους πεποίηκε λόγῳ, πολλαχῇ μὲν καὶ ἄλλῃ, μάλιστα δ' ἐν οἷς τὸν περὶ τῶν νόμων ἀποδίδωσι λόγον, καὶ τὸν περὶ τῶν φονικῶν δικαστηρίων, ἐφ' ἧς χρείας ἕκαστον αὐτῶν τέτακται· καὶ ἐν τῷ κατὰ Δεπτίνου περὶ τῆς ἀτελείας, κατὰ πολλὰ μέρη, μά-

Digitized by Google

λιστα δ' ἐν τοῖς ἐγκωμίοις τῶν εὐεργετῶν τῆς πόλεως, Χαβρίου τε, καὶ Κόνωνος, καί τινων ἑτέρων· κἂν τῷ περὶ τοῦ στεφάνου, καὶ ἐν ἄλλοις συχνοῖς. τοῦτο δέ δή μοι πρῶτον ἐνθυμηθεὶς δοκεῖ συμμεθαρμόζεσθαι ταῖς ὑποθέσεσι τὸν χαρακτῆρα τῆς συνθέσεως τοῖς ὑποκειμένοις πράγμασι. καὶ ἔτι μετὰ τοῦτο τὰς ἰδέας τοῦ λόγου καταμαθὼν, ὅτι οὐχ ἅπασαι τὸν αὐτὸν ἀπαιτοῦσιν οὔτ' ἐκλογῆς ὀνομάτων κόσμον, οὔτε συνθέσεως, ἀλλ' αἱ μὲν τὸν γλαφυρώτερον, αἱ δὲ τὸν αὐστηρότερον· καὶ τῇ τούτων ἀκολουθήσας χρείᾳ, τὰ μὲν προοίμια καὶ τὰς διηγήσεις ποιεῖ τὸ πλεῖον ἐχούσας τοῦ σεμνοῦ τὸ ἡδύ· τὰς δὲ πίστεις καὶ τοὺς ἐπιλόγους, τῆς μὲν ἡδείας συνθέσεως ἐλάττω μοῖραν ἐχούσας, τῆς δ' αὐστηρᾶς καὶ πεπινωμένης πλείω. ἐν αἷς μὲν γὰρ δεῖ κολακευθῆναι τὸν ἀκροατὴν, καὶ παρακολουθῆσαι τοῖς πράγμασι, κακῶν ἀλλοτρίων διηγήσεσιν αὐχμηρὰς, ἐνίοτε καὶ ἀηδεῖς ἀκούοντα· ἔνθα εἰ μὴ τὸ παρηδύναν ἡ σύνθεσις ἐπενέγκοι, ἢ παραμυθήσαιτο τὸν τῆς διανοίας σκοπὸν, οὐχ ἕξουσιν αἱ πίστεις βάσιν ἀσφαλῆ· ἐν οἷς δὲ τὰ πρὸς τὴν ἀλήθειαν καὶ τὸ συμφέρον συντείνοντα λέγεσθαι, ταῦτα δὲ ἁπλοϊκῶς πως καὶ γενναίως καὶ μετὰ σεμνότητος αὐστηρᾶς ἀπαιτοῦσιν οἱ πολλοὶ μανθάνειν· τὸ δὲ κωτίλον ἐν τούτοις καὶ ἀπατηλὸν ὥραν οὐκ ἔχει ἐπὶ τῶν ἐναγωνίων λόγων. οὐ τὴν αὐτὴν οὖν ἐπιστάμενος ἅπάντων φύσιν, οὐδὲ τοὺς αὐτοὺς ὤετο δεῖν πᾶσι προσήκειν κόσμους· ἀλλὰ τοῖς μὲν δημηγορικοῖς τὸ ἀξίωμα καὶ τὴν μεγαληγορίαν μᾶλ-

Digitized by Google

λον ἁρμόττειν, τοῖς δὲ δικανικοῖς, ἔνθα τῶν ἀλλοτρίων ἀκουστὴς γίνεται καλῶν ὁ δικαστὴς, ψυχῆς τε καὶ τῶν ἄλλων, ὅσα τιμιώτατά ἐστιν ἀνθρώποις, ἀχρειῶν, τὴν χάριν, καὶ τὴν ἡδονὴν, καὶ τὴν ἀπάτην, καὶ τὰ παραπλήσια τούτοις. διὰ τοῦτο ἐν μὲν ταῖς συμβουλαῖς, καὶ μάλιστα ταῖς κατὰ Φιλίππου, κατακορεστέραις κέχρηται ταῖς τοιαύταις ἁρμονίαις· ἐν δὲ τοῖς πρὸς τὰ δικαστήρια συνταχθεῖσι, ταῖς γλαφυραῖς· καὶ αὐτῶν δὲ τῶν δικανικῶν πάλιν ἐν μὲν τοῖς δημοσίοις, ἔνθα τὸ ἀξίωμα ἔδει τῆς πόλεως φυλάξαι, ταῖς μεγαλοπρεπεστέραις πλείοσιν· ἐν δὲ τοῖς ἰδιωτικοῖς, ἐλάττοσι.

46. Συνιόντι δ' εἰπεῖν, οὐ μόνον παρὰ τὰς ἰδιότητας τῶν λόγων καὶ τὰς παραλλαγὰς τῶν ὑποθέσεων, διαφόρους ᾧετο δεῖν ποιεῖσθαι τὰς κράσεις τῶν ἐν τῇ συνθέσει χαρακτήρων, ἀλλὰ καὶ παρ' αὐτὰ τὰ γένη τῶν ἐπιχειρημάτων, τὰ συμπληρωτικὰ μέρη διαφόρους ἔχοντα τὰς φύσεις ὁρῶν, διαλλαττούσας κατασκευαῖς τὰς ἁρμονίας ἐπειρᾶτο κοσμεῖν, ἄλλοις μὲν τὰς γνωμολογίας συντιθεὶς, ἄλλως δὲ τὰ ἐνθυμήματα, διαφόρως δὲ τὰ παραδείγματα. πολὺς ἂν εἴη λόγος, εἰ τὰς διαφορὰς ἁπάσας βουλοίμην λέγειν, ὅσας ἐκεῖνος ὁ δαιμόνιος ἀνὴρ ὁρῶν, καὶ πρὸς χρῶμα ἕκαστον ἀεὶ σχηματίζων τὸν λόγον, ἀνέσει τε καὶ ἐπιτάσει ταμιευόμενος τῶν ἁρμονιῶν ἑκατέραν, τοὺς καλοὺς ἐκείνους λόγους ἀνέπλασεν. παραδειγμάτων δ' οὐκ οἶομαι δεῖν ἐνταῦθα, ἵνα μοι μείζονα πίστιν ὁ λόγος λά-

Digitized by Google

βῃ, τῶν ἔργων τοῦ ῥήτορος ἐξεταζομένων, εἰ τοιαῦτά ἐστιν, οἷα λέγω. πολὺ γὰρ ἡ σύνταξις τὸ μῆκος λάβοι, καὶ δέος, μή ποτ' εἰς τοὺς σχολικοὺς ἐκβῇ χαρακτῆρας ἐκ τῶν ὑπομνηματισμῶν· ὀλίγα δὲ ληφθέντα, τῶν πολλῶν ἱκανὰ τεκμήρια, καὶ ἅμα πρὸς ἐπισταμένους· οὐ γὰρ δή γε τοῖς ἀπείροις τοῦ ἀνδρὸς τάδε γράφω. τὸ δεῖξαι τὰ πράγματα συμβολικῶς ἀπόχρη. ἐπάνειμι δ' οὖν ἐπὶ τὰ λοιπά, ὧν ἐν ἀρχῇ προὐθέμην ἐρεῖν.

47. Δεύτερον δὴ κεφάλαιον ἦν, ἐπιδεῖξαι, τίσι θεωρήμασι χρώμενος, καὶ διὰ ποίας ἀσκήσεως προελθὼν, τὸ κράτιστον μέρος ἔλαβε τῆς ἁρμονίας. ἐρῶ δὴ καὶ περὶ τούτων, ὡς ἔχω δόξης. δυεῖν ὄντων τελῶν περὶ πᾶν ἔργον, ὡς εἰπεῖν, ὧν τε φύσις δημιουργός, καὶ ὧν αἱ τέχναι μητέρες, τοῦ καλοῦ, καὶ τῆς ἡδονῆς, εἶδεν, ὅτι κἂν τοῖς λόγοις, τοῖς τ' ἐμμέτροις καὶ τοῖς ἔξω τοῦ ἐμμέτρου κατασκευαζομένοις, ἔμελλεν ἀποχρώντως ἕξειν ἀμφοτέρων τούτων. χωρισθὲν γὰρ ἑκάτερον αὐτῶν θατέρου, πρὸς τῷ μὴ τέλειον εἶναι, καὶ τὴν ἰδίαν ἀρετὴν ἀμαυροτέραν ἴσχει. ταῦτα δὴ συνιδὼν, καὶ τῆς μὲν αὐστηρᾶς τὸ καλὸν ὑπολαβὼν εἶναι τὸ τέλος, τῆς δὲ γλαφυρᾶς τὸ ἡδύ, ἐζήτει, τίνα ποιητικὰ τοῦ κάλλους ἐστὶ, καὶ τίνα τῆς ἡδονῆς. εὗρισκε δὴ τὰ μὲν αὐτὰ ἀμφοτέρων ὄντα αἴτια, τὰ μέλη, καὶ τοὺς ῥυθμοὺς καὶ τὰς μεταβολὰς, καὶ τὸ παρακολουθοῦν ἅπασιν αὐτοῖς παραίτιον· οὐ μὴν κατὰ τὸν αὐτὸν τρόπον ἑκάτερα σχηματιζόμενα. ὃν δὲ λόγον ἔχει τούτων ἕκαστον, ἐγὼ πειράσομαι διδάσκειν.

Digitized by Google

48. Τοῖς πρώτοις μορίοις τῆς λέξεως, ἃ δὴ στοιχεῖα ὑπό τινων καλεῖται, εἴτε τρία ταῦτ' ἔστιν, ὡς Θεοδέκτῃ τε καὶ Ἀριστοτέλει δοκεῖ, ὀνόματα καὶ ῥήματα καὶ σύνδεσμοι, εἴτε πλείω, δύο ταῦτα ἀκολουθεῖ, μέλος καὶ χρόνος ἴσα. κατὰ μὲν δὴ τὰς ὀξύτητάς τε καὶ βαρύτητας αὐτῶν, τάττεται τὸ μέλος· κατὰ δὲ τὰ μήκη καὶ τὰς βραχύτητας, ὁ χρόνος. οὗτος δὲ γίγνεται ῥυθμός, εἴτ' ἀπὸ δυεῖν ἀρξάμενος συνίστασθαι βραχειῶν, ὥσπερ οἴονταί τινες, καὶ καλοῦσι τὸν οὕτως κατασκευασθέντα ῥυθμὸν ἡγεμόνα, πρῶτον ἔχοντα λόγον τῶν ἴσων ἄρσει τε καὶ θέσει χρόνων· εἴτ' ἀπὸ τριῶν βραχειῶν, ὡς τοῖς περὶ Ἀριστόξενον ἔδοξεν, ὃς ἐν τῷ διπλασίῳ κατεσκεύασται λόγῳ πρῶτον. τοῖς δ' ἐκ τῶν πρώτων μορίων τῆς λέξεως συντιθεμένοις τό τε μέρος εἰς αὔξησιν ἤδη συμπροάγει, καὶ οἱ ῥυθμοὶ προβαίνουσιν εἰς τὰ καλούμενα μέτρα. ὅταν δὲ μέλλῃ τούτων ἑκάτερον ὑπεραίρειν τῷ μέτρῳ, ἡ μεταβολὴ τότε εἰσελθοῦσα, ταμιεύεται τὸ οἰκεῖον αὐτῶν ἀγαθὸν ἑκατέρου. ἐπειδὴν δὲ τὴν ἁρμόττουσαν ταῦτα χώραν λάβῃ, τότ' ἀποδίδωσιν αὐτοῖς τὴν προσήκουσαν ὥραν τὸ πρέπον· καὶ τοῦτο οὐ χαλεπὸν ἐπὶ τῶν τῆς μουσικῆς ἔργων καταμαθεῖν. φέρε γάρ, εἴ τις ᾠδαῖς, ἢ κρούμασιν ὀργάνων, τὸ κάλλιστον ἐντείνας μέλος, ῥυθμοῦ μηδένα ποιῆται λόγον, ἔνθ' ὅπως ἄν τις ἀνάσχοιτο τῆς τοιαύτης μουσικῆς; τί δὲ, εἰ τούτων μὲν ἀμφοτέρων προνοηθείη μετρίως, μένοι δ' ἐπὶ τῆς αὐτῆς μελῳδίας καὶ τῶν αὐτῶν ῥυθμῶν, οὐδὲν ἂν ἐξαλλάττων, οὐδὲ ποικίλλων; ἆρ' οὐχ ὅλον διά-

Digitized by Google

φθείροι τὸ ἀγαθόν; εἰ δὲ καὶ τούτου στοχάσαιτο, μηδεμίαν δὲ πρόνοιαν ἔχων φαίνοιτο τοῦ πρέποντος τοῖς ὑποκειμένοις, οὐκ ἀνόνητος αὐτῷ πᾶς ὁ περὶ ἐκεῖνα ἔσται πόνος; ἐμοί γ' οὖν δοκεῖ. ταῦτα δὴ καταμαθὼν ὁ Δημοσθένης, τά τε μέλη τῶν ὀνομάτων καὶ κώλων, καὶ τοὺς χρόνους αὐτῶν ἐπιλογιζόμενος, οὕτω συναρμόττειν αὐτὰ ἐπειρᾶτο, ὥστ' ἐμμελῆ φαίνεσθαι καὶ εὔρυθμα. ἐξαλλάττειν τε καὶ ποικίλλειν ἑκάτερον αὐτῶν ἐπειρᾶτο μυρίοις ὅσοις σχήμασι καὶ τρόποις· καὶ τοῦ πρέποντος, ὅσην οὐδεὶς τῶν περὶ λόγους σπουδαζόντων, ἐποιεῖτο δόσιν. ἐνθυμηθεὶς δέ, ὥσπερ ἔφην, ὡς διὰ τῶν αὐτῶν τούτων θεωρημάτων ὅ τε ἡδὺς γίνεται λόγος καὶ ὁ καλός, ἐσκόπει πάλιν, τί ποτ' ἦν τὸ αἴτιον, ὅτι τὰ αὐτὰ οὐ τῶν αὐτῶν ἦν ποιητικά. εὗρισκε δὴ τῶν τε μελῶν οὔσας διαφοράς, αἳ ποιοῦσιν, ἃ μὲν ἀξιωματικὰ φαίνεσθαι αὐτῶν, ἃ δὲ γλαφυρά, ὥσπερ ἐν τοῖς μουσικοῖς ἔχει πρὸς τὴν ἁρμονίαν τὸ χρῶμα· κἂν τοῖς ῥυθμοῖς δὲ τὸ παραπλήσιον γινόμενον, ὥστε τοὺς μὲν ἀξιωματικοὺς αὐτῶν φαίνεσθαι καὶ μεγαλοπρεπεῖς, τοὺς δὲ τρυφεροὺς καὶ μαλακούς· ἔν τε ταῖς μεταβολαῖς τοτὲ μὲν ἀρχαιοπρεπὲς καὶ αὐστηρόν, τό τε λεγόμενον ἐχθρὸν καὶ φιλόκαινον ἐμφαινόμενον· τό τε δὴ πρέπον, ἁπάντων μάλιστα μεγάλην παρέχον εἰς ἑκάτερον αὐτῶν ῥοπήν. συνιδὼν δὴ ταῦτα, ὁπότε μὲν τοῦ καλοῦ πλείονα δεῖν αὐτῷ τὴν κατασκευὴν ὑπολάβοι, τά τε μέλη ἐποίει μεγαλοπρεπῆ, καὶ τοὺς ῥυθμοὺς ἀξιωματικούς, καὶ τὰς μεταβολὰς γενναίας· ὁπότε δὲ τῆς ἑτέρας αὐτῷ

Digitized by Google

φανείη δεῖσθαι συνθέσεως ἡ λέξις, πάντα ταῦτα κατεβίβαζεν ἐπὶ τὸ μουσικώτερον. καὶ μηδεὶς ὑπολάβῃ, θαυμαστὸν εἶναι τὸν λόγον, εἰ καὶ τῇ πεζῇ λέξει φημὶ δεῖν ἐμμελείας καὶ εὐρυθμίας καὶ μεταβολῶν, ὥσπερ ταῖς ᾠδαῖς καὶ τοῖς ὀργάνοις, εἰ μηδενὸς τούτων ἀντιλαμβάνεται τῆς Δημοσθένους ἀκούων λέξεως· μηδὲ κακουργεῖν ὑπολάβῃ τὰ προσόντα τῇ ψιλῇ λέξει προσμαρτυροῦντα. ἔχει γὰρ ταῦτα ἡ καλῶς κατεσκευασμένη λέξις, καὶ μάλιστά γε ἡ τοῦδε τοῦ ῥήτορος· τῇ δ' εὐκαιρίᾳ καὶ τῇ ποσότητι τὴν αἴσθησιν διαλανθάνει· τὰ μὲν γὰρ συγκέχυται, τὰ δὲ συνέφθαρται, τὰ δ' ἄλλῳ τινὶ τρόπῳ τὴν ἀκρίβειαν ἐκβέβηκε τῆς κατασκευῆς· ὥστ' αὐτὸν ἐξηλλάχθαι δοκεῖν τῷ παντὶ, καὶ κατὰ μηδὲν ἐοικέναι τοῖς ποιήμασιν.

49. Ἆρά γ' ἀπαιτήσει μέ τις ἐνταυθοῖ λόγον μελῶν τε καὶ ῥυθμῶν, καὶ τῶν ἐν ταῖς μεταβολαῖς σχημάτων, καὶ τοῦ ἐν ἑκάστῳ πρέποντος, ἀξιῶν ἀκοῦσαι, τίνα τ' αὐτῶν ἐστιν, οἷς ἡ φιλάρχαιος ἁρμονία κοσμεῖται, καὶ τίνα τῆς κωπίλης γένοιτ' ἂν ἁρμονίας· ἢ οἰκειοτέραν τὴν ἐκ παιδὸς εὐφαιρόμενος εὐμουσίαν, ἣν ἔκ τε μουσικῆς καὶ γραμματικῆς ἐσχηκέναι ταῦτ' ἔχουσι τὰ θεωρήματα περιλαβόντα τὸ χρονίζειν ἐν τοῖς κοινοῖς καὶ γνωρίμοις τὸν λόγον οὐ συκοφαντήσει· ἄλλως τε καὶ τοῦ ῥοῦ τὰ μέτρα ὁρῶν ἄλλων ἔχω· ἀρξάμενος ἀπὸ σοῦ, φίλτατε Ἀμμαῖε, καὶ ἐκ τῆς εὐμουσίας τῆς σῆς λαμβάνω. εἰ δέ τις ἀπαιτήσει καὶ ταῦτ' ἔτι μαθεῖν, ἢ μή ποτ' ἔδει, τοὺς ὑπομνηματισμοὺς ἡμῶν λαβὼν, οὓς περὶ

Digitized by Google

τῆς συνθέσεως τῶν ὀνομάτων πεπραγματεύμεθα, πάντα, ὅσα ποθεῖ, τῶν ἐνθάδε παραλειπομένων εὑρήσεται. ἐγὼ δὲ τηδεσὶ περιγράψας τὸν ὑπὲρ τούτων λόγον, ἐπὶ τὸ περιλειπόμενον ἐλεύσομαι μέρος.

50. Ὑπεσχόμην γὰρ καὶ τοῦτο δείξειν ἔτι, πῶς ἄν τις διαγνοίη τὸν χαρακτῆρα τῆς Δημοσθένους συνθέσεως, καὶ παίοις χρώμενος σημείοις ἀπὸ τῶν ἄλλων διορίσειεν. ἓν μὲν οὖν οὐδὲν ἔστι παράσημον αὐτῆς ἐκφανὲς οὕτως, ὥστε μόνῃ ταύτῃ καὶ μηδεμιᾷ τῶν ἄλλων παρακολουθεῖν. ἡ δὲ συνδρομή γε καὶ πλεονασμὸς, οἷς ἐλέγχεσθαι πέφυκε παντὸς πράγματος καὶ σώματος γνῶσις, ἴδιος αὐτῆς γίνεται χαρακτήρ· χρήσομαι δ' εἰκόνι φανερᾷ, τῆς σαφηνείας ἕνεκα, τοῖς σώμασι τῶν ἀνθρώπων. ἅπασι δή που συμβέβηκε μέγεθός τε καὶ χρῶμα καὶ σχῆμα καὶ μέλη, καὶ ῥυθμός τις τῶν μελῶν, καὶ τὰ παραπλήσια τούτοις. εἰ δή τις ἀφ' ἑνὸς τούτων ἀξιώσει τὸν χαρακτῆρα σκοπεῖν, οὐδὲν ἀκριβὲς εἴσεται. ἐν πολλαῖς γὰρ ἂν εὕροι μορφαῖς τοιοῦτον δὴ ἕτερον, οἷον ἔθετο τῆς μιᾶς μορφῆς σύμβολον. ἐὰν δὲ πάντα τὰ συνήθη συμβεβηκότα τῇ μορφῇ, ἢ τὰ πλεῖστα, ἢ τὰ κυριώτατα, ταχεῖάν τε πάνυ τὴν γνῶσιν λήψεται, καὶ οὐκ ἐπίσεται ταῖς ὁμοιότησι. τοῦτο δὴ ποιεῖν ἀξιώσαιμ' ἂν καὶ τοὺς βουλομένους τὴν σύνθεσιν ἀκριβῶς εἰδέναι τὴν Δημοσθένους, ἐκ πολλῶν αὐτὴν δοκιμάζειν ἰδιωμάτων· λέγω δὴ τῶν κρατίστων τε καὶ κυριωτάτων· πρῶτον ἐκ τῆς ἐμμελείας, ἧς κριτήριον ἄριστον ἡ ἄλογος αἴσθησις. δεῖ δ' αὐτῇ τριβῆς πολλῆς καὶ κατηχήσεως χρονίου· οὐ γὰρ δὴ

Digitized by Google

πλάσται μὲν καὶ ζωγράφων παῖδες, εἰ μὴ πολλὴν ἐμπειρίαν λάβοιεν, χρόνῳ τρίψαντες τὰς ὁράσεις μακρῷ περὶ τὰς τῶν ἀρχαίων δημιουργῶν τέχνας, οὐκ ἂν εὐπετῶς αὐτὰς διαγνοῖεν, καὶ οὐκ ἂν ἔχοιεν εἰπεῖν βεβαίως, ὅτι τῇ φήμῃ παραλαβόντες τοῦτὶ μέν ἐστι Πολυκλείτου τὸ ἔργον, τοῦτὶ δὲ Φειδίου, τοῦτὶ δ' Ἀλκαμένους· καὶ τῶν γραφῶν Πολυγνώτου μὲν αὕτη, Τιμάνθους δ' ἐκείνη, αὕτη [δὲ] Παρασίου. λόγων δ' ἆρα τινὲς ἀκριβῶς ἐξ ὀλίγων παραγγελμάτων καὶ προσκαίρου κατηχήσεως, ἐμμελοῦς ἁρμονίας εἴσονται φύσιν; πολλοῦ γε καὶ δεῖ. τοῦτο μὲν δὴ πρῶτον οἶμαι δεῖν σκοπεῖν· ἐπιστήμη γε καὶ ἔθει· μετὰ δὲ τοῦτο, τὴν εὐρυθμίαν. οὐ γάρ ἐστι λέξις οὐδεμία Δημοσθένους, ἥτις οὐκ ἐμπεριείληφε ῥυθμοὺς καὶ μέτρα τὰ μὲν ἀπηρτισμένα καὶ τέλεια, τὰ δ' ἀτελῆ, τοιαύτην ἐπιπλοκὴν ἔχοντα ἐν ἀλλήλοις, καὶ οὕτως συνηρμοσμένα, ὥστε μηδ' ἡμῖν νοεῖν, ὅτι ἐστὶ μέτρα· οὐ γὰρ ἂν ἄλλως γένοιτο πολιτικὴ λέξις παρ' αὐτὴν τὴν σύνθεσιν ἐμφερὴς ποιήμασιν, ἂν μὴ περιέχῃ μέτρα καὶ ῥυθμούς τινας ἐγκατακεχωρισμένους ἀδήλους. οὐ μέντοι γε προσήκει, αὐτὴν ἔμμετρον, οὐδ' ἐρρύθμον εἶναι δοκεῖν, ἵνα μὴ γένηται ποίημα, ἢ μέλος, ἐκβᾶσα τὸν αὐτῆς χαρακτῆρα· ἀλλ' εὔρυθμον αὐτὴν ἀπόχρῃ φαίνεσθαι καὶ εὔμετρον. οὕτω γὰρ ἂν εἴη ποιητικὴ μέν, οὐ μὴν ποίημά γε· καὶ μελίζουσα μέν, οὐ μὴν μέλος. τίνα δ' ἔχει ταῦτα διαφοράν, οὐ χαλεπὸν ἰδεῖν. ἡ μὲν ὁμοίαν παραλαμβάνουσα μέτρα καὶ ῥυθμοὺς τεταγμένους, εἴτε κατὰ στίχον, εἴτε κατὰ

Digitized by Google

περίοδον, ἣν καλοῦσιν οἱ μουσικοὶ στροφήν· κἄπειτα πάλιν τοῖς αὐτοῖς ῥυθμοῖς καὶ μέτροις ἐπὶ τῶν αὐτῶν στίχων, ἢ περιόδων, ἃς ἀντιστρόφους ὀνομάζουσι, χρωμένη, καὶ τῷ σχήματι τούτῳ τῆς κατασκευῆς ἀπὸ τῆς ἀρχῆς μέχρι τοῦ τέλους προβαίνουσα, ἔμμετρός τ' ἐστὶ καὶ ἔῤῥυθμος, καὶ ὀνόματα κεῖται τῇ τοιαύτῃ λέξει μέτρον καὶ μέλος· ἡ δὲ περιπεπλεγμένα μέτρα καὶ ῥυθμοὺς ἀτάκτους ἐμπεριλαμβάνουσα, καὶ μήτ' ἀκολουθίαν αὐτῶν φυλάττουσα, μήτε ὁμοζυγίαν, μήτ' ἄλλην ὁμοιότητα τεταγμένην μηδεμίαν, εὔρυθμος μέν ἐστι καὶ εὔμετρος, ἐπειδὴ διαπεποίκιλται μέτροις τε καὶ ῥυθμοῖς τισιν, οὐ μὴν ἔῤῥυθμός γ', οὐδ' ἔμμετρος, ἐπειδὴ οὐχὶ τοῖς αὐτοῖς, οὐδὲ κατὰ ταὐτὰ ἔχουσι. τοιαύτην δέ φημι πᾶσαν εἶναι λέξιν πολιτικὴν, ἐν ᾗ τὸ ποιητικὸν ἐμφαίνεται κάλλος· ᾗ καὶ τὸν Δημοσθένη κεχρημένον ὁρῶ. τὰς δὲ περὶ τοῦτον τοῦ μέρους πίστεις ἐν τοῖς περὶ τῆς συνθέσεως γραφεῖσιν ἀποδεδώκως, οὐκ ἀναγκαῖον ἡγοῦμαι κἀνταῦθα λέγειν. τρίτον ἔτι καὶ τέταρτον ἰδίωμα τῆς συνθέσεως τοῦ ῥήτορος ἦν, τό τ' ἐξαλλάττειν παντοδαπῶς, καὶ τὸ σχηματίζειν ποικίλως τὰ κῶλα καὶ τὰς περιόδους. οὐδὲ γάρ ἐστιν οὐδεὶς ἁπλῶς τόπος, ὃς οὐχὶ διαπεποίκιλται ταῖς τ' ἐξαλλαγαῖς καὶ τοῖς σχηματισμοῖς, ὡς ἅπαντες ἴσασι· καί μοι δοκεῖ ταῦτα μὴ λόγων δεῖσθαι, γνώριμα καὶ τοῖς φαυλοτάτοις ὄντα.

31. Ταυτί μοι δοκεῖ μηνύματα τῆς συνθέσεως εἶναι τῆς Δημοσθένους, καὶ χαρακτηρικὰ, ἐξ ὧν ἄν

Digitized by Google

τις αὐτὴν διαγνοίη πᾶσαν ἐξετάζειν βουληθείς. εἰ δέ τις ὑποτεύξεται πρὸς ταῦτα, θαυμάζειν λέγων, εἰ καὶ κακοδαίμων οὕτως ἦν ὁ τηλικοῦτος ἀνὴρ, ὥσθ', ὅτε γράφει τοὺς λόγους, ἄνω καὶ κάτω στρέφειν τὰ μόρια τῆς λέξεως, καὶ τὰ ἐκ τούτων συντιθέμενα κῶλα, ἐμμελείας τε καὶ ῥυθμοὺς καὶ μέτρα, μουσικῆς οἰκεῖα θεωρίας πράγματα καὶ ποιητικῆς, εἰς τὴν πολιτικὴν ἐναρμόττειν φράσιν, ἢ τούτων οὐδενός μέτεστιν. πρῶτον μὲν ἐκεῖνο ἐνθυμηθήτω, ὅτι ὁ τοσαύτης δόξης ἠξιωμένος ἀνὴρ ἐπὶ λόγοις, ὅσης οὐδεὶς τῶν πρότερον, αἰώνια συνταττόμενος ἔργα, καὶ τῷ πάντα βασανίζοντι χρόνῳ παραδιδοὺς, οὐδὲν ἐκ τοῦ ἐπιτυχόντος ἔγραφεν· ἀλλ' ὥσπερ τῆς ἐν τοῖς νοήμασιν οἰκονομίας πολλὴν ἐποιεῖτο δόσιν, οὕτω καὶ τῆς ἐν τοῖς ὀνόμασιν ἁρμονίας. ὁρῶν γε δὴ τοὺς θαυμαζομένους ἐπὶ σοφίᾳ, καὶ κρατίστων λόγων ποιητὰς νομιζομένους, Ἰσοκράτην καὶ Πλάτωνα, γλυπτοῖς καὶ τορευτοῖς ἐοικότας ἐκφέροντας λόγους· ἐνθυμούμενος δ', ὅτι τῷ λέγειν εὖ διττὴ ἡ διαίρεσίς ἐστιν, εἴς τε τὸν πραγματικὸν τρόπον καὶ εἰς τὸν λεκτικόν, καὶ τούτων πάλιν ἀμφοτέρων εἰς πάσας ἴσας διαιρεθέντων τομάς, τοῦ πραγματικοῦ μέν, εἴς τε τὴν παρασκευὴν, ἣν οἱ παλαιοὶ καλοῦσιν εὕρεσιν, καὶ εἰς τὴν χρῆσιν τῶν παρεσκευασμένων, ἣν προσαγορεύουσιν οἰκονομίαν· τοῦ λεκτικοῦ δὲ, εἰς τὴν ἐκλογὴν τῶν ὀνομάτων, καὶ εἰς τὴν σύνθεσιν τῶν ἐκλεγέντων· ἐν ἑκατέρῳ τούτων πλείω μοῖραν ἔχει τὰ δεύτερα τῶν προτέρων· τὸ μὲν οἰκονομικὸν, ἐν τῷ πραγματικῷ· τὸ δὲ συνηθέμενον, ἐν τῷ λεκτι-

Digitized by Google

κῷ· περὶ ὧν οὐ καιρὸς ἐν τῷ παρόντι μηκύνειν. ταῦτα γὰρ ἐννοηθείη ἂν, εἴ τις εἴη κομιδῇ σκαιὸς, ἢ δύσερις, καὶ οὐκ ἂν θαυμάσειεν, εἰ φροντὶς ἐγίνετο Δημοσθένει ἔτι μελῶν καὶ ῥυθμῶν καὶ σχημάτων, καὶ τῶν ἄλλων πάντων, οἷς ἡδεῖα καὶ καλὴ γίνεται σύνθεσις· τοὐναντίον γὰρ, μᾶλλον ὑπολάβοι τις ἂν ἠρ μήτ' ὀλιγόπονος, μήτε τερψίχορος, μήτ' ἀκρόσοφος, ἄπορον εἶναι καὶ ἀμήχανον, ἢ μηδεμίαν ἐπιμέλειαν πεποιῆσθαι τὸν ῥήτορα τῆς ἁρμονίας τῶν λόγων, ἢ φαύλην τινὰ, βουλόμενον μνημεῖα τῆς ἑαυτοῦ διανοίας ἀθάνατα καταλιπεῖν. οὐ γὰρ δή τοι πλάσται μὲν καὶ γραφεῖς ἐν ὕλῃ φθαρτῇ χείροντες πόνους, ὥστε καὶ φλέβια καὶ πτίλα καὶ χνοῦς, καὶ τὰ τούτοις ὅμοια εἰς ἄκρον ἐξεργάζεσθαι, καὶ κατατήκειν εἰς ταῦτα τὰς τέχνας· πολιτικὸς δ' ἄρα δημιουργὸς, πάντας ὑπεράρας τοὺς καθ' αὑτὸν φύσει τε καὶ πόνῳ, τῶν ἐλαχίστων τινὸς εἰς τὸ εὖ λέγειν, εἰ δὴ καὶ ταῦτα ἐλάχιστα, ὠλιγώρησε.

52. Βουλοίμην δ' ἂν καὶ ταῦτα ἐνθυμηθῆναι τοὺς ἧττ δυσπείστως ἔχοντας πρὸς τὰ εἰρημένα, ὅτι μειράκιον μὲν ἔτι ὄντα καὶ νεωστὶ τοῦ μαθήματος ἁπτόμενον αὐτὸν, οὐκ ἄλογον ἦν καὶ ταῦτα καὶ τἆλλα πάντα διὰ πολλῆς ἐπιμελείας τε καὶ φροντίδος ἔχειν· ἐπειδὴ δ' ἡ χρόνιος ἄσκησις ἕξιν αὐτῷ ἐνεποίησε πολλὴν καὶ τύπους ἰσχυροὺς ἐνειργάσατο τῶν ἀεὶ μελετωμένων, τότ' ἀπὸ τοῦ ῥᾴστου τε καὶ τῆς ἕξεως αὐτὸ ποιεῖν· οἷόν τι γίνεται καὶ περὶ τὰς ἄλλας τέχνας, καὶ οὐχ ἥκιστα περὶ τὴν καλουμένην

Digitized by Google

γραμματικήν. ἱκανὴ γὰρ αὕτη καὶ τὰς ἄλλας τεκμηριῶσαι, φανερωτάτη πασῶν οὖσα καὶ θαυμασιωτάτη. ταύτην γὰρ ὅταν ἐκμάθωμεν, πρῶτον μὲν τὰ ὀνόματα τῶν στοιχείων τῆς φωνῆς ἀναλαμβάνομεν, ἃ καλεῖται γράμματα· ἔπειτα τύπους τ' αὐτῶν καὶ δυνάμεις· ὅταν δὲ ταῦτα μάθωμεν, τότε τὰς συλλαβὰς αὐτῶν, καὶ τὰ περὶ ταῦτα πάθη· κρατήσαντες δὲ τούτων, τὰ τοῦ λόγου μόρια· ὀνόματα λέγω καὶ ῥήματα καὶ συγδέσμους· καὶ τὰ συμβεβηκότα τούτοις, συστολάς, ἐκτάσεις, ὀξύτητας, βαρύτητας, γένη, πτώσεις, ἀριθμοὺς, ἐγκλίσεις, τὰ ἄλλα παραπλήσια τούτοις μυρία ὀνόματα. ὅταν δὲ τὴν τούτων ἁπάντων ἐπιστήμην περιλάβωμεν, τότ' ἀρχόμεθα γράφειν τε καὶ ἀναγινώσκειν, κατὰ συλλαβὴν μὲν καὶ βραδέως τὸ πρῶτον, ἅτε νεαρᾶς οὔσης ἔτι τῆς ἕξεως· προβαίνοντος δὲ τοῦ χρόνου, καὶ τόνον ἰσχυρὸν τῇ ψυχῇ περιτιθέντος ἐκ τῆς συνεχοῦς μελέτης, τότ' ἀπταίστως τε καὶ κατὰ πολλὴν εὐπέτειαν· καὶ πᾶν ὅ τι ἂν ἐπιδῷ τις βυβλίον, οὐδὲν ἐκείνων ἔτι τῶν πολλῶν θεωρημάτων ἀναπολοῦντες, ἅμα νοήσει διερχόμεθα. τοιοῦτον δή τι καὶ περὶ ταύτην ὑπολητέον γενέσθαι τὴν τέχνην, ἐκ τῶν μικρῶν καὶ γλίσχρων θεωρημάτων αὐξομένην τὴν ἕξιν σὺν χρόνῳ ῥᾳδίως αὐτῶν κρατεῖν, ὥστε ἅμα νοήσει κεκριμένον τε καὶ ἄπταιστον αὐτῆς εἶναι τὸ ἔργον. εἰ δέ τῳ δοκεῖ ταῦτα καὶ πόνου πολλοῦ καὶ πραγματείας μεγάλης ἔργα εἶναι, καὶ μάλα ὀρθῶς δοκεῖ κατὰ τὸν Δημοσθένη· οὐδὲν γὰρ τῶν μεγάλων, μικρῶν ἐστι πόνων ἄνιον· ἀλλ' ἐὰν ἐπιλογίση-

Digitized by Google

ται τοὺς ἀκολουθοῦντας αὐτοῖς καρποὺς, μᾶλλον δ' ἂν ἕνα μόνον τὸν ἔπαινον, ὃν ἀποδίδωσιν ὁ χρόνος καὶ ζῶσι καὶ μετὰ τὴν τελευτὴν, πᾶσαν ἡγήσεται τὴν πραγματείαν ἐλάττω τῆς προσηκούσης.

53. Εἷς ἔτι μοι καταλείπεται λόγος, ὁ περὶ τῆς ὑποκρίσεως, ἣ κεκόσμηκε τὴν λέξιν ἀνὴρ, ἀναγκαίας ἀρετῆς οὔσης περὶ λόγους, καὶ μάλιστα τοὺς πολιτικούς· ἧς παρούσης μὲν, καὶ ταῖς ἄλλαις ἀρεταῖς γίνεται χώρα καὶ τότε· ἀπούσης δ', οὐδοτιοῦν ὄφελος, οὐδ' ἐκείνων οὐδεμιᾶς. τεκμήραιτο δ' ἄν τις, ἡλίκην ἰσχὺν τοῦτο τὸ στοιχεῖον ἔχει, καταμαθὼν, ὅσον ἀλλήλων ἀλλάττουσιν οἱ τραγῳδίας τε καὶ κωμῳδίας ὑποκρινόμενοι· τὰ γὰρ αὐτὰ ποιήματα λέγοντες, οὐχ ὡσαύτως ἡμᾶς κηλοῦσιν ἅπαντες, ἀλλ' ἐνίοις τ' ἀχθόμεθα, καὶ ὥσπερ ἀδικούμενοί τι, καθυποκρινομένοις καὶ διαφθείρουσι τὰς βουλήσεις τῶν ποιημάτων, χαλεπαίνομεν. ταύτης δὴ φημι τῆς ἀρετῆς πάνυ δεῖν τοῖς ἐναγωνίοις λόγοις, εἰ μέλλουσιν ἕξειν πολὺ τὸ ἀληθινὸν καὶ ἔμψυχον· ἧς πλείστην, ὥσπερ καὶ τῶν ἄλλων, πρόνοιαν ἔσχεν οὗτος ὁ ἀνήρ. διττὴν δὲ τὴν φύσιν αὐτῆς οὖσαν ὁρῶν, περὶ ἄμφω τὰ μέρη σφόδρα ἐσπούδασε. καὶ γὰρ τὰ πάθη τὰ τῆς φωνῆς, καὶ τὰ σχήματα τοῦ σώματος, οἷς κράτιστα ἕξειν ἔμελλεν, οὐ μικρῷ πόνῳ κατειργάσατο· καίτοι φύσει πρὸς ταῦτα οὐ πάνυ εὐτυχεῖ χρησάμενος, ὡς Δημήτριος ὁ Φαλερεὺς φησὶ, καὶ οἱ ἄλλοι πάντες οἱ τὸν βίον αὐτοῦ συγγράψαντες. τί δὴ ταῦτα πρὸς τὴν λέξιν αὐτοῦ συντείνει; φαίη τις ἄν. ἡ λέξις μὲν οὖν, εἴποιμ' ἄν,

Digitized by Google

οἰκείως κατεσκεύασται πρὸς ταῦτα, μεστὴ πολλῶν οὖσα ἠθῶν καὶ παθῶν, καὶ διδάσκουσα, οἵας ὑποκρίσεως αὐτῇ δεῖ. ὥστε τοὺς ἀναγινώσκοντας τὸν ῥήτορα τοῦτον ἐπιμελῶς χρὴ παρατηρεῖν, ἵνα τοῦτον ἕκαστα λέγηται τὸν τρόπον, ᾧ ἐκεῖνος ἐβούλετο. αὐτὴ γὰρ ἡ λέξις διδάσκει τοὺς ἔχοντας ψυχὴν εὐκίνητον, μεθ' οἵας τῆς ὑποκρίσεως ἐκφέρεσθαι δεήσει. ὃ δ' ἐγὼ σαφὲς ἐπὶ τῶν πραγμάτων ποιήσω.

54. Φέρε γὰρ, ἐπιχειρείτω τις προφέρεσθαι τοὐσδε ἀριθμούς· „Ὄλυνθον μὲν δὴ καὶ Μεθώνην καὶ Ἀπολλωνίαν, καὶ δύο καὶ τριάκοντα πόλεις „ἐπὶ Θρᾴκης ἑῶ, ἃς ἁπάσας οὕτως ὠμῶς ἀνῄρηκεν, „ὥστε μηδ', εἰ πώποτε ᾠκίσθησαν, ῥᾴδιον ἦν προελ„θόντας εἰπεῖν· καὶ τὸ Φωκέων τοσοῦτον ἔθνος „ἀνῃρημένον σιωπῶ.“ ἐνταῦθα ἡ λέξις αὐτὴ διδάσκει, τίνος ὑποκρίσεως δεῖ αὐτῇ. διῃρημένως γὰρ τὸ πλῆθος τῶν ἀνῃρημένων ὑπὸ Φιλίππου πόλεων ἐπὶ Θρᾴκης, οὗ φησιν ἐρεῖν. οὐχὶ ταῦτ' οὖν εἰρωνευόμενον δεῖ λέγειν, καὶ ἅμα ὑπαγανακτοῦντα, καὶ παρεντείνοντα τὸν ἦχον; ἔπειτα φησὶν οὐκ ἔχειν ἐρεῖν ταῦθ' ὥσπερ δεινὰ καὶ πέρα δεινῶν· ὅμως ὀδύρεται πόλεων κατάλογον, καὶ ταχείαν ἀναίρεσιν διέξεισιν, ὡς οὐδ' ἴχνος ἔτι λοιπὸν ἐχουσῶν τῆς παλαιᾶς οἰκήσεως. οὐ δι' ὀργῆς γοῦν ταῦτα ὑπερβαλλούσης καὶ οἴκτου λέγεσθαι προσήκει; τίνες οὖν εἰσιν ὀργῆς καὶ ὀλοφυρμοῦ τόνοι, καὶ ἐγκλίσεις, καὶ σχηματισμοὶ προσώπου, καὶ φοραὶ χειρῶν; ἃς οἱ κατ' ἀλήθειαν ταῦτα πεπονθότες ἐπιτελοῦσι. πάνυ γὰρ εὔηθες ἄλλο τι ζητεῖν ὑποκρί-

Digitized by Google

σεως διδασκάλιον, ἀφέντας τὴν ἀλήθειαν. καὶ αὖθις ἐπιφέρει ὁ ἀνήρ· „Ἀλλὰ Θετταλία πῶς ἔχει; οὐχὶ „[τὰς πόλεις καὶ] τὰς πολιτείας αὐτῶν ἀφῄρηται, „καὶ τετραρχίας καθέστακεν. ἵνα μὴ μόνον κατὰ „πόλεις, ἀλλὰ καὶ κατὰ ἔθνη δουλεύωσιν; αἱ δ' „ἐν Εὐβοίᾳ πόλεις οὐκ ἤδη τυραννοῦνται, καὶ ταῦ„τα ἐν νήσῳ [πλησίον] Θηβῶν καὶ Ἀθηνῶν;" ταῦτα πάλιν ἑτέραν ἠπόκρισιν ἀπαιτεῖ. πυνθάνεται γὰρ, εἶτ' ἀνθυποφέρει, καὶ παρ' ἕκαστον ἀγανακτεῖ, καὶ τὸ δεινὸν αὔξει. ἴδιον δὲ δή που σχῆμα πεύσεως, ἴδιον δ' ἀνθυποφορᾶς, ἴδιον δ' αὐξήσεως· οὐ δύναται ταῦτα ἑνὶ τόνῳ καὶ μιᾷ μορφῇ φωνῆς λέγεσθαι. τούτοις ἐκεῖνα ἕπεται· „Καὶ οὐ γράφει „μὲν ταῦτα, τοῖς δ' ἔργοις οὐ ποιεῖ· ἀλλ' ἐφ' Ἑλ„λήσποντον οἴχεται· πρότερον ἦκεν ἐπ' Ἀμβρακίαν. „Ἔλιν ἔχει, τηλικαύτην πόλιν ἐν Πελοποννήσῳ· „Μεγάροις ἐπεβούλευσεν [πρώην·] οὔθ' ἡ Ἑλλάς, „οὔθ' ἡ βάρβαρος χωρεῖ τὴν πλεονεξίαν τοῦ ἀν„θρώπου." ταῦτα ἔνεστι προφέρεσθαι ἡδονῇ ἐν παρῳδικοῖς μέλεσιν ὥσπερ ἱστορίαν· οὐ καταβοᾷ, καὶ διδάσκει, πῶς αὐτὰ δεῖ λέγεσθαι, μόνον οὐ φωνὴν ἀφιέντα· ἐνταῦθα ἄστεῖον ἦχον· ταῦτα ἐσπευσμένως εἰπὲ, ταῦτ' ἀναβεβλημένως· δευρὶ δ' ἀπόλιπε τὸ συνεχὲς, ἐνταυθοῖ σύναψον τὰ ἑξῆς· τούτοις συνάλγησον, τούτων καταφρόνησον ταῦτα ἐκθειματώθητι, ταῦτα διάσυρον, ταῦτα αὔξησον. ἐμοὶ μὲν δοκεῖ, οὐκ ἔνεστιν ἀλόγου ζώου ψυχὴν ἔχοντα, μᾶλλον δὲ λίθου φύσιν νωθρὰν, ἀναίσθητον, ἀκίνητον, ἀπαθῆ, τὴν Δημοσθένους προφέρεσθαι λέξιν. πολλοῦ

Digitized by Google

γε καὶ δεῖ· ἐπεὶ τὸ κάλλιστον αὐτῆς ἀγαθὸν ἀπολεῖται, τὸ πνεῦμα, καὶ οὐδὲν διοίσει σώματος καλοῦ μὲν, ἀκινήτου δὲ καὶ νεκροῦ. πολλά τις εἰς τοῦτο τὸ μέρος εἰπεῖν ἔχοι· τοῦ δὲ συντάγματος ἱκανὸν εἰληφότος ἤδη μῆκος, αὐτοῦ που καταπαῦσαι χρὴ τὸν λόγον, ἐκεῖνο ἔτι νὴ Δία τοῖς εἰρημένοις προσαποδόντας, ὅτι πάσας ἔχουσα τὰς ἀρετὰς ἡ Δημοσθένους λέξις, λείπεται εὐτραπελίας; ἣν οἱ πολλοὶ καλοῦσι χάριν· πλεῖστον γὰρ αὐτῆς μετέχει μέρος·

Οὐ γάρ πως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισι.

ὡς καὶ τοὺς ἀστεϊσμοὺς ἅμα ἐν τοῖς Δημοσθένους λόγοις. οὐδὲν γὰρ, ὧν ἑτέροις τισὶν ἔδωκεν ἀγαθῶν ὁ δαίμων, ἐκείνῳ ἐφθόνησεν.

55. Ἃ δὲ γ' Αἰσχίνης περὶ αὐτοῦ γράφει συκοφαντῶν, ὥσπερ ἔφην, τοτὲ μὲν ὡς πικροῖς καὶ περιέργοις ὀνόμασι χρωμένου, τοτὲ δ' ὡς ἁπλοῖς καὶ φορτικοῖς, ῥᾳδίας ἔχει τὰς ἀπολογίας. εἴ γέ τοι βουληθείη τις χωρὶς ἕκαστον τῶν ῥημάτων σκοπεῖν, τὰ μὲν ἐπαίνου μᾶλλον, ἢ κατηγορίας, ἄξια εὑρήσει· τὰ δ' οὐκ ἀληθῶς εἰρημένα ὑπ' αὐτοῦ. τὸ μὲν γὰρ πικραίνειν τὴν διάλεκτον, ὅταν ἀπαιτῶσιν οἱ καιροί· πολλάκις δ' ἀπαιτοῦσι, καὶ μάλιστα ἐν τοῖς παθητικοῖς τῶν ἐπιχειρημάτων· ἐγκώμιόν ἐστι τοῦ ῥήτορος· εἴ γε δὴ τὸ ποιεῖν τὸν ἀκροατὴν αὐστηρὸν τῶν νόμων φύλακα, καὶ πικρὸν ἐξεταστὴν τῶν ἀδικημάτων, καὶ τιμωρὸν ἀπαραίτητον τῶν παρανομούντων, παρὰ τῆς ῥητορικῆς

Digitized by Google

δυνάμεως ἢ μόνον, ἢ μάλιστα τῶν ἄλλων ἀπαιτοῦμεν· ἀμήχανον δὲ τρυφεροῖς ὀνόμασι καλλωπίζοντα τὴν διάλεκτον, ὀργήν, ἢ μῖσος, ἢ τῶν παραπλησίων τι κινῆσαι παθῶν· ἀλλ' ἀνάγκη καὶ νοήματ' ἐξευρεῖν, ἃ δὴ τῶν τοιούτων ἔστιν παθῶν ἀγωγά, καὶ ὀνόμασι τοιούτοις αὐτὰ περιλαβεῖν, οἷς πέφυκεν ἀκοὴ πικραίνεσθαι. εἰ μὲν οὖν μὴ κατὰ τὸν οἰκεῖον καιρὸν τῇ πικραινούσῃ διαλέκτῳ χρώμενον ἀπεδείκνυεν αὐτόν, ἢ πλεονάζοντα ἐν αὐτῇ καὶ τῆς ποσότητος ἀστοχοῦντα, εἰκότως ἂν ὡς ἁμαρτάνοντα διέβαλλεν. ὁ δὲ τούτων μὲν οὐθέτερον ἔχει δεικνύναι, κοινῶς δὲ διαβάλλει τὴν παθητικὴν διάλεκτον, οὖσαν ἐπιτηδειοτάτην εἰς πολιτικοὺς παραλαμβάνεσθαι λόγους, λελῃθότα ἐγκώμια μεταφέρων εἰς τὰς κατηγορίας, ὥσπερ ἔφην.

56. Τὰ δ' αὐτὰ καὶ περὶ τῆς περιέργου λέξεως ἔχοι τις ἂν εἰπεῖν πρὸς τὸν Αἰσχίνην, ἐπειδὴ καὶ ταύτην αὐτοῦ χλευάζει τὴν ἀρετήν. δεχέσθω δέ τις τὴν περιεργίαν τῶν ὀνομάτων ὑπ' αὐτοῦ λέγεσθαι νυνὶ, πᾶσαν ἐργασίαν καὶ ἐξηλλαγμένην τῶν ἐν ἔθει. οὐ γὰρ δή γε εἰ ὁ καθ' ἡμᾶς βίος πολλὰ καὶ ἄλλα εἰκῇ τιθεὶς ἐπὶ τοῖς πράγμασιν ὀνόματα, καὶ ταύτην ἀδιαφόρως κυπλεῖ τὴν λέξιν ἐπὶ τῆς πολυπραγμοσύνης, οὕτω καὶ τοὺς ἀρχαίους εἰκὸς αὐτῇ κεχρῆσθαι. εἰ μὲν οὖν τὴν ἀκαιρίαν, ἢ τὸν πλεονασμὸν, τῆς ἐξηλλαγμένης ἑρμηνείας διασύρων, καὶ ταῦτα εἴρηκεν, ὡς τοῦ Δημοσθένους περὶ ἑκάτερον αὐτῶν ἁμαρτάνοντος, ψεύδεται περιφανῶς. ὁ γὰρ ἀνὴρ ἐν μὲν ταῖς δημηγορίαις καὶ τοῖς δημοσίοις

Digitized by Google

ἀγῶσι πρὸς τὸ μέγεθος καὶ τὸ ἀξίωμα τῶν ὑποθέσεων ἀποβλέπων, κέχρηται τῇ τοιαύτῃ κατασκευῇ πολλάκις· ἐν δὲ τοῖς ἰδιωτικοῖς λόγοις, οὓς περὶ μικρῶν συμβολαίων ἰδιώταις ἀνθρώποις ἔγραψε, τὴν κοινὴν καὶ συνήθη λέξιν ἐπιτηδεύει, σπανίως δέ ποτε τὴν περιττὴν, καὶ οὐδὲ ταύτην ἐπ' αὐτοῖς φώροις, ἀλλ' ὥστε λαθεῖν. εἰ δὲ κἀνταῦθα τῷ γένει τῆς ἐξαλλαγῆς ὅλῳ πολεμῶν ταῦτ' εἴρηκεν Αἰσχίνης, ἄτοπόν τι ποιεῖ πρᾶγμα, ταύτην θεασάμενον τὴν δεινότητα, ἧς πλείστης τῷ ῥήτορι δεῖ. τὸ γὰρ μὴ τοῖς πολλοῖς ὁμοίους ἐκφέρειν τὰς νοήσεις, ἀλλ' ἐπὶ τὸ σεμνότερον καὶ ποιητικώτερον ἐκβιβάζειν τὴν ὀνομασίαν, παρὰ τῆς πολιτικῆς δυνάμεως μάλιστα ἀπαιτεῖται. ταῦτα μὲν οὖν, ἐγκώμια τῆς Δημοσθένους δεινότητος ὄντα, ὡς ἁμαρτήματα φέρων Αἰσχίνης, οὐκ ἀληθῶς μὲν, εὐλόγως δ' ἴσως, ἐχθρὸς ὢν, καὶ οὐδὲν ἄλλο διαβάλλειν δυνάμενος, ἀπερισκέπτως, ὡς ἐγὼ κρίνω, συκοφαντεῖ.

57. Τὸ δὲ φάσκειν, φορτικοῖς καὶ ἀηδέσι τοῖς ὀνόμασιν αὐτὸν κεχρῆσθαι, πόθεν ἐπῆλθεν αὐτῷ λέγειν, ὑπὲρ πάντα ἔγωγε τεθαύμακα. οὐδὲν γὰρ εὑρίσκω τούτων παρὰ Δημοσθένει κείμενον, ὧν εἰρηκέναι φησὶν αὐτὸν Αἰσχίνης· οἷον ὅτι „οὐ δεῖ τῆς „φιλίας ἀποῤῥῆξαι τὴν συμμαχίαν·“ καὶ ὅτι „ἀμ„πελουργοῦσί τινες τὴν πόλιν·“ καὶ „ὑποτέτμη„ται τὰ νεῦρα τοῦ θήμου·“ καὶ „φορμοῤῥαφού„μεθα·“ καὶ „ἐπὶ τὰ στενά τινες ὥσπερ τὰς βελό„νας διείρουσιν·“ οἷς αὐτὸς ἐπιτίθησι διακωμῳδῶν. „ταῦτα δ', ὦ κίναδος, τί ἐστι; ῥήματα, ἢ

Digitized by Google

„θαύματα;“ οὐδέ γ' ἄλλα τινὰ φορτικὰ καὶ ἀηδῆ ὀνόματα ἐν οὐδενὶ τῶν Δημοσθένους λόγων εὑρεῖν δεδύνημαι· καὶ ταῦτα πέντε, ἢ ἓξ μυριάδας στίχων ἐκείνου τοῦ ἀνδρὸς καταλελοιπότος. εἰ μέντοι ἔνιοι ψευδεπίγραφοί εἰσι λόγοι ἀηδεῖς, καὶ φορτικαὶ καὶ ἄγροικοι κατασκευαί, ὡς ἐν τῇ κατ' Ἀριστογείτονος β', καὶ ἐν τῇ ἀπολογίᾳ τῶν δώρων, καὶ ἐν τῷ μὴ ἐκδοῦναι Ἅρπαλον, καὶ ἐν τῷ κατὰ Νεαίρας, καὶ ἐν τῷ περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν, ἐν ἄλλοις τε συχνοῖς, οὓς ὁ Δημοσθένης οὐκ ἔγραψεν, ἐν ἑτέρᾳ δηλοῦνται μοι πραγματείᾳ τὰ περὶ Δημοσθένη. καὶ περὶ μὲν ὧν Αἰσχίνης ἐπιτετίμηκεν αὐτῷ, ταῦτα ἱκανά.

58. Ἤδη δέ που κἀκεῖνό τινες οἱ μὲν ὡς χαρακτηριστικόν, οἱ δ' ὡς ἁμάρτημα τοῦ ῥήτορος ἐσημειώσαντο· λέγω δὲ τὸ πολλοῖς ὀνόμασι τὸ αὐτὸ πρᾶγμα δηλοῦν ἐνίοτε· οἷά ἐστι ταυτί· „Φιλίππῳ „δ' ἐξέσται καὶ πράττειν καὶ ποιεῖν, ὅ τι βούλεται·“ καὶ· „Τὸν Μηδίαν τοῦτον, οὐκ εἰδὼς, ὅστις ποτ' „ἐστὶν, οὐδὲ γινώσκω·“ καὶ· „Τῆς ἀδελφῆς ἐναν„τίον, κόρης ἔτι καὶ παιδὸς οὔσης·“ καὶ πάντα τὰ τοιαῦτα. ὅσοι μὲν οὖν ἰδίωμα τοῦ χαρακτῆρος αὐτὸ ἀποφαίνουσι τοῦ Δημοσθένους, ὀρθῶς λέγουσι· κέχρηται γὰρ αὐτῷ χρησίμως ὁ ἀνὴρ, ὥσπερ τῇ τμητικῇ καὶ τῇ βραχυλογίᾳ, πάντων γε μᾶλλον καὶ εὐκαιρότερον. ὅσοι δ' ἐν ἁμαρτήματος οὐτὸ μοίρᾳ φέρουσι, τὰς αἰτίας οὐκ ἐξητακότες, δι' ἃς εἰώθει πλεονάζειν ἐν τοῖς αὐτοῖς ὀνόμασιν, οὐ δεόντως αὐτοῦ κατηγοροῦσιν, ἀλλ' ἐοίκασιν οἱ τοῦτο

Digitized by Google

συκοφαντοῦντες, τὴν βραχυλογίαν ἐκ παντὸς ἀπαιτεῖν· ἣν, ὅπερ εἶπον, παντὸς μᾶλλον καὶ εὐκαιρότερον παρέχεται· τῶν δ' ἄλλων ἀρετῶν οὐδεμίαν, οὐκέτι συνορῶντες, ὅτι καὶ τῆς σαφηνείας δεῖ στοχάζεσθαι τὸν ῥήτορα, καὶ τῆς ἐνεργείας, καὶ τῆς αὐξήσεως, καὶ τῆς περὶ τὴν σύνθεσιν τῶν ὀνομάτων εὐρυθμίας· ὑπὲρ ἅπαντα δὲ ταῦτα, τοῦ παθητικήν τε καὶ ἠθικὴν καὶ ἐναγώνιον ποιεῖν τὴν λέξιν· ἐν οἷς ἐστιν ἡ πλείστη τοῦ πιθανοῦ μοῖρα. τούτων δὲ τῶν ἀρετῶν ἑκάστην οὐχ ἡ βραχυλογία κράτιστα δύναται ποιεῖν, ἀλλὰ καὶ ὁ πλεονασμὸς ἐνίων ὀνομάτων, ᾧ καὶ ὁ Δημοσθένης κέχρηται. ἔφερον δ' ἄν σοι παραδείγματα τῶν εἰρημένων, εἰ μὴ κοπώδης ἔμελλον φανήσεσθαι, πρὸς σὲ δῆτα λέγων. ταῦτα, ὦ κράτιστε Ἀμμαῖε, γράφειν εἴχομέν σοι περὶ τῆς Δημοσθένους λέξεως. ἐὰν δὲ σώζῃ τὸ δαιμόνιον ἡμᾶς, καὶ περὶ τῆς πραγματικῆς αὐτοῦ δεινότητος, ἔτι μείζονος, ἢ τοῦδε, καὶ θαυμαστοτέρου θεωρήματος, ἐν τοῖς ἑξῆς γραφησομένοις ἀποδώσομέν σοι τὸν λόγον.

Digitized by Google

Digitized by Google

Digitized by Google